


Google




VE
RI
TAS



ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΒΙΒΛΙΑ ΔΕΚΑ.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIBRI DECEM.

CODICUM MSS. COLLATIONE RECOGNITI,

ET

NOTIS ILLUSTRATI,

A GULIELMO WILKINSON, A. M.

E COLL. REGINÆ.

EDITIO QUARTA.

OXONII,

E TYPOGRAPHEO CLARENDONIANO.

MDCCCXVIII.


HARVARD
COLLEGE
LIBRARY

LECTORI S.

EN tibi libellum, arte elaboratum et ingenio perfectum, quem viri omnis ævi eminentissimi in sinu gestarunt, et dies noctesque evolverunt. Hunc si pluribus, verbis licet amplissimis, laudarem, idem facerem ac si soli lucernam accenderem: nec est quod dubitem, quin, si eum perlegeris, mecum non invitus fateberis omni laude majorem esse. Nolo itaque te in limine diutius morari, quam tantisper dum narrem quid huic nostræ editioni acceptum referat.

Id inprimis egimus, ut Græca quam emendatissime prodirent. Quem in finem impressa omnia melioris notæ exemplaria adhibuimus; ac præterea Codices tres MSS. unum e Museo *Johannis Mori* Episcopi Eliensis, aliosque duos e Bibliothecis Oxoniensibus Collegii Novi et Collegii Corporis Christi.

Deinde ne quid iis, qui in Græcis literis minus versati sint, parum consuluisse videremur, *Dionysii Lambini* versionem, fidelissimam æque ac elegantissimam, textui subjecimus: nec quidquam in ea exprimenda mutavimus, nisi locis admodum paucis, ubi e Græcis longiuscule recessisse visus est optimus interpres.

Præterea, tui in gratiam, obscuriora quædam pro virili illustrata dedimus inter textum et versionem, ut et totius operis conspectum sub ejus initium, et ad

calcem Indicem satis locupletem dictionum vocumque Aristotelicarum, quibus nihil usquam Ἀττικώτερον invenimus.

Hæc te voluimus non nescire, nec tua interest pluribus interpellari. Vale, et nobis, ad alia aggredientibus, fausta omnia precare.

GUL. WILKINSON.

Coll. Reg. Oxon.
Maii 27, 1715.

CONSPECTUS

ETHICORUM NICOMACHEORUM.

TABULA LIBRI I.

Agit

- in Procemio.
  - 1. De subjecto philosophiæ moralis.
  - 2. De modo illam tractandi.
  - 3. De auditore illius.
  - Docetque
    - Cap. 1.
      - 1. Quod omnes actiones humanæ diriguntur ad aliquod bonum, sive finem.
      - 2. Quod finium est differentia, et quod alii aliis sunt præstantiores.
      - 3. Quod fines principales finibus sibi subjectis sunt præstantiores.
    - Cap. 2.
      - 1. Quod datur ultimus finis, quod sit summum bonum.
      - 2. Quod est philosophiæ moralis de hoc agere.
    - Cap. 3.
      - 1. Quo modo philosophiæ moralis præcepta sunt tradenda.
      - 2. Quis hujus doctrinæ est idoneus auditor.
- in Capp. 4 5 et 6.
  - De natura summi boni.
  - Docet quid non sit, capp. 4 5 et 6.
    - Cap. 4.
      - 1. In genere recenset aliorum de summo bono (cujus in nomine omnes conveniunt, sc. quod est εὐδαιμονία, *Beatitudo*) falsas opiniones.
      - 2. Unde, an a fine, an a mediis initio ducto, hæc doctrina est tradenda?
    - Cap. 5.
      - In specie illas opiniones examinat, et beatitudinem nec in corporis voluptate, nec in honore, nec in divitiis, nec in habitu virtutis positam esse ostendit.
    - Cap. 6.
      - Non in Idea boni.

TABULA LIBRI I.

Agit

- Capp. 7, 8, 9, 10, 11 et 12. De natura et accidentibus summi boni.
  - Declarat quid sit.
    - Cap. 7.
      1. Rudi ejus definitione.
      2. Exacta et perfecta definitione, sc. quod est ἐνέργεια ψυχῆς, κατ' ἀρετὴν ἀρίστην ἐν βίῳ τελείῳ, *functio muneris animi optima virtute directa in vita perfecta.*
      3. Methodi definitivæ, qua beatitudinis naturam investigavit, causam affert.
  - Definitionem beatitudinis veterum auctoritate confirmat.
    - Cap. 8.
      1. Quod est ἐνέργεια ψυχῆς.
      2. Quod est κατ' ἀρετήν.
    - Cap 9. Quæstionem, ex particulæ præcedentis explicatione ortam, dissolvit: qua sc. ratione Beatitudinem obtineamus?
    - Cap. 10. Quod est ἐν βίῳ τελείῳ, et quæstionem arduam examinat, vivine an mortui beati sunt dicendi?
  - Quærit.
    - Cap. 11. An res adversæ vel prosperæ amicorum vel posterorum mortuos afficiant?
    - Cap. 12. An beatitudo sit e numero eorum, quæ laude, an eorum, quæ honore sunt digna.
- Cap. 13. De virtute.
  - Quam dividit in duas species, sc. in eas, quæ in ratione positæ sunt, et eas, quæ ad mores pertinent, secundum facultates animæ, de qua accuratissime in hoc cap. disserit.

TABULA LIBRI II.

- **Agit de virtute morali**
  - **In genere libb. 1, 2, et 3.**
    - Ejus ortus et interitus causas, et quodnam sit acquisitæ signum, et in quo versatur investigat lib. ii. capp. 1, 2, et 3.
      - Docet
        - Cap. 1. — Eam consuetudine et usu agendi acquiri.
        - Cap. 2. — Eam ab eo quod nimium et quod parum est corrumpi.
        - Cap. 3. — 1. Signum virtutis acquisitæ esse voluptatem, 2. Virtutem in voluptatibus et doloribus occupari.
      - Resolvit
        - Cap. 4. — Quæstionem ex præcedentibus ortam, sc. an recte dictum sit, justa agendo justos effici?
    - Quid sit ostendit ejus definitionem
      - Tradendo capp. 5, et 6.
        - Investigat
          - Cap. 5. — Genus, quod sit ἕξις προαιρετική, *habitus ad consilium agendi capiendum aptus.*
          - Cap. 6. — Differentiam, quod sit ἐν μεσότητι τῇ πρὸς ἡμᾶς, ὡρισμένη λόγῳ, καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειεν.
      - et Explicando singillatim per particulas
        - Differentiam capp. 6, 7, 8, et 9.
          - Cap. 6. — Genere, ut quid sit μεσότης constet.
          - Cap. 7. — Specie, in singulis virtutibus μεσότητα dari inductione probat.
          - Cap. 8. — Quomodo suis extremis opponatur μεσότης, et quomodo extrema inter se pugnent.
          - Cap. 9. — Μεσότητα consequendi difficultatem, ejusque superandæ rationem.

TABULA LIBRI III.

- Virtutis moralis
  - Definitionis
    - Genus quod sit ἕξις προαιρετική, explicat capp. 1, 2, 3, 4, et 5.
      - Tradendo
        - Cap. 1. — Τοῦ ἀκουσίου *violenti*, et τοῦ ἑκουσίου *sponte facti*, definitiones.
        - Cap. 2. — Rudem τοῦ προαιρετοῦ definitionem.
        - Cap. 3. — Perfectam ejus definitionem.
      - Quærendo
        - Cap. 4. — Utrum id, quod sub voluntatem cadit, vere bonum sit necne?
        - Cap. 5. — An virtutes et vitia sint voluntaria necne?

      In fine cap. 5. repetit ea, quæ hactenus de Virtute dicta sunt.
  - Species explicare incipit
    - Fortitudinis.
      - Veræ explicat
        - Cap. 6. — Differentiam, quod circa θάῤῥη et φόβους versatur.
        - Cap. 7. — Genus quod sit μεσότης.
      - Non veræ
        - Cap. 8. — Quinque species enumerat.
      - 2. accidentia memorat
        - Cap. 9. — 1. Magis in metu quam fiducia versari. 2. Ejus finem esse jucundum, media vero, quæ ad eam ducunt, molesta.
    - Temperantiæ
      - Proponit et Quærit
        - Capp. 10 et 11. — Definitionem, et ejus particulas singillatim explicat.
        - Cap. 12. — Utrum intemperantia magis quam timiditas sponte suscipiatur?
        - Cap. 13. — De translatione nominis intemperantiæ ad errata puerilia.

TABULA LIBRI IV.

Pergit { In hoc libro { Virtutes reliquas explicare } Docetque {

- Cap. 1. { Quid sit *Liberalitas*, ejusque extrema, *profusio* sc. et *illiberalitas*.
- Cap. 2. { Quid sit *Magnificentia*, et vitia ei opposita, sc. μικροπρέπεια et ἀπειροκαλία.
- Cap. 3. { Quid sit *Magnanimitas*, et *animi demissio* et *superbia*: quædamque *magnanimitatis* accidentia explicat.
- Cap. 4. { Quid sit *Virtus* illa ἀνώνυμος, quæ est μεσότης περὶ τιμὴν, quæque ejus sunt extrema.
- Cap. 5. { Quid sit *Lenitas*, et vitia huic contraria, quæ ὀργιλότης et ἀοργησία dici possent.
- Cap. 6. { Quid sit *Virtus* illa, quæ est mediocritas inter nimium *placendi studium* et *morositatem*, quæque *Affabilitas* nominari possit.
- Cap. 7. { Quid sit illa *Virtus*, quæ est μεσότης inter *arrogantiam* et *dissimulationem*: quæ in lib. ii. cap. 7. ἀλήθεια nominatur.
- Cap. 8. { Quid sit εὐτραπελία, et quænam vitia ei opposita habet.
- Cap. 9. { Quid sit *Verecundia*, quam perturbationi quam habitui similiorem esse dicit.

TABULA LIBRI V.

- De Justitia agit
  - Capp. 1 2 3 4 et 5. Ejus naturam et species explicat.
    - Cap. 1.
      1. Rudem et generalem *justitiæ* et *injustitiæ* tractationem aggreditur.
      2. Rudi et speciali modo de iis agit, et duas *justitiæ* species ex ipsius nominis significatione elicit.
      3. Priorem *justitiæ* speciem, quæ *legitima* et *universalis* est, describit.
    - Cap. 2.
      1. Alteram *justitiæ* speciem, quæ *particularis* est, et æqualitate veluti forma continetur, explicat.
      2. Exactius de hac disputat, ejusque duas esse species probat, *distributivam* sc. et *commutativam*.
    - Cap. 3.
      1. *Justitiæ* utriusque naturam inter se communem declarat.
      2. Quid sit *justitia distributiva* docet.
    - Cap. 4.
      - De *justitia commutativa* agit, quam διορθωτικὸν appellat.
    - Cap. 5.
      1. Quærit utrum *jus talionis* simpliciter *jus* sit?
      2. Omnium rerum *mensuram* revera esse *usum* seu *indigentiam* ex compacto autem nummum docet.
      3. Omnia ea, quæ de *justitia* et *injustitia* dicta sunt, breviter colligit.

TABULA LIBRI V.

- De Justitia agit
  - Capp. 6, 7, 8, 9, 10 et 11. Quæstiones varias, quæ ad *justitiam* pertinent, quæque tunc temporis agitabantur, solvit.
    - Capp. 6, 7, et 8. quærit ex quibusnam actionibus *injustis injustus* quis appellari possit.
      - Cap. 6.
        - 1. Quæstionem proponit.
        - 2. *Jus* in *Civile*, *Herile*, et *Œconomicum* distinguit.
      - Cap. 7.
        - *Jus* aliud *Civile*, aliud *naturale*, aliud *legitimum* esse probat, et de iis separatim loquitur.
      - Cap. 8.
        - 1. Quæstionem propositam accuratissime solvit.
        - 2. Docet eorum, quæ invite fiunt, alia venia digna esse, alia vero non.
    - Cap. 9.
      - Quærit
        - 1. Utrum possit quisquam vere *injuriam* sua voluntate accipere necne?
        - 2. Utrum *injuriam* faciat is, qui plus alicui tribuit præter ejus meritum ac dignitatem, an is qui plus consecutus est?
      - Docet
        - 1. Quod res haud ita facilis est *justum esse.*
        - 2. Quod arduum est ea, quæ *justa sunt*, nosse.
    - Cap. 10.
      - Declarat
        - 1. Quid sit *æquitas* et *æquum bonum.*
        - 2. Quis sit *vir æquus* et *bonus.*
    - Cap. 11.
      - Quærit
        - Utrum quis sibi ipsi injuriam faciat necne?

TABULA LIBRI VI.

Agit De Virtutibus, quæ in ratione positæ sunt, in

- Genere
  - Cap. 1.
    1. Ostendit necesse esse ut quid sit *recta ratio* inquirat, quo perfectius *Virtutum Moralium* natura intelligatur.
    2. Probat duas esse animi partes ratione præditas, alteram in qua vis sciendi, alteram quæ ad ratiocinandum valet.
  - Cap. 2.
    1. De principiis agendi disserit.
    2. Ex supra dictis colligit ambarum animi partium, quæ *ad cogitandum valent*, opus esse veritatem, et proinde qui *habitus* efficiunt ut utraque pars verum enunciet, hos esse utriusque *virtutes*.
  - Cap. 3.
    - Statuit 5 esse, quibus animus verum enunciat: sc. *Artem, Scientiam, Prudentiam, Sapientiam,* et *Mentem* sive *Intelligentiam.*
- Specie
  - Cap. 3. — De *Scientia.*
  - Cap. 4. — De *Arte.*
  - Cap. 5. — De *Prudentia.*
  - Cap. 6. — De *Mente* sive *Intelligentia.*
  - Cap. 7. — De *Sapientia.*
  - Capp. 7, 8, 9, 10, et 11. — Accuratissime de *Prudentia* ejusque speciebus.
  - Cap. 12. — De *Prudentiæ* ac *Sapientiæ* utilitate.
  - Cap. 13.
    1. *Virtutem* distinguit in *Naturalem* et *acquisitam*, quam et proprie *Virtutem* appellat.
    2. *Virtutem* proprie dictam sine *Prudentia* non posse constare docet.

TABULA LIBRI VII.

Agit *De continentia* et *incontinentia*, habitibus imperfectis sive dispositionibus, explicando

- Capp. 1, 2, 3, 4, 5, 6, 7, 8, 9, et 10. — Earum *Formam* sive naturam
  - Cap. 1.
    1. Recenset genera eorum, quæ in moribus expetenda vel fugienda sunt.
    2. De *Virtute Heroica* agit.
    3. De *Continentia* et *Incontinentia* aliorum opiniones profert.
  - Cap. 2. — Opiniones prædictas exagitat, et quid alii in iis reprehendant declarat.
  - Cap. 3.
    1. Tres quæstiones de his *dispositionibus* proponit.
    2. Primam quæstionem tractat, sc. utrum *scientes peccent incontinentes* necne?
  - Capp. 4. et 5. — Secundam quæstionem examinat, sc. *in quibus continens et incontinens versentur?*
  - Cap. 6.
    1. *Incontinentiam* eam, quæ in cupiditatibus versatur, iræ *incontinentia* turpiorem esse probat.
    2. Docet quomodo voluptates, in quibus versantur *continentia* et *incontinentia*, differunt.
    3. *Feritatem* vitiositate minus malum esse ostendit.
  - Cap. 7. — Quæstionem tertiam explicat, sc. utrum *continens* et *patiens idem sint*.
  - Capp. 8, 9, et 10. — Aliorum opiniones de *continentia* et *incontinentia* in cap. 1. propositas, et cap. 2. exagitatas, examinat, ut quatenus cum veritate consentiunt, approbentur: quatenus ab eadem dissentiunt, repudientur.
- Capp. 11, 12, 13, et 14. — Earum *materiam* subjectam *voluptatem* sc. et *dolorem*.
  - Cap. 11.
    1. Declarat quam necessarium sit ut hoc in loco de *voluptate* agat.
    2. Vulgatas de *voluptate* opiniones recenset, easque argumentis confirmat.
  - Cap. 12. — Opiniones in superiore cap. memoratas ex aliorum sententia examinat, argumentaque, quibus impugnantur, enumerat.
  - Capp. 13, et 14. — Ex propria sententia enarrat, quæ opinionum prædictarum veræ, quæ autem falsæ sunt.

TABULA LIBRI VIII.

De Amicitia


- Agendum esse, Cap. 1. variis argumentis probat.
- Agit siquidem
  - Occasione duarum quæstionum quarum prima est, utrum *inter omnes amicitia esse possit?* secunda, utrum *unica sit amicitiæ species an plures?* quas explicandas suscipit *Amicitiæ*
    - Essentiam per se sequitur, tum in
      - Genere Cap. 1. et 2. causas illius recensens easdemque tandem definitione colligens, quod φιλία nihil aliud sit, quam εὔνοια ἐν ἀντιπεπονθόσι, μὴ λανθάνουσα.
      - Specie, capp. reliquis usque ad 12. tradens differentias *Amicitiæ* ex causis desumptas, nimirum a
        - Materia et fine quarum occasione satisfacit quæstioni
          - Posteriori, quod sunt plures *amicitiæ materiales species* quas
            - Cap. 3. Dividit in
              - *Imperfectas*, quæ voluptatis vel utilitatis causa contrahuntur, et
              - *Perfectam*, quæ Virtutis causa suscipitur.
            - Cap. 4. confert inter se.
          - Priori, quod *inter omnes Amicitia non esse possit*, sive spectes *amicorum*
            - *Qualitatem.* Cap. 5.
            - *Quantitatem*, sive *numerum.* Cap. 6.
        - Forma ex quibus respondet quæstioni
          - Posteriori, quod sc. *non sit unica species amicitiæ formalis* sed plures, quas Capp. 6, et 7.
            - Recenset, et aliam ἐν ἰσότητι sive κατὰ ποσὸν, aliam ἐν ὑπεροχῇ sive κατ' ἀξίαν esse inquit. Explicat, quomodo in singulis æqualitas insit et dilectio.
          - Priori, *quinam amici inter se esse possint.* Cap. 8.
        - *Efficientibus* personis amicorum, solvit igitur
          - Priorem Cap. 9, 10, et 11, longa et illustri resolutione.
          - Posteriorem Cap. 12.
    - Adjuncta subnectit, *conservationem* sc. et *dissolutionem*, et
      - Explicat, quæ criminationes oriri solent, docetque quomodo præcaveri, vel ortæ e medio tolli possint, in *amicitiis* ἐν
        - Ἰσότητι, Cap. 13.
        - Ὑπεροχῇ, Cap. 14.

TABULA LIBRI IX.

De *Amicitia* — Quæstiones varias, quæ ex supra dictis oriri poterant, vel quæ tunc temporis agitabantur, explicat. Quærit

- Cap. 1. Quænam sunt causæ querelarum inter amicos καθ' ὑπεροχὴν, et quomodo ea amicitia conservetur?
- Cap. 2. Quæ gratia cui sit referenda?
- Cap. 3. An si mutuum et æqualitas in amore non servetur, amicitia sit dirimenda?
- Cap. 4.
  - 1. An ea, quæ ab amicis in amicos conferri solent, et quibus amicitiæ circumscribuntur, ex iis, quæ sibi ipsi quisque exoptat ac tribuit, fluant?
  - 2. Docet quod valde vitiosi nec sibi ipsis nec aliis sunt amici.
- Cap. 5. Utrum *Benevolentia* sit *Amicitia* vel *amicitiæ* principium?
- Cap. 6. An *Concordia* sit *amicitia*, vel solum ad eam pertinet?
- Cap. 7. Quare *Benefici* eos, de quibus bene meriti sunt, vehementius amant, quam ii, qui beneficium acceperunt, bene de se meritos?
- Cap. 8. Utrum se ipsum maxime an alium amare oporteat?
- Cap. 9. Utrum aliquando futurum sit ut amicis egeat beatus, necne?
- Cap. 10. Quot amici sint asciscendi, multi an pauci?
- Cap. 11. Utrum in rebus secundis magis, an in adversis, amicis opus est?
- Cap. 12. Utrum vitæ societas in amicitia maxime requiratur?

TABULA LIBRI X.



ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Α΄.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. I.

ΚΕΦ. α΄.

ΠΑΣΑ τέχνη καὶ πᾶσα [a] μέθοδος, ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις, ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ· [1] διὸ καλῶς ἀπεφήναντο [b] τἀγαθὸν, οὗ πάντα ἐφίεται. Διαφορὰ δέ τις φαίνεται τῶν τελῶν· τὰ μὲν γάρ εἰσιν ἐνέργειαι· τὰ δὲ [c] παρ' αὐτὰς, ἔργα τινά· ὧν δ' εἰσὶ τέλη τινὰ παρὰ τὰς πράξεις, ἐν τούτοις βελτίω πέφυκε τῶν ἐνεργειῶν τὰ ἔργα.

[a] *Μέθοδος* ab aliis vertitur *scientia*, ab aliis vero *cognitio*, ut latius pateat quam ars: quasi diceretur *omnis ars, immo omnis cognitio.* [1] Magn. Moral. lib. i. cap. 1. [b] Per *τἀγαθὸν ipsum bonum*, sive naturam quandam bonis omnibus communem, intelligi vult Muretus. [c] Alii *παρὰ ταύτας*.

CAP. I.

OMNIS ars omnisque docendi via atque institutio, itemque actio et consilium, bonum aliquod appetere videtur: idcirco pulchre veteres id esse bonum pronunciarunt, quod omnia appetunt. Sed videntur fines inter se discrepare: alii enim sunt muneris functiones; alii præter eas, opera quædam: quarum autem rerum, præter actiones, aliqui sunt fines, in his

Πολλῶν δὲ πράξεων οὐσῶν, καὶ τεχνῶν, καὶ ἐπιστημῶν, πολλὰ γίνεται καὶ τὰ τέλη· ἰατρικῆς μὲν γὰρ ὑγίεια, ναυπηγικῆς δὲ πλοῖον, στρατηγικῆς δὲ νίκη, οἰκονομικῆς δὲ [d] πλοῦτος. Ὅσαι δ᾽ εἰσὶ τῶν τοιούτων ὑπὸ μίαν τινὰ [e] ἀρετὴν, καθάπερ ὑπὸ τὴν ἱππικὴν χαλινοποιητικὴ, καὶ ὅσαι ἄλλαι τῶν ἱππικῶν ὀργάνων εἰσὶν, αὕτη δὲ καὶ πᾶσα πολεμικὴ πρᾶξις ὑπὸ τὴν στρατηγικὴν, τὸν αὐτὸν δὲ τρόπον ἄλλαι ὑφ᾽ ἑτέρας· ἐν ἁπάσαις [f] δὲ τὰ τῶν [g] ἀρχιτεκτονικῶν τέλη πάντων ἐστὶν αἱρετώτερα τῶν ὑφ᾽ αὐτά· τούτων γὰρ χάριν κἀκεῖνα διώκεται. [h] Διαφέρει δ᾽ οὐδὲν τὰς ἐνεργείας αὐτὰς εἶναι τὰ τέλη τῶν πράξεων, ἢ παρὰ ταύτας ἄλλο τι, καθάπερ ἐπὶ τῶν λεχθεισῶν ἐπιστημῶν.

[d] Ex sententia vulgi: Ipse enim in lib. i. Polit. probat divitias non esse finem, sed tantum instrumenta τῆς οἰκονομικῆς. [e] Δύναμιν Andr. Eustrat. Aurel. Cam. Mur. El. N C. (cujus in marg. recentiori manu ἀρετὴν scribitur). Hanc scripturam exprimere videtur Argyr. alii vero ἀρετὴν, cum quibus facit Vet. Interp. et CCC. in margine tamen eorundem annotatum est legi etiam δύναμιν. Vide Eustrat. [f] Hanc conjunctionem tollunt quidam, ut evidentior sit periodi redditio: sed alibi quoque in redditionibus hanc particulam a Philosopho usurpari, annotavi in libris Physicis et Pausania. *Sylb.* [g] Origo vocabuli est ab *ἀρχιτέκτων, architectus:* quemadmodum enim ille omnibus aliis fabris, quorum ministerio in domo extruenda utitur, imperat; ita etiam hæ artes principales sibi subjectas artes disponunt ac gubernant. [h] Itaque quod dictum erat supra, *opus operatione esse melius*, intelligendum est non de qualibet operatione, sed de ea nominatim, quæ ipsum opus, cum quo comparatur, antecedit et perficit.

opera sunt actionibus meliora natura. Cum vero multæ sint actiones, et artes, et scientiæ, tum multi quoque fines exstiterunt: nam medicinæ finis est bona valetudo, artis ædificandarum navium navis, artis imperatoriæ victoria, rationis ejus, quæ in re familiari tuenda versatur, divitiæ. Quæcunque autem artes hujus generis uni alicui facultati subjectæ sunt, ut equestri ea, quæ in frænis conficiendis occupata est, cæteræque omnes ad instrumenta equestria comparatæ, atque hæc ipsa equestris, omnisque actio militaris, arti imperatoriæ, itemque aliæ aliis: in iis omnibus fines earum, quæ principem locum obtinent, earum, quæ eis subjectæ sunt, finibus sunt optabiliores: nam horum causa illi quoque expetuntur. Nihil porro interest, utrum functiones ipsæ muneris actionum sint fines, an, præter has, aliud quippiam, quemadmodum apparet in iis scientiis, quas supra diximus.

ΚΕΦ. β'.

ΕΙ δή τι τέλος ἐστὶ τῶν [i]πρακτῶν, ὃ δι' αὐτὸ βουλόμεθα, τὰ ἄλλα δὲ διὰ τοῦτο, καὶ μὴ πάντα δι' ἕτερον αἱρούμεθα· (πρόεισι γὰρ οὕτω γ' εἰς ἄπειρον, ὥστ' εἶναι κενὴν καὶ ματαίαν τὴν ὄρεξιν·) δῆλον, ὡς τοῦτ' ἂν εἴη τἀγαθὸν, καὶ τὸ ἄριστον. [k]Ἆρ' οὖν καὶ πρὸς τὸν βίον ἡ γνῶσις αὐτοῦ μεγάλην ἔχει ῥοπήν; καὶ, καθάπερ τοξόται, σκοπὸν ἔχοντες, μᾶλλον ἂν τυγχάνοιμεν τοῦ δέοντος; Εἰ δ' οὕτω, πειρατέον [l]τύπῳ γε περιλαβεῖν αὐτὸ, τί ποτέ ἐστι, καὶ τίνος τῶν ἐπιστημῶν ἢ δυνάμεων· δόξειε δ' ἂν τῆς [m]κυριωτάτης, καὶ μάλιστα ἀρχιτεκτονικῆς. Τοιαύτη [n]δὴ καὶ ἡ πολιτικὴ φαίνεται· τίνας γὰρ εἶναι χρεὼν τῶν ἐπιστημῶν ἐν ταῖς πόλεσι, καὶ ποίας ἑκάστους

[i] Muretus nomine τῶν πρακτῶν non intellexit τὰς πράξεις, ut reliqui interp. sed ad ipsos fines, quorum alii sunt πρακτοὶ, i. e. quos homo consequi potest, alii vero οὐ πρακτοὶ, pertinere judicavit. Vide Mur. in locum. [k] Ἄρα MSS. et Aurel. sine not. interrog. Sed mos hic est Aristot. ut sæpe, quæ affirmare instituit, ea interrogando efferat: atque hoc loco falli videntur, quicunque ἄρα non, ut in melioribus codd. legitur, ἆρα legunt. *Mur.* [l] Τύπῳ περιλαβεῖν nihil aliud est, quam rudem rei formam exponere, et quod Cicero dicit adumbrare vel informare. Ἡ γνῶσις ἢ δεῖξις ἀκριβὴς, *cognitio vel demonstratio subtilis*, differt ab ea, quæ ἐν τύπῳ καὶ παχυλῶς fit, non aliter quam imperfectum a perfecto, ipsa denique res a rei imagine. [m] Κυριωτάτης εἶναι Ven. 2. Andr. [n] Τοιαύτη δὲ ἡ πολ.

CAP. II.

SI quis igitur est rerum, quæ in actionem cadunt, finis, quem propter se velimus, cætera autem propter hunc, nec omnia propter aliud eligamus; (sic enim res progredietur in infinitum, ita ut noster omnis appetitus inanis et irritus sit futurus;) perspicuum est hoc futurum summum bonum, atque adeo bonorum optimum. Hujus igitur cognitio magnum etiam ad vitam degendam habet momentum: et signo aliquo nobis tanquam sagittariis proposito, id, quod expetere nos oportet, facilius consequemur. Quod si ita est, danda est opera, ut ejus formam adumbremus, atque ut quid sit, et cujus scientiæ aut facultatis sit finis, ostendamus: et vero videri possit finis esse scientiæ reliquarum facultatum longe principis ac dominæ, cæterisque maxime præeuntis atque imperantis. Talis igitur etiam civilis videtur: nam et quas in civitatibus scientias esse oporteat, et quas quisque discere debeat, et quatenus, seu usque

μανθάνειν, καὶ μέχρι τίνος, αὕτη διατάσσει· ὁρῶμεν δὲ καὶ τὰς ἐντιμοτάτας τῶν δυνάμεων ὑπὸ ταύτην οὔσας, οἷον στρατηγικὴν, οἰκονομικὴν, ῥητορικήν. [o] Χρωμένης δὲ ταύτης ταῖς λοιπαῖς πρακτικαῖς τῶν ἐπιστημῶν, ἔτι δὲ νομοθετούσης τί δεῖ πράττειν, καὶ τίνων ἀπέχεσθαι, τὸ ταύτης τέλος περιέχοι ἂν τὰ τῶν ἄλλων· ὥστε τοῦτ᾽ ἂν εἴη τἀνθρώπινον ἀγαθόν. Εἰ γὰρ καὶ ταὐτόν ἐστιν ἑνὶ καὶ πόλει, μεῖζόν γε καὶ τελειότερον τὸ τῆς πόλεως φαίνεται καὶ λαβεῖν καὶ σώζειν· ἀγαπητὸν μὲν γὰρ καὶ ἑνὶ μόνῳ· κάλλιον δὲ καὶ θειότερον, ἔθνει καὶ πόλεσιν. Ἡ μὲν οὖν μέθοδος τούτων ἐφίεται, πολιτική τις οὖσα.

ΚΕΦ. γ΄.

ΛΕΓΟΙΤΟ δ᾽ ἂν ἱκανῶς, εἰ κατὰ τὴν ὑποκειμένην ὕλην διασαφηθείη· τὸ γὰρ ἀκριβὲς οὐχ ὁμοίως [p] ἐν ἅπασι

N C. El. Andr. Sic etiam alii scripti codd. ex testimonio Victorii: quæ lectio Argyr. etiam placuit. [o] Χρωμένης γὰρ Eustrat. Vet. Interp. et Argyr. Utraque lectio defendi potest. *Casaubonus.* [p] Ἐφ᾽ ἑκάστου γένους Cam. et antiquus fidelisque codex Victorii: cum iis facit Eustratius; Andr. vero ἐν πᾶσι τοῖς λόγοις.

ad quod tempus, ea statuit ac præscribit: facultates autem etiam eas, quæ summo in honore sunt, ut artem imperatoriam, et rationem tuendæ rei familiaris, et bene dicendi facultatem, huic esse subjectas videmus. Quod si hæc reliquis omnibus artibus, quæ in actione versantur, utitur, legibusque latis quid agendum, et a quibus abstinendum sit præscribit, ejus fine reliquarum artium fines contineri videantur: itaque hoc erit summum hominis bonum. Nam etsi idem unius hominis et civitatis bonum sit, civitatis tamen bonum et consequi et conservare, majus quiddam esse et perfectius videtur: enimvero præclare nobiscum agatur, si id, quod vel uni soli sit utile, reperire possimus: sed longe profecto est id pulchrius ac divinius, quod gentibus et civitatibus usui est. Huic igitur arte et via susceptæ institutioni hæc sunt proposita, quæ sequatur et expetat, cum scientia quædam civilis sit.

CAP. III.

IN ea autem tractanda nihil desiderari debeat, si pro rei subjectæ natura explicetur: non enim in omni disputationis ac sermonis gene-

τοῖς λόγοις ἐπιζητητέον, ὥσπερ [q] οὐδὲ ἐν τοῖς [r] δημιουργουμένοις. [s] Τὰ δὲ καλὰ καὶ τὰ δίκαια, περὶ ὧν ἡ πολιτικὴ σκοπεῖται, τοσαύτην ἔχει διαφορὰν καὶ πλάνην, ὥστε [t] δοκεῖν νόμῳ μόνον εἶναι, φύσει δὲ μή. Τοιαύτην δέ τινα πλάνην ἔχει καὶ τἀγαθὰ, διὰ τὸ πολλοῖς συμβαίνειν βλάβας ἀπ' αὐτῶν· ἤδη γάρ τινες ἀπώλοντο διὰ πλοῦτον, ἕτεροι δὲ δι' [u] ἀνδρίαν. Ἀγαπητὸν οὖν, περὶ τοιούτων καὶ [x] ἐκ τοιούτων λέγοντας, παχυλῶς καὶ τύπῳ τἀληθὲς ἐνδείκνυσθαι· καὶ [y] περὶ τῶν ὡς ἐπὶ τὸ πολὺ, καὶ ἐκ τοιούτων λέγοντας, τοιαῦτα καὶ συμπεραίνεσθαι. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἀποδέχεσθαι χρεὼν ἕκαστον τῶν λεγομένων· πεπαιδευμένου γάρ ἐστιν ἐπὶ τοσοῦτον τἀκριβὲς ἐπιζητεῖν καθ' ἕκαστον γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται· παραπλήσιον γὰρ φαίνεται, μαθηματικοῦ τε πιθανολογοῦντος ἀποδέχεσθαι, καὶ ῥητορικὸν ἀπο-

[q] Οὐδὲ deest Ven. 1. [r] Sic propter diversam materiam, qua utuntur, hominis imaginem non æque accurate exprimunt plastes et pictor, pictor enim colorem addit, et molem quandam et distantiam exprimere videtur; hoc enim materia, qua utitur, permittit; plastes molem exprimit, colorem vero ut addat, non sinit materia. Similiter in aliis artibus accidit. [s] Hanc quæstionem tractat infra lib. v. cap. 6. &c. [t] Δοκεῖ N C. [u] Alii animi, non corporis vires per ἀνδρίαν intelligi volunt. [x] Andr. explicat per περὶ τοῦ ἐκ τούτων τέλους, *de eorum fine.* [y] Περὶ τῶν τοιούτων C C C. ὡς ἐπὶ τὸ πολὺ τῷ ἀναγκαίῳ, *necessario,* opponitur.

re peræque accurata subtilitas requirenda est, quemadmodum nec in operibus manufactis. Atqui in iis rebus, quæ honestæ quæque justæ sunt, quas civilis scientia considerat, tanta est dissensio, tantaque in eis versatur erratio, ut lege tantummodo, non natura constare videantur. Eademque de bonis quoque controversia est et idem error exstitit, propterea quod ex his multi detrimenta capiunt: aliis enim jam divitiæ, aliis fortitudo corporis exitio fuit. Ergo satis erit, si, cum de rebus et ex rebus ejusmodi verba facimus, rudem quandam veri formam adumbremus: et cum de rebus, quæ plurimum eveniunt, atque ex talibus disputationem instituimus, talia quoque concludamus. Eodemque modo quæcunque ab alio dicuntur accipi probarique debent: est enim hominis probe instituti tantam in unoquoque genere subtilitatem desiderare, quantam rei ipsius natura recipit: nihil enim videtur interesse, utrum mathematicum rationibus ad persuadendum ac-

δείξεις ἀπαιτεῖν. Ἕκαστος δὲ κρίνει καλῶς ἃ γινώσκει, καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής· [a] καθ' ἕκαστον ἄρα, ὁ πεπαιδευμένος· ἁπλῶς δὲ, ὁ περὶ πᾶν πεπαιδευμένος. Διὸ τῆς πολιτικῆς οὐκ ἔστιν οἰκεῖος ἀκροατὴς ὁ νέος· ἄπειρος γὰρ τῶν κατὰ τὸν βίον πράξεων· οἱ λόγοι δὲ ἐκ τούτων καὶ περὶ τούτων. Ἔτι δὲ, τοῖς πάθεσιν ἀκολουθητικὸς ὢν, ματαίως ἀκούσεται καὶ ἀνωφελῶς· ἐπειδὴ τὸ τέλος ἐστὶν, οὐ γνῶσις, ἀλλὰ πρᾶξις. Διαφέρει δ' οὐθὲν νέος τὴν ἡλικίαν, ἢ τὸ ἦθος νεαρός· οὐ γὰρ παρὰ τὸν χρόνον ἡ ἔλλειψις, ἀλλὰ διὰ τὸ κατὰ πάθος ζῆν, καὶ [a] διώκειν ἕκαστα· τοῖς γὰρ τοιούτοις ἀνόνητος ἡ γνῶσις γίνεται, καθάπερ τοῖς ἀκρατέσι· [b] τοῖς δὲ κατὰ λόγον τὰς ὀρέξεις ποιουμένοις καὶ πράττουσι, πολυωφελὲς ἂν εἴη τὸ περὶ

[a] Codd. aliqui apud Mur. ἕκαστον ἄρα ὁ καθ' ἕκ. πεπ. Quidam, ut testatur Cas. ὁ καθ' ἕκ. πεπ. vel ὁ περί τι πεπ. sed male, ut patet ex lib. i. cap. 6. Eth. ad Eud. ubi definit ἀπαιδευσίαν, περὶ ἕκαστον πρᾶγμα τὸ μὴ δύνασθαι κρίνειν τούς τε οἰκείους λόγους τοῦ πράγματος, καὶ τοὺς ἀλλοτρίους: ideo, secundum Philosophum, πεπαιδευμένος est is, qui περὶ ἕκαστον καλῶς κρίνειν δύναται: quod nostram lectionem et interpunctionem hujus sententiæ confirmat. Vide initium lib. i. de Part. Animal.
[a] Διωκεῖν Mur. [b] Quod eorum mens, a pravarum cupiditatum servitute vindicata et quasi sui juris facta, quæcunque facienda ex hac doctrina didicerit, præstare poterit.

commodatis utentem feras, an ab oratore demonstrationes postules. De iis autem, quæ habet perspecta et cognita, bene quisque judicat, et horum bonus est judex: de singulis ergo rebus recte judicabit is, qui singulis in rebus est eruditus: absolute vero et universe de omnibus, homo in omni doctrinæ genere versatus. Quocirca juvenis ad civilem scientiam non est accommodatus auditor: est enim actionum, quæ in hac vita versantur, imperitus: at ex his constat, et de his habetur hæc disputatio. Præterea vero, cum affectibus animi serviat et obtemperet, inanem atque inutilem operam in audiendo sumet; quandoquidem finis prudentiæ civilis in actione, non in cognitione consistit. Ætate autem sit juvenis, an moribus novus et rudis, nihil refert: non est enim culpa in tempore, sed in eo, quod perturbationi convenienter et vivat, et unumquidque persequatur: hujusmodi enim hominibus inutilis cognitio est, ut et incontinentibus: iis vero, qui ratione suas appetitiones et actiones dirigunt, fructum u-

τούτων εἰδέναι. Καὶ περὶ μὲν ἀκροατοῦ, καὶ πῶς [c]ἀποδεκτέον, καὶ τί [d]προτιθέμεθα, [e]πεφροιμιάσθω τοσαῦτα.

ΚΕΦ. δ'.

ΛΕΓΩΜΕΝ δὲ ἀναλαβόντες, ἐπειδὴ πᾶσα γνῶσις καὶ προαίρεσις ἀγαθοῦ τινος [f]ὀρέγεται, τί ἐστιν οὗ λέγομεν τὴν πολιτικὴν ἐφίεσθαι, καὶ τί τὸ πάντων ἀκρότατον τῶν πρακτῶν [g]ἀγαθόν. Ὀνόματι μὲν οὖν σχεδὸν ὑπὸ τῶν πλείστων ὁμολογεῖται· τὴν γὰρ [h]εὐδαιμονίαν καὶ οἱ πολλοὶ, καὶ οἱ χαρίεντες λέγουσι· τὸ δὲ [i]εὖ ζῆν καὶ τὸ εὖ πράττειν ταὐτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. Περὶ δὲ τῆς εὐδαιμονίας, [k]τίς ἐστιν, ἀμφισβητοῦσι· καὶ οὐχ ὁμοίως οἱ πολλοὶ τοῖς σοφοῖς ἀποδιδόασιν· οἱ μὲν γὰρ τῶν ἐναργῶν τι καὶ φανερῶν, οἷον ἡδονὴν, ἢ πλοῦτον, ἢ τιμήν· ἄλλοι δὲ ἄλλο· πολλάκις δὲ καὶ ὁ αὐτὸς

[c] Ἀποδεικτέον Vet. Interp. [d] Προσθέμεθα N C. [e] Πεπροοιμ. El. [f] Ἐφίεται N C. cujus in marg. annot. legi etiam ὀρέγεται. [g] Ἀγαθῶν N C. Eustrat. et Andr. [h] Εὐδαιμονία, quam plurimi *felicitatem* vertunt, a Lamb. semper *beatitudo* transfertur; quæ melius ei respondet quam felicitas, quæ apud optimos Latini sermonis scriptores idem valet quod εὐτυχία, bonorum sc. externorum copia. [i] Vide Magnorum Moralium lib. i. cap. 4. et Eud. lib. ii. cap. 1. [k] Τί ἐστιν Ven. 1. et Andr.

berrimum ferre potest. Ac de auditore quidem, qualis esse debeat, quoque modo accipiendum quidque sit, et quid nobis ad dicendum sit propositum, hæc procemii loco dicta sint.

CAP. IV.

JAM vero repetitis iis, quæ supra diximus, quoniam omnis cognitio omneque adeo consilium bonum aliquod expetit, dicamus quidnam illud sit, quod ponimus a civili scientia expeti, et quod sit omnium rerum, quæ in actione versantur, summum bonum. De nomine quidem igitur inter plurimos fere convenit: beatitudinem enim et multitudo, et eruditi politique homines appellant: bene autem vivere et bene rem gerere idem quod beatum esse existimant. Sed quæ res sit beatitudo, de ea re vero omnis controversia est: neque vulgus et sapientes similiter eam declarant; alii enim aliquid eorum, quæ sunt in promptu et quæ manifesta sunt, esse volunt, ut voluptatem, aut divitias, aut honorem, aliique aliud: sæpenumero autem etiam unus et i-

ἕτερον· νοσήσας μὲν γὰρ ὑγίειαν, πενόμενος δὲ πλοῦτον· συνειδότες δὲ ἑαυτοῖς ἄγνοιαν, τοὺς μέγα τι καὶ ὑπὲρ αὐτοὺς λέγοντας θαυμάζουσιν. Ἔνιοι δὲ ᾤοντο παρὰ τὰ πολλὰ ταῦτα ἀγαθὰ, ἄλλο τι καθ' αὑτὸ εἶναι, ὃ καὶ τοῖσδε πᾶσιν αἴτιόν ἐστι τοῦ εἶναι ἀγαθά. [1]Ἁπάσας μὲν οὖν ἐξετάζειν τὰς δόξας ματαιότερον ἴσως ἐστίν· ἱκανὸν δὲ τὰς μάλιστα [k]ἐπιπολαζούσας, ἢ δοκούσας ἔχειν τινὰ λόγον. Μὴ λανθανέτω δ' ἡμᾶς, ὅτι διαφέρουσιν οἱ [l]ἀπὸ τῶν ἀρχῶν λόγοι, καὶ οἱ ἐπὶ τὰς ἀρχάς· εὖ γὰρ καὶ Πλάτων ἠπόρει τοῦτο καὶ ἐζήτει, πότερον ἀπὸ τῶν ἀρχῶν, ἢ ἐπὶ τὰς ἀρχάς ἐστιν ἡ ὁδός· ὥσπερ ἐν τῷ σταδίῳ ἀπὸ τῶν [m]ἀθλοθετῶν ἐπὶ τὸ πέρας, ἢ ἀνάπαλιν. [2]Ἀρκτέον μὲν γὰρ ἀπὸ τῶν γνωρίμων· ταῦτα δὲ διττῶς· τὰ μὲν γὰρ ἡμῖν, τὰ δὲ ἁπλῶς· ἴσως οὖν ἡμῖν γε ἀρκτέον [n]ἀπὸ τῶν ἡμῖν

[1] Eud. lib. i. cap. 3. [k] Ἐπιπολάζων proprie significat *innatans, fluitans, in superficie existens*: per translationem *eminens, notus* vel *minus reconditus*. Andr. παραφράζει per ἐπὶ τὸ πολὺ καὶ ὑπὸ πλειόνων νομιζόμενον. [l] Διὰ τῶν N C. Finis respectu actionum habet rationem principii vel causæ, quia illæ ejus gratia suscipiuntur. [m] Ἀθλοθέται *magistri certaminum*, qui præmia tribuebant: hi stadii initio sedebant; inde est quod ἀπὸ τῶν ἀθλοθετῶν aliquando carceres, sive stadii initium denotat. [2] Post Analyt. lib. i. cap. 2. Phys. lib. i. cap. 1. Metaphys. lib. vii. cap. 4. [n] Sc. ab actionibus. Principia vero et causæ vel simpliciter, vel natura nota dicuntur: ea quippe natura prius adhibet, primumque in ea intuetur.

dem aliud: æger enim bonam valetudinem, pauper divitias; qui autem sibi ipsis ignorantiæ conscii sunt, eos admirantur, qui magna quædam et ipsorum facultate superiora loquuntur. Quidam vero, præter hæc complura bona, aliud quoddam per se bonum esse putabant, quod et his omnibus, cur bona sint, causa est. Atque omnes quidem opiniones expendere, fortasse operam inanem sumere fuerit: satis autem erit, si eas potissimum, quæ sunt insigniores, quæve aliqua ratione niti videntur, in medium proferamus. Sed hoc ignorare non debemus, interesse inter eas vias, quæ a principiis proficiscuntur, et eas quæ ad principia ferunt: recte enim etiam Plato de hoc dubitabat, et quærebat, utrum via a principiis ad fines, an a finibus ad principia duceret: velut in stadio utrum ab iis qui præmia proponunt ad calcem, an contra. Initium enim ab iis rebus, quæ notæ sunt, sumendum est: hæ autem dicuntur duobus modis: aliæ enim nobis notæ, aliæ per se et absolute notæ sunt: fortasse igitur nobis initium ab

γνωρίμων. Διὸ δεῖ τοῖς [o] ἔθεσιν ἦχθαι καλῶς τὸν περὶ καλῶν καὶ δικαίων, καὶ ὅλως τῶν πολιτικῶν ἀκουσόμενον ἱκανῶς· [p] ἀρχὴ γὰρ τὸ ὅτι· καὶ εἰ τοῦτο φαίνοιτο ἀρκούντως, οὐδὲν προσδεήσει τοῦ διότι. Ὁ δὲ τοιοῦτος ἢ [q] ἔχει, ἢ λάβοι ἂν ἀρχὰς ῥᾳδίως· ᾧ δὲ μηδέτερον ὑπάρχει τούτων, ἀκουσάτω τῶν Ἡσιόδου·

" Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα [r] νοήσῃ,
" [s] Φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ἦσιν ἀμείνω·
" Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
" Ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
" Ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρήϊος ἀνήρ.

ΚΕΦ. ε΄.

ΗΜΕΙΣ δὲ λέγωμεν ὅθεν παρεξέβημεν· [t] τὸ γὰρ ἀγαθὸν καὶ τὴν εὐδαιμονίαν οὐκ ἀλόγως ἐοίκασιν ἐκ τῶν βίων

[o] Ἤθεσι C C C. Ven. 2. nobiscum vero legit Andr. Vide Vict. [p] Ἀρχῆ Bas. in marg. Sic etiam in marg. C C C. recentiori vero manu: sed pro ἀρχὴ facit quod infra sub finem cap. vii. repetitur. [q] Ἔχει N C. Ven. 1. ἢ ante ἔχει deest MSS. [r] Νοήσει N C. et El. Sic vulg. editt. quæ etiam αὐτῷ habent, et postea αὐτῷ νοίῃ, cui lectioni hæc postponenda non est, quam agnoscit Andr. et MSS. [s] N C. et El. hic versus deest: eum Hesiodi non esse censuit Muretus, quem videas. Hesiod. Ἔργων. v. 293. [t] Ἕκαστοι ἀκολούθως τῷ οἰκείῳ βίῳ τὴν εὐδαιμονίαν ὁρίζονται, *singuli pro suo, in quo versantur, vitæ genere, felicitatem definiunt.* Andr.

iis rebus sumendum est, quæ sunt nobis notæ. Quocirca qui de rebus honestis et justis, et, ut semel dicam, de civilibus utiliter auditurus est, eum oportet esse bene educatum beneque moratum: principium est enim scire rem ita esse; quod si sit satis perspicuum, cur ita sit non magnopere desiderabitur. Homo autem ejusmodi aut jam tenet principia, aut ea facile percipere ac tenere possit; cui vero neutrum horum suppetit, audiat Hesiodi versus:

Optimus est, sese qui novit cuncta magistro,
Ad finem usque videns quæ semper sunt meliora;
Est bonus ille etiam, qui paret recta monenti:
At qui mentis inops aliorum audire recusat
Consilia, hic malus est, telluris inutile pondus.

CAP. V.

SED nos eo unde digressi sumus orationem revocemus: nam summum bonum et beatitudinem non sine ratione ex variis vitæ generi-

ὑπολαμβάνειν· οἱ μὲν πολλοὶ καὶ [u]φορτικώτατοι τὴν ἡδονήν· διὸ καὶ τὸν βίον ἀγαπῶσι τὸν ἀπολαυστικόν. [w]Τρεῖς γάρ εἰσι μάλιστα οἱ προέχοντες, ὅ, τε νῦν εἰρημένος, καὶ ὁ πολιτικὸς, καὶ τρίτος ὁ θεωρητικός. [x]Οἱ μὲν οὖν πολλοὶ παντελῶς ἀνδραποδώδεις φαίνονται, βοσκημάτων βίον προαιρούμενοι· τυγχάνουσι δὲ λόγου, διὰ τὸ πολλοὺς τῶν ἐν ταῖς ἐξουσίαις [y]ὁμοιοπαθεῖν Σαρδαναπάλῳ· οἱ δὲ χαρίεντες καὶ πρακτικοὶ τιμήν· τοῦ γὰρ πολιτικοῦ βίου σχεδὸν τοῦτο τὸ τέλος· φαίνεται δὲ [z]ἐπιπολαιότερον εἶναι τοῦ ζητουμένου· δοκεῖ γὰρ ἐν τοῖς τιμῶσι μᾶλλον εἶναι, ἢ ἐν τῷ τιμωμένῳ· τἀγαθὸν δὲ οἰκεῖόν τι καὶ δυσαφαίρετον εἶναι μαντευόμεθα. Ἔτι δὲ ἐοίκασι τὴν τιμὴν διώκειν, ἵνα πιστεύωσιν ἑαυτοὺς ἀγαθοὺς εἶναι· ζητοῦσι γοῦν ὑπὸ τῶν φρονίμων τιμᾶσθαι, καὶ παρ' οἷς γιγνώσκονται,

[u] Per *maximo odio digni* verti vult Vict. [w] Eud. lib. i. cap. 4. [x] Distinctionem hanc sequuntur etiam aliæ editt. Sequentia tamen hanc videntur postulare, *οἱ μὲν οὖν πολλοὶ παντελῶς ἀνδραποδώδεις, φαίνονται βοσκημάτων βίον προαιρούμενοι*: nam hujus membri redditio est, *οἱ δὲ χαρίεντες καὶ πρακτικοὶ, τιμήν*. *Sylb.* [y] Ὁμοπαθεῖν El. [z] *Minus exquisitum* et *levius* atque *minus solidum*; qualia sunt, quæ supra aquas fluitant.

bus existimare videntur: vulgus quidem et ineptissimi stolidissimique homines esse voluptatem: itaque eam etiam vitam amplectuntur, quæ tota in perfruendis voluptatibus consumitur. Tria enim sunt vitæ genera quæ maxime antecellunt, unum quod modo diximus, alterum civile, tertium id quod in contemplatione et cognitione rerum versatur. Ac multitudo quidem mancipiorum simillima est, ut quæ pecudum vitam cæteris anteponat: sed probabili ratione, cur ita sentiat, nititur, eoque patienter auditur, quod complures eorum, qui potestate et auctoritate præditi sunt, similibus, atque Sardanapalus, animi affectibus serviunt: politi vero homines et ii, qui ad agendum se contulerunt, beatitudinem in honore positam esse putant; fere enim vitæ civili hic propositus finis est: sed videtur eo, quem quærimus, infirmior minusque stabilis esse: est enim honor situs in iis potius, qui honorem deferunt, quam in eo, qui honore afficitur: at summum bonum proprium quiddam et ejusmodi, quod haud facile eripi possit, esse auguramur. Præterea vero honorem eo persequi videntur, ut credant se ipsos bonos esse: itaque coli se atque honore affici a prudentibus, et ab iis, qui-

καὶ ἐπ' ἀρετῇ· δῆλον οὖν, ὅτι κατά γε τούτους ἡ ἀρετὴ [a]κρείττων. Τάχα δὲ καὶ μᾶλλον ἄν τις τέλος τοῦ πολιτικοῦ βίου ταύτην ὑπολάβοι· Φαίνεται δὲ [b]ἀτελεστέρα καὶ αὕτη· δοκεῖ γὰρ ἐνδέχεσθαι καὶ καθεύδειν ἔχοντα τὴν ἀρετὴν, ἢ ἀπρακτεῖν διὰ βίου, καὶ πρὸς τούτοις κακοπαθεῖν καὶ ἀτυχεῖν τὰ μέγιστα· τὸν δὲ οὕτω ζῶντα οὐδεὶς ἂν εὐδαιμονίσειεν, [c]εἰ μὴ [d]θέσιν διαφυλάττων. Καὶ περὶ μὲν τούτων ἅλις· ἱκανῶς γὰρ καὶ ἐν τοῖς [e]ἐγκυκλίοις εἴρηται περὶ αὐτῶν. Τρίτος δέ ἐστιν ὁ θεωρητικὸς, ὑπὲρ οὗ τὴν ἐπίσκεψιν [1]ἐν τοῖς ἑπομένοις ποιησόμεθα· ὁ δὲ [f]χρηματιστὴς βίαιός τίς ἐστι, καὶ ὁ πλοῦτος δῆλον ὅτι οὐ τὸ ζητούμενον ἀγαθόν· χρήσιμον γὰρ καὶ ἄλλου χάριν. Διὸ μᾶλλον τὰ πρότερον λεχθέντα τέλη τις ἂν ὑπο-

[a] Quidam libri veteres *κρεῖττον* (sic MSS. et Ven. 1. et 2.) idque mihi concinnius videtur. *Muret.* [b] Ἀτελεστέρα N C. [c] Ἢ μὴ Ven. 1. [d] Θέσις quælibet interdum propositio est; interdum tamen pro ea nominatim usurpatur, quæ admirabilis, incredibilis, simillima paradoxis existimatur: quod docet Aristot. i. Top. [e] Varie de hujus vocabuli significatione sentiunt eruditi: alii id carmina quædam, alii libros quosdam, qui omnium artium et scientiarum doctrinam, quam ἐγκυκλοπαιδείαν dixerunt, continebant, significare volunt: quidam autem idem esse quod ἐξωτερικά. Vide Eustrat. et Gruch. [1] Lib. x. [f] Χρηματιστικὸς Bas. in marg. et Andr. Potest esse vel *βίος χρημ.* vel *ἄνθρωπος*, potius vero *βίος*. *βίαιος βίος* interpretari licet vel *vitæ genus rapax*, vel quod *curis est ple-*

bus noti sunt, et virtutis nomine, volunt: perspicuum igitur est, horum quidem judicio, virtutem honore melius quiddam esse. Atque hanc potius fortasse aliquis vitæ civilis esse finem statuerit: sed hæc ipsa quoque imperfecta et manca quodammodo videtur esse: contingere enim posse videtur, ut qui virtute sit præditus, aut dormiat, aut in tota vita nihil agat, et præterea maximis in malis et calamitatibus versetur: eum autem, qui ita vivat, nemo in beatis numeraverit, nisi qui propositum admirabile et abhorrens a communibus hominum sensibus tueri velit. Ac de his quidem satis: nam de eis abunde etiam in Encycliis dictum est. Tertium vitæ genus est quod in rerum contemplatione cognitioneque consumitur, quod posterius considerabimus: quæ autem vita in pecuniæ quærendæ studio versatur, ea laboriosa est minimeque vitalis, et profecto in divitiis non est id bonum, quod quærimus, positum: illæ enim utiles sunt duntaxat et propter aliud expetendæ. Quapropter eos potius, quos supra exposuimus,

λάβοι· δι' αὐτὰ γὰρ ἀγαπᾶται· φαίνεται δ' οὐδ' ἐκεῖνα· [g]καίτοι πολλοὶ λόγοι πρὸς αὐτὰ καταβέβληνται. Ταῦτα μὲν οὖν ἀφείσθω.

ΚΕΦ. ϛʹ.

[1]ΤΟ δὲ καθόλου βέλτιον ἴσως ἐπισκέψασθαι, καὶ διαπορῆσαι πῶς λέγεται, καίπερ προσάντους τῆς τοιαύτης γινομένης ζητήσεως, διὰ τὸ [h]φίλους ἄνδρας εἰσαγαγεῖν τὰ εἴδη. Δόξειε δ' ἂν ἴσως βέλτιον εἶναι, καὶ δεῖν, ἐπὶ σωτηρίᾳ γε τῆς ἀληθείας, καὶ τὰ οἰκεῖα ἀναιρεῖν, ἄλλως τε καὶ φιλοσόφους ὄντας· ἀμφοῖν γὰρ ὄντοιν φίλοιν, ὅσιον προτιμᾷν τὴν ἀλήθειαν. Οἱ δὲ [i]κομίσαντες τὴν δόξαν ταύτην, οὐκ ἐποίουν ἰδέας ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον ἔλεγον· διόπερ οὐδὲ τῶν ἀριθμῶν ἰδέαν κατεσκεύαζον. Τὸ δὲ ἀγαθὸν λέγεται καὶ ἐν τῷ τί [k]ἐστι, καὶ ἐν τῷ ποιῷ, καὶ ἐν τῷ πρός τι· τὸ δὲ καθ'

num et *minime tranquillum.* Lambinus testatur in 2 codd. se legisse βίος ἄβιος, quam lectionem haud ineleganter expressit. [g] Sc. a veteribus, quorum alii in honore, alii in voluptate summum bonum collocarunt. [1] Eud. lib. i. cap. 8. Mag. Moral. lib. i. cap. 1. et cap. 4. hujus lib. [h] Platonem et illos, qui ab eo erant, intelligit. [i] Νομίσαντες Cam. [k] Ἔστι deest N C. El. et Ven. 2.

fines esse merito quis existimaverit; propter se enim adamantur: veruntamen ne illi quidem bonorum videntur esse fines: atqui multæ rationes ad ea ostendenda ac probanda sunt allatæ. Sed hæc missa faciamus.

CAP. VI.

UNIVERSUM autem bonum considerare, quoque modo dicatur quærere, fortasse præstiterit, tametsi nobis sit hæc quæstio lubrica sane atque ardua futura, propterea quod homines amici ideas introduxerunt. Fortasse autem præstare, atque adeo oportere videatur, veritatis tuendæ causa, vel nostra ipsorum decreta evertere, præsertim cum etiam nos Philosophi simus: nam cum utraque cara sint, tum pium est amicis antiquiorem habere veritatem. Qui porro hanc opinionem attulerunt, non faciebant earum rerum ideas in quibus prius et posterius aliquid esse dicerent: itaque ne numerorum quidem ideam constituebant. At bonum et in substantia dicitur, et in qualitate, et in eo, quod ad aliquid refertur: id autem, quod per se est, et

αὐτὸ καὶ ἡ οὐσία πρότερον τῇ φύσει τοῦ πρός τι· [l]παραφυάδι γὰρ τοῦτ' ἔοικε, καὶ συμβεβηκότι τοῦ ὄντος· ὥστ' οὐκ ἂν εἴη κοινή τις ἐπὶ τούτων ἰδέα. Ἔτι, ἐπεὶ [m]τἀγαθὸν ἰσαχῶς λέγεται τῷ ὄντι· καὶ γὰρ ἐν τῷ τί λέγεται, οἷον ὁ θεὸς, καὶ ὁ νοῦς, καὶ ἐν τῷ ποιῷ, αἱ ἀρεταὶ, καὶ ἐν τῷ ποσῷ, τὸ μέτριον, καὶ ἐν τῷ πρός τι, τὸ χρήσιμον, καὶ ἐν [n]χρόνῳ, καιρὸς, καὶ [o]ἐν τόπῳ, δίαιτα, καὶ ἕτερα τοιαῦτα· δῆλον, ὡς οὐκ ἂν εἴη κοινόν τι καθόλου καὶ ἕν· οὐ γὰρ ἂν ἐλέγετο ἐν πάσαις ταῖς κατηγορίαις, ἀλλ' ἐν μιᾷ μόνῃ. Ἔτι δὲ, ἐπεὶ τῶν κατὰ μίαν ἰδέαν [p]μία καὶ ἐπιστήμη, καὶ τῶν ἀγαθῶν ἁπάντων ἦν ἂν μία τις ἐπιστήμη· νῦν δ' εἰσὶ πολλαὶ καὶ τῶν ὑπὸ μίαν κατηγορίαν, οἷον καιροῦ, ἐν πολέμῳ μὲν στρατηγικὴ, ἐν νόσῳ δὲ ἰατρική· [q]καὶ τοῦ μετρίου, ἐν τροφῇ μὲν ἰατρικὴ, ἐν πόνοις δὲ γυμναστική. Ἀπορήσειε δ' ἄν τις τί ποτε καὶ βούλονται λέγειν [r]αὐ-

[l] Παραφυὰς dicitur de eo, quod alteri accrescit, ut ramus arbori. [m] Sine articulo legunt Camot. et C C C. [n] Ἐν τῷ χρόνῳ MSS. [o] Ἐν τῷ ποῦ optimus liber apud Vict. Eustrat. et Andr. [p] Μία τις ἐπιστ. Ven. 1. et 2. [q] Καὶ τοῦ μετρίου, ἐν τροφῇ μὲν ἰατρικὴ desunt N C. Vet. Interp. et El. hujus vero in marg. scribuntur. [r] Αὐτὸ ἕκαστον N C. Ven. 2. *ipsum quodque:* sic Plato appellat uni-

substantia, eo, quod ad aliquid refertur, prius est natura: hoc enim arboris pullo, eique rei, quæ ei, quod est, accidit, simile est: itaque nec possit in his esse idea aliqua communis. Præterea, quoniam bonum totidem modis dicitur, quot id quod est; (nam et in substantia dicitur, ut Deus, et mens; et in qualitate, ut virtutes; et in quanto, ut mediocritas; et in iis, quæ ad aliquid referuntur, ut utilitas; et in tempore, ut occasio; et in loco, ut domicilium, seu diversorium, et alia hujus generis:) perspicuum est commune aliquod et unum bonum universum esse non posse; non enim in omnibus categoriis, sed in una sola diceretur. Præterea, quoniam eorum omnium, quæ una idea continentur, una etiam scientia est, necesse quoque esset bona omnia una scientia comprehendi: nunc autem scientiæ plures sunt etiam eorum, quæ uni categoriæ subjecta sunt, ut occasionis, in bello ars imperatoria, in morbo medicina; et mediocritatis, in victu medicina, in laboribus, ars ea quæ ad exercitationem corporis pertinet. Sed quærat aliquis, quid sibi velit apud illos ip-

τοἕκαστον, εἴπερ ἕν τε αὐτοανθρώπῳ καὶ ἀνθρώπῳ εἷς καὶ ὁ αὐτὸς λόγος ἐστὶν ὁ τοῦ ἀνθρώπου· ᾗ γὰρ ἄνθρωπος, οὐδὲν διοίσουσιν. Εἰ δ' οὕτως, [s]οὐδ' ᾗ ἀγαθόν· ἀλλὰ μὴν [t]οὐδὲ τῷ ἀΐδιον εἶναι, μᾶλλον ἀγαθὸν ἔσται· εἴπερ μηδὲ λευκότερον τὸ πολυχρόνιον τοῦ ἐφημέρου. Πιθανώτερον δ' ἐοίκασιν οἱ Πυθαγόρειοι λέγειν περὶ αὐτοῦ, τιθέντες ἐν τῇ τῶν ἀγαθῶν [u]συστοιχίᾳ τὸ ἕν· οἷς δὴ καὶ [x]Σπεύσιππος ἐπακολουθῆσαι δοκεῖ. Ἀλλὰ περὶ μὲν [y]τούτων ἄλλος [z]ἔστω λόγος· τοῖς δὲ λεχθεῖσιν ἀμφισβήτησίς τις ὑποφαίνεται, [a]διὰ τὸ μὴ περὶ

uscujusque rei formam seu ideam, quoniam rerum singularium species in se continet, et propterea ipsum unumquodque sit: in initio cap. eam τὸ καθόλου nominat Arist. In genere αὐτοέκαστον de omni idea dicitur, in specie vero αὐτοάνθρωπος *hominis idea* est. [s] Sic bonum qua bonum nihil differt ab ipso bono sive idea boni. [t] Sempiternitas, quam Platonici ideis attribuerunt, illas non a rebus, quarum sunt ideæ, differre facit, quoniam temporis diuturnitas rerum naturam et essentiam non mutat. [u] Pythagoreorum συστοιχίαι τῶν ἀγαθῶν καὶ τῶν κακῶν, sive ut alibi loquitur Aristot. αἱ ἀρχαὶ κατὰ συστοιχίαν λεγόμεναι, tales erant:

τὸ πέρας,	τὸ ἄπειρον,
τὸ περισσὸν,	τὸ ἄρτιον,
τὸ ἕν,	τὸ πλῆθος,
τὸ δεξιὸν,	τὸ ἀριστερὸν,
τὸ ἄῤῥεν,	τὸ θῆλυ,
τὸ εὐθὺ,	τὸ καμπύλον,
τὸ φῶς,	τὸ σκότος,
τὸ τετράγωνον,	τὸ ἑτερόμηκες,
τὸ ἠρεμοῦν,	τὸ κινούμενον,
τὸ ἀγαθόν.	τὸ κακόν.

Metaph. lib. i. cap. 5. et lib. xiv. cap. 3. [x] Σπεύσιππος fuit Platonis ex sorore nepos et in Academía successor; cujus libros Aristoteles tribus millibus emisse dicitur, teste Laërtio. [y] Οὖν, quod aliqui hic legunt post μὲν, delevimus ex auctoritate MSS. Andr. Eustrat. et Aurel. [z] Ἔσται C C C. et Andr. [a] Διὰ τὸ μὴ περὶ παντὸς ἀγαθοῦ sc. κατὰ μέρος, *sigillatim*: μὴ C C C. deest; quod legi non debere existimavit Gruch. quem vide: sed cum Andr. habeat, vix est quod hanc genuinam lectionem esse dubitemus.

sum quidque quod appellant, cum et in ipsum hominem et in hominem una eademque quadret hominis definitio; nam qua homo sit ipse homo, nihil different. Quod si ita est, nec qua bonum sit: neque vero eo quod sempiternum sit, magis erit bonum; siquidem neque res candida diuturna candidior est ea, quæ unum diem candida est. Mihi vero probabilius de eo Pythagorei loqui videntur, qui unum in bonorum ordine locant; quos et Speusippus videtur esse secutus. Sed de his quidem non est hic proprius dicendi locus: de iis autem, quæ dicta sunt, dubitatio quædam suboritur, propterea quia non de

παντὸς ἀγαθοῦ τοὺς λόγους [b] εἰρῆσθαι· λέγεσθαι δὲ καθ' ἓν εἶδος [c] τὰ καθ' αὑτὰ διωκόμενα καὶ ἀγαπώμενα· τὰ δὲ ποιητικὰ τούτων, ἢ φυλακτικά πως, ἢ τῶν ἐναντίων κωλυτικὰ, διὰ ταῦτα λέγεσθαι, καὶ τρόπον ἄλλον. Δῆλον οὖν ὅτι διττῶς λέγοιτ' ἂν [d] τἀγαθά· καὶ τὰ μὲν καθ' αὑτὰ, θάτερα δὲ διὰ ταῦτα. Χωρίσαντες οὖν ἀπὸ τῶν ὠφελίμων τὰ καθ' αὑτὰ, σκεψώμεθα, εἰ λέγεται κατὰ μίαν ἰδέαν. Καθ' αὑτὰ δὲ ποῖα θείη τις ἄν; ἢ ὅσα καὶ μονούμενα διώκεται, οἷον τὸ φρονεῖν, καὶ ὁρᾶν, καὶ ἡδοναί τινες, καὶ τιμαί; ταῦτα γὰρ, εἰ καὶ δι' ἄλλο τι διώκομεν, ὅμως τῶν καθ' αὑτὰ ἀγαθῶν θείη ἄν τις· ἢ [e] οὐδ' ἄλλο οὐδὲν πλὴν τῆς ἰδέας; [f] ὥστε μάταιον ἔσται τὸ εἶδος. Εἰ δὲ καὶ ταῦτά ἐστι τῶν καθ' αὑτὰ, τὸν τἀγαθοῦ λόγον ἐν ἅπασιν αὐτοῖς τὸν αὐτὸν [g] ἐμφαίνεσθαι δεήσει, καθάπερ ἐν χιόνι καὶ ψιμμυθίῳ τὸν τῆς λευκό-

[b] In margine quorundam scriptorum annotatum est legi etiam posse ποιεῖσθαι: quam scripturæ varietatem non novam esse declarat Vet. Interp. qui utramque exprimit, magis fideli vel simplici potius consilio, quam erudito. *Vict.* Ποιεῖσθαι El. [c] Ut virtus, bona valetudo: τὰ δὲ ποιητικὰ τούτων, ut exercitationes, quæ virtutis causa suscipiuntur, et remedia, quæ valetudinis causa adhibentur. [d] Τ' ἀγαθὸν N C. Vet. Interp. [e] Hæc εἰρωνικῶς dici videntur. Vide Eustrat. [f] Quod, cum alia sint per se bona, nihil ab iis differret. [g] Ἐπιφαίνεσθαι antiquus quidam cod. apud Vict.

omni bono loquuti videamur: cum dicatur unum genus eorum, quæ per se expetuntur et amantur: horum vero aut efficientia, aut aliquo modo conservantia, aut contrariorum prohibendorum vim habentia, propter hæc, et alia ratione, bona appellentur. Perspicuum igitur est bona duobus modis dici posse; uno modo ea, quæ per se bona sunt, altero ea, quæ propter hæc. Sejunctis igitur iis, quæ per se bona sunt, ab utilibus, utrum illa una idea contineantur, necne, videamus. Sed quænam per se bona habenda sunt? an quæcunque vel sola et a cæteris deserta sequimur, quale est sapere, et videre, et nonnullæ voluptates, et honores? (hæc enim, etsi propter aliud quippiam sequimur, tamen in bonis per se fortasse numeranda sunt) nihil aliud erit per se bonum præter ideam? erit igitur inanis idea. Quod si hæc quoque in iis, quæ per se bona sunt, numerari debent, boni definitionem eandem necesse erit in eis omnibus elucere, ut in nive, et ce-

τητος· τιμῆς δὲ, καὶ φρονήσεως, καὶ ἡδονῆς, ἕτεροι καὶ διαφέροντες οἱ λόγοι ταύτῃ ᾗ ἀγαθά. Οὐκ ἔστιν ἄρα τὸ ἀγαθὸν κοινόν τι κατὰ μίαν ἰδέαν. Ἀλλὰ πῶς δὴ [h] λέγεται; οὐ γὰρ ἔοικε τοῖς γε ἀπὸ τύχης ὁμωνύμοις· ἀλλ' ἆρα γε τῷ [i] ἀφ' ἑνὸς εἶναι, ἢ πρὸς ἓν ἅπαντα [k] συντελεῖν; ἢ μᾶλλον κατ' ἀναλογίαν; ὡς γὰρ ἐν σώματι ὄψις, ἐν ψυχῇ νοῦς, καὶ ἄλλο δὴ ἐν ἄλλῳ. Ἀλλ' ἴσως ταῦτα μὲν ἀφετέον [l] τὸ νῦν· ἐξακριβοῦν γὰρ ὑπὲρ αὐτῶν [m] ἄλλης [1] ἂν εἴη φιλοσοφίας οἰκειότερον· ὁμοίως δὲ καὶ περὶ τῆς ἰδέας· εἰ γὰρ καὶ ἔστιν [n] ἕν τι τὸ κοινῇ κατηγορούμενον ἀγαθὸν, ἢ χωριστόν τι αὐτὸ καθ' αὑτὸ, δῆλον, ὡς οὐκ ἂν εἴη πρακτὸν οὐδὲ κτητὸν ἀνθρώπῳ· νῦν δὲ τοιοῦτόν τι ζητεῖται. Τάχα δέ τῳ δόξειεν ἂν βέλτιον εἶναι γνωρίζειν αὐτὸ πρὸς τὰ κτητὰ καὶ πρακτὰ τῶν ἀγαθῶν· οἷον γὰρ παράδειγμα τοῦτ' ἔχοντες, [o] μᾶλλον[2] εἰσόμεθα καὶ τὰ ἡμῖν

[h] Λέγονται. Vet. Interp. Argyr. et Andr. [i] Ἐφ' ἑνὸς Ven. 1. et Bas. in marg. [k] Συντείνειν Bas. in marg. [l] Τανῦν Ven. 2. [m] Ἄλλῃ ἂν εἴη Φιλοσοφίᾳ Andr. [1] Metaphys. multis in locis. [n] Ἕν τι καὶ κοινῇ Ven. 2. [o] Μᾶλλον deest Ven. 2. et Eustrat. Andr. non legisse videtur. [2] Polit. lib. vi. cap. ult.

russa, candoris: at honoris, et prudentiæ, et voluptatis dissimiles ac dispares sunt definitiones, qua bona sunt. Non est igitur summum bonum commune quiddam, quod una idea constet. Quonam igitur modo dicitur? non enim simile est iis, quorum fortuito nomen est commune; an quia ab eo uno proficiscuntur omnia? an quod in unum omnia desinunt? an potius proportione? scilicet ut in corpore videndi sensus, mens in animo, et aliud in alio. Sed hæc fortasse in præsenti sunt omittenda: nam ad disputandum de iis subtilius alia Philosophia accommodatior esse videatur: similiter etiam de idea; nam etsi aliquod est unum bonum, quod communiter de multis dicatur, aut quod sit ab aliis sejunctum et ipsum per se, id nimirum nec in actionem humanam cadere, nec ab homine comparari potest: nunc autem tale aliquid quæritur. Sed fortasse satius esse duxerit quispiam id cognitum habere ad ea bona, quæ possideri quæque agi possunt, comparanda: nam cum ipsum tanquam exemplar nobis propositum habebimus, facilius ea quoque, quæ nobis bona sunt,

ἀγαθά· κἂν εἰδῶμεν, ἐπιτευξόμεθα αὐτῶν. Πιθανότητα μὲν [p]οὖν ἔχει τινὰ ὁ λόγος, ἔοικε δὲ ταῖς ἐπιστήμαις διαφωνεῖν· πᾶσαι γὰρ ἀγαθοῦ τινος ἐφιέμεναι, καὶ [q]τὸ ἐνδεὲς ἐπιζητοῦσαι, παραλείπουσι τὴν γνῶσιν αὐτοῦ· καίτοι βοήθημα τηλικοῦτον ἅπαντας τοὺς τεχνίτας ἀγνοεῖν, καὶ μηδὲ ἐπιζητεῖν, οὐκ εὔλογον. Ἄπορον δὲ καὶ τί ὠφεληθήσεται ὑφάντης ἢ τέκτων πρὸς τὴν αὑτοῦ τέχνην, εἰδὼς αὐτὸ τἀγαθόν· ἢ πῶς ἰατρικώτερος ἢ στρατηγικώτερος ἔσται, ὁ τὴν ἰδέαν αὐτὴν [r]τεθεαμένος· φαίνεται μὲν γὰρ οὐδὲ τὴν ὑγίειαν οὕτως ἐπισκοπεῖν ὁ ἰατρὸς, ἀλλὰ τὴν ἀνθρώπου, μᾶλλον δ' ἴσως τὴν τοῦδε· καθ' ἕκαστον γὰρ ἰατρεύει. Καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω.

ΚΕΦ. ζ΄.

ΠΑΛΙΝ δ' ἐπανέλθωμεν ἐπὶ τὸ ζητούμενον ἀγαθὸν, τί ποτ' ἂν εἴη· φαίνεται μὲν γὰρ ἄλλο ἐν ἄλλῃ πράξει καὶ

[p] Οὖν deest in Vet. Interp. [q] Ὥσπερ ἰατρικὴ μὲν τὸ ἐλλεῖπον τῆς ὑγιείας ἐπιζητεῖ, γυμναστικὴ δὲ τῆς ἀνδρείας. *Andr.* [r] Θεασάμενος Ven. 2.

et cognoscemus, et cognita consequemur. Atqui probabiliter quidem hæc dicuntur, sed a scientiis atque artibus plurimum videntur discrepare: nam cum aliquod bonum omnes expetant, et id quod deest requirant, ejus tamen cognitionem prætermittunt: atqui non est verisimile aut consentaneum artifices omnes tantum adjumentum fuisse ignoraturos, ac ne requisituros quidem. Illud quoque maxime dubium et pene inexplicabile est, quidnam utilitatis ad artem suam textor aut faber ex ipsius summi boni cognitione consecuturus sit: aut quo tandem modo vel ad medendum, vel ad exercitum ducendum aptior sit futurus is, qui ideam ipsam contemplatus fuerit: videtur enim medicus ne valetudinem quidem hoc modo inspicere, sed hominis, immo fortasse hujus hominis potius: singulis enim hominibus medicinam adhibet. De his igitur hactenus dictum sit.

CAP. VII.

NUNC autem ad id bonum, quod quæritur, revertamur, et quid illud sit videamus: aliud enim in alia actione et arte videtur esse:

τέχνῃ· ἄλλο γὰρ ἐν ἰατρικῇ, καὶ στρατηγικῇ, καὶ ταῖς λοιπαῖς ὁμοίως. Τί οὖν [s]ἑκάστῃ τἀγαθόν; ἢ οὗ χάριν τὰ λοιπὰ πράττεται; τοῦτο δ' ἐν ἰατρικῇ μὲν ὑγίεια, ἐν στρατηγικῇ δὲ νίκη, ἐν οἰκοδομικῇ δὲ οἰκία, ἐν ἄλλῳ δὲ ἄλλο· ἐν ἁπάσῃ δὲ πράξει καὶ προαιρέσει τὸ τέλος· τούτου γὰρ ἕνεκα τὰ λοιπὰ πράττουσι πάντες. Ὥστ' [t]εἴ τι τῶν πρακτῶν ἁπάντων ἐστὶ τέλος, τοῦτ' ἂν εἴη τὸ πρακτὸν ἀγαθόν· εἰ δὲ πλείω, ταῦτα. [u]Μεταβαίνων [x]δὴ ὁ λόγος, εἰς τὸ αὐτὸ ἀφῖκται. Τοῦτο δ' ἔτι μᾶλλον διασαφῆσαι πειρατέον· [y]ἐπεὶ δὲ πλείω φαίνεται τὰ τέλη, τούτων δ' αἱρούμεθά τινα δι' ἕτερα, οἷον πλοῦτον, [z]αὐλοὺς, καὶ ὅλως τὰ ὄργανα· δῆλον, ὡς οὐκ ἔστι [a]πάντα τέ-

[s] Ἑκάστης Ven. 2. [t] Quidam pro εἴ τι legunt εἰ ἕν τι. Sylb. [u] Μεταβαίνων γὰρ ὁ λόγος οὐδὲν ἤνυσε πλέον, ἀλλ' εἰς τὸ αὐτὸ ἀφίκετο, ὃ καὶ ἐν τοῖς προοιμίοις ἐλέγομεν, ὅτι τὸ πάσης πράξεως τέλος, τοῦτο ἂν εἴη τὸ ἀγαθὸν καὶ τὸ ἄριστον. *Andr.* Πολλὰ διελθὼν ὁ λόγος ἐν τῇ ζητήσει, καὶ ἀπ' ἄλλου εἰς ἄλλο μετατιθέμενος, εἰς τοῦτο ἔτι καταντᾷ, τὸ ἀμφισβητεῖν περὶ τοῦ τελείου ἀγαθοῦ τί ἐστι, καὶ εἰ ἕν ἐστι, ἢ πολλά. *Eustrat.* [x] Δὲ Lamb. [y] Ἐπεὶ δὴ Aurel. et Argyr. [z] Respexit forsan ad sermonem quendam Socratis, qui dicere solebat, ut tibiæ non sunt χρήματα nisi illis, qui eis uti scirent, ita ne opes quidem. [a] Hæc oratio neque eandem suavitatem, neque eandem vim habere in Latino sermone potest, quam in Græco habet, propter similitudinem et affinitatem duarum vocum Græcarum τέλος et τέλειον, quam Latini non assequuntur. Cum enim τὸ τοῦ τελείου ὄνομα modice inflexum sit ἀπὸ τοῦ τέλους, ἕκαστον πρᾶγμα ταύτῃ τέλειον λέγεται, ᾗ τέλους λόγον ἔχει. Jam ea, quæ ad aliud referuntur, quatenus talia sunt, οὐ δέχονται τὸν τοῦ τέλους λόγον. Sunt igitur, ut poetæ dicunt, quidam ἄγαμοι γάμοι, et νύμφαι ἄνυμφοι, ita τινὰ τέλη ἀτελῆ: quasi Latine dicas, *fines qui fines non sint*: cujusmodi sunt divitiæ, tibiæ, omninoque instrumenta. *Mur.*

siquidem aliud est in medicina, aliud in arte imperatoria, et in reliquis artibus eodem modo. Quodnam igitur cuique actioni artique bonum est? nonne id cujus causa aguntur cætera? hoc autem in medicina bona valetudo est, in arte imperatoria victoria, in arte ædificandi domus, aliudque in alia: in omni autem actione et consilio finis: quandoquidem hujus causa omnes agunt reliqua. Quocirca si quis est omnium rerum, quæ in actione versantur, finis, hoc erit bonum, quod in actionem cadit: sin plures, hæc erunt bona. Sed dum huc et illuc vagatur oratio, eodem revoluta est. Verum danda nobis opera est, ut hoc planius explicemus: quoniam igitur plures videntur esse fines, atque ex his aliquos propter alios expetimus, ut divitias, tibias, et uno nomine instrumenta: perspicuum est non omnes esse perfectos.

λεια. Τὸ δ' ἄριστον τέλειόν τι φαίνεται· ὥστ' εἰ μέν ἐστιν ἕν τι μόνον τέλειον, τοῦτ' ἂν εἴη τὸ ζητούμενον· εἰ δὲ πλείω, τὸ τελειότατον τούτων. Τελειότερον δὲ λέγομεν τὸ καθ' αὑτὸ διωκτὸν τοῦ δι' ἕτερον, καὶ τὸ μηδέποτε δι' ἄλλο αἱρετὸν τῶν [b]καὶ καθ' αὑτὰ καὶ διὰ τοῦθ' αἱρετῶν· καὶ ἁπλῶς δὴ τέλειον τὸ καθ' αὑτὸ αἱρετὸν αἰεὶ, καὶ μηδέποτε δι' ἄλλο. Τοιοῦτον δ' ἡ εὐδαιμονία μάλιστ' εἶναι δοκεῖ· ταύτην γὰρ αἱρούμεθα αἰεὶ δι' αὑτὴν, καὶ οὐδέποτε δι' ἄλλο· τιμὴν δὲ, καὶ ἡδονὴν, καὶ [c]νοῦν, καὶ πᾶσαν ἀρετὴν αἱρούμεθα μὲν καὶ δι' αὑτά· (μηδενὸς γὰρ ἀποβαίνοντος, ἑλοίμεθ' ἂν ἕκαστον αὐτῶν·) αἱρούμεθα δὲ καὶ τῆς εὐδαιμονίας χάριν, διὰ τούτων ὑπολαμβάνοντες εὐδαιμονήσειν· τὴν δ' εὐδαιμονίαν οὐδεὶς αἱρεῖται τούτων χάριν, οὐδ' ὅλως δι' ἄλλο. Φαίνεται δὲ καὶ ἐκ τῆς αὐταρκείας τὸ αὐτὸ συμβαίνειν· τὸ γὰρ τέλειον ἀγαθὸν αὔταρκες εἶναι δοκεῖ· τὸ

[b] Καὶ deest Cam. El. et N C. [c] Si eas voces, quas hic Aristot. conjungit, spectes, videtur appellatione τοῦ νοῦ improprie φρόνησιν intelligere: infra enim sic ait, τοῖς μὲν γὰρ ἀρετὴ, τοῖς δὲ φρόνησις, ἄλλοις δὲ σοφία τις εἶναι δοκεῖ, de beatitudine verba faciens.

Summum autem bonum perfectum quiddam videtur: si quis ergo unus undique perfectus sit, hoc erit bonum, quod quærimus: sin plures, horum absolutissimus. Atqui quod propter se expetendum est, eo, quod propter aliud expetitur, perfectius esse dicimus, et quod nunquam propter aliud optabile est, iis quæ et propter se, et propter aliud eliguntur: denique absolute perfectum est id, quod propter se semper eligitur, nunquamque propter aliud. Talis autem videtur esse in primis beatitudo: hanc enim propter se semper, et nunquam propter aliud optamus: at vero honorem, et voluptatem, et mentem sanam ac vegetam, et omnem virtutem, cum propter se illas quidem sequimur; (nam etiamsi nullum ex iis fructum percepturi essemus, tamen eorum unumquidque optaremus;) tum vero beatitudinis causa expetimus, quod existimemus nos his adjumentis fretos atque instructos beatos futuros: at beatitudinem nemo neque harum, neque alius omnino rei causa expetit. Idem porro etiam ex ea copia, qua per se ipsa homo contentus vivit, effici videtur: id enim bonum, quod undique perfectum est, ipsum per se satis esse, nullamque rem externam desiderare videtur: satis

δ' αὔταρκες λέγομεν οὐκ αὐτῷ μόνῳ τῷ ζῶντι βίον μονώτην, ἀλλὰ καὶ γονεῦσι, καὶ τέκνοις, καὶ γυναικὶ, καὶ ὅλως τοῖς φίλοις, καὶ πολίταις· [1]ἐπειδὴ φύσει πολιτικὸν ἄνθρωπος. Τούτων δὲ ληπτέος ὅρος τις· ἐπεκτείνοντι γὰρ ἐπὶ τοὺς γονεῖς, καὶ τοὺς ἀπογόνους, καὶ τῶν φίλων τοὺς φίλους, εἰς ἄπειρον πρόεισιν. Ἀλλὰ τοῦτο μὲν εἰσαῦθις ἐπισκεπτέον· τὸ δ' αὔταρκες τίθεμεν, [d]ὃ μονούμενον, αἱρετὸν ποιεῖ τὸν βίον καὶ μηδενὸς ἐνδεᾶ. Τοιοῦτον δὲ τὴν εὐδαιμονίαν οἰόμεθα εἶναι· ἔτι δὲ πάντων αἱρετωτάτην, μὴ συναριθμουμένην· συναριθμουμένην δὲ, δῆλον ὡς αἱρετωτέραν μετὰ τοῦ ἐλαχίστου τῶν ἀγαθῶν· ὑπεροχὴ γὰρ [e]ἀγαθῶν γίνεται τὸ προστιθέμενον· [f]ἀγαθῶν δὲ τὸ μεῖζον, αἱρετώτερον ἀεί· Τέλειον δή τι φαίνεται καὶ αὔταρκες ἡ εὐδαιμονία, [g]τῶν πρακτῶν οὖσα τέλος. Ἀλλ' ἴσως τὴν μὲν

[1] Polit. lib. i. cap. 2. [d] Plures scripti (et Andr.) ὃ μονούμενον, ἄρκιον καὶ αἱρετόν: quam lectionem refert Vet. Interp. vereor tamen ne acceptum sit, quod accrevit, ex interpretis paraphrasi, in qua id verbum est. Argyr. certe non recipit. *Vict.* Illud ἄρκιον deest. MSS. In marg. El. scribitur secunda manu. [e] Ἀγαθοῦ Ven. 2. [f] Ἀγαθὸν Ven. 2. [g] Πάντων τῶν πρακτῶν Ven. 1. et 2.

esse autem ipsum per se id dicimus, non quod ipsi soli vitam solivagam et solitariam agenti, sed quod et parentibus, et liberis, et conjugi, et (ut semel dicam) amicis, et civibus satis est: quandoquidem homo ad vitam societatemque civilem natus est. Veruntamen horum certus quidam constituendus finis est: nam si porrigemus ad parentes, ad posteros, amicorumque amicos, abibit res in infinitum. Sed de hoc quidem alio loco postea videbimus: copiam autem per se ipsam abunde bonis omnibus cumulatam ponimus eam, quæ ab aliis bonis deserta vitam efficit optabilem, nullius que rei indigentem. Tale autem quiddam beatitudinem esse arbitramur; atque adeo maxime omnium optandam, etiamsi cum alio bono non conjungatur: quod si cum aliquo vel minimo bono conjungatur, erit nimirum optabilior magisque sumenda; id enim quod accedit bonorum excellentiam gignit atque efficit: at quo bonum aliquod majus est, eo magis semper optandum. Hoc igitur perspicuum est, beatitudinem perfectum quiddam esse, et se ipso contentum bonisque omnibus per se cumulatum, cum rerum omnium, quæ in actione positæ sunt, sit extremum. Sed fortasse

εὐδαιμονίαν τὸ ἄριστον λέγειν, ὁμολογούμενόν τι φαίνεται· ποθεῖται δὲ ἐναργέστερόν τί ἐστιν [h]ἔτι [i]λεχθῆναι. Τάχα δὴ γένοιτ' ἂν τοῦτο, εἰ ληφθείη τὸ ἔργον τοῦ ἀνθρώπου· ὥσπερ γὰρ αὐλητῇ, καὶ ἀγαλματοποιῷ, καὶ παντὶ τεχνίτῃ, καὶ ὅλως ὧν ἐστιν ἔργον τι καὶ πρᾶξις, ἐν τῷ ἔργῳ δοκεῖ τὸ ἀγαθὸν εἶναι καὶ τὸ εὖ· οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ, εἴπερ ἐστί τι ἔργον αὐτοῦ. Πότερον οὖν τέκτονος μὲν καὶ σκυτέως ἐστὶν ἔργα τινὰ καὶ πράξεις· ἀνθρώπου δὲ οὐδέν ἐστιν, ἀλλ' ἀργὸν πέφυκεν; ἢ καθάπερ ὀφθαλμοῦ, καὶ χειρὸς, καὶ ποδὸς, καὶ ὅλως ἑκάστου τῶν μορίων, φαίνεταί τι ἔργον, οὕτω καὶ ἀνθρώπου παρὰ πάντα ταῦτα θείη τις ἂν ἔργον τι; Τί οὖν [j]δὴ τοῦτ' ἂν εἴη ποτέ; τὸ μὲν γὰρ ζῆν κοινὸν εἶναι φαίνεται καὶ τοῖς φυτοῖς· ζητεῖται δὲ τὸ ἴδιον· ἀφοριστέον ἄρα τὴν θρεπτικὴν καὶ [k]αὐξητικὴν ζωήν. [l]Ἑπομένη δὲ αἰσθητική τις ἂν εἴη· φαίνεται δὲ καὶ αὕτη κοινὴ καὶ ἵππῳ, καὶ βοΐ, καὶ παντὶ ζώῳ. Λείπεται δὴ πρακτική

[h] Ἔτι Ven. 2. N C. et Andr. non agnoscunt. [i] Mag. Moral. lib. i. cap. 4. et 5. Eud. lib. ii. cap. 1. [j] Δὴ Cam. omittit. [k] Καὶ αὐξ. ζωὴν N C. non habet: ζωὴν deest Cam. [l] Ἑπομένως Ven. 1.

dicet aliquis beatitudinem, sine controversia, summum bonum esse: verum ut planius, quid ea sit, ostendamus, desideratur. Hoc igitur facile assequemur, si opus ac munus hominis sumptum fuerit: ut enim tibicini, et statuarum fictori, omnique adeo artifici, et omnino iis qui opus aliquod efficiunt, actionemque aliquam obeunt atque exercent, in opere ipso bonum et perfectio consistere videtur; sic et homini, si quod est ejus opus et munus, in eo ipso bonum ejus et bene vivere positum esse videatur. Ergo fabri et sutoris aliqua sunt opera et aliquæ actiones: hominis erit nullum, atque ad desidiam inertiamque natus reperietur? an potius ut oculi, manus, pedis, singularumque adeo partium suum cujusque opus ac munus est, sic hominis quoque, præter hæc omnia, opus aliquod esse statuemus? Quodnam igitur hoc tandem erit? nam vivere quidem cum stirpibus et plantis ei videtur esse commune; at proprium hominis opus quæritur: itaque vita alendi augendique vi ac facultate prædita removenda est. Quæ autem proxime sequitur, in ea vis quædam sentiendi videtur esse posita: at etiam hæc communis nobis est cum equo, et bove, et animantibus omnibus. Re-

τις τοῦ λόγον ἔχοντος· (τούτου δὲ τὸ μὲν, ὡς ἐπιπειθὲς λόγῳ, τὸ δ' ὡς ἔχον καὶ διανοούμενον.) [m] Διττῶς δὲ καὶ ταύτης λεγομένης, τὴν κατ' ἐνέργειαν θετέον· κυριώτερον γὰρ αὕτη δοκεῖ λέγεσθαι. [n] Εἰ δ' ἐστιν ἔργον ἀνθρώπου ψυχῆς ἐνέργεια [o] κατὰ λόγον, ἢ μὴ ἄνευ λόγου· τὸ δ' αὐτό φαμεν ἔργον εἶναι τῷ γένει τοῦδε, καὶ τοῦδε σπουδαίου· ὥσπερ κιθαριστοῦ, καὶ σπουδαίου κιθαριστοῦ· καὶ ἁπλῶς δὴ τοῦτ' ἐπὶ πάντων, προστιθεμένης τῆς κατ' ἀρετὴν ὑπεροχῆς πρὸς τὸ ἔργον· κιθαριστοῦ μὲν γὰρ τὸ κιθαρίζειν, σπουδαίου δὲ τὸ εὖ. Εἰ δ' οὕτως, ἀνθρώπου [p] δὲ τίθεμεν ἔργον ζωήν τινα, ταύτην δὲ ψυχῆς ἐνέργειαν καὶ [q] πράξεις μετὰ λόγου· σπουδαίου δ' ἀνδρὸς εὖ ταῦτα καὶ καλῶς· ἕκαστον δὲ εὖ κατὰ τὴν οἰκείαν ἀρετὴν ἀποτελεῖται. Εἰ δ' οὕτω, τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέργεια γίνεται κατ' ἀρετήν· εἰ δὲ πλείους αἱ ἀρεταὶ, κατὰ τὴν ἀρίστην καὶ τε-

[m] Sc. κατ' ἐνέργειαν, καὶ καθ' ἕξιν· nunc enim aliquid gerit, alio autem tempore cessat. [n] Ἔστιν οὖν ἔργον Argyr. et Lamb. Sed et vulgata lectio, quam codd. et Eustrat. (et MSS.) confirmant, ferri potest. *Casaub.* [o] *Κατὰ λόγον, ὅταν διανοεῖται· ἢ οὐκ ἄνευ λόγου, ὅταν κατὰ τὸ παθητικὸν μέρος κινεῖται, μετὰ λόγου. Andr.* [p] Δὴ Ven. 2. Pro eo μὲν legit Zuing. [q] Πρᾶξιν Ven. 2. et Vet. Interp.

linquitur ergo vita quædam, quæ ad actionem apta sit, ejus propria, quod ratione præditum est: hujus autem pars una est, quæ rationi obtemperat, ipsa rationis expers, altera, quæ ratione prædita est cogitandique munere fungitur. Sed cum etiam hæc vita, ratione instructa, duobus modis dicatur; eam, quæ in functione muneris occupata est, ponere debemus: hæc enim magis proprie dici videtur. Opus igitur hominis erit functio muneris animi rationi consentanea, aut certe ratione non carens: idem autem genere opus hujus esse dicimus, et hujus virtute præditi: quemadmodum citharœdi, et boni citharœdi: et absolute hoc ita est in omnibus, si accedat ad opus excellentia ea, quæ e virtute est: citharœdi enim est cithara canere, boni bene canere. Quod si ita est, hominis quidem opus ac munus vitam quandam, eamque functionem animi et actionem cum ratione conjunctam; boni autem viri, bene et præclare hoc munere fungi, ponere debemus: at sua quidque virtute bene perficitur. Quod si ita se habet, hominis bonum erit functio muneris animi virtute directa: ac, si plures virtutes sint, vir-

λειοτάτην· [1] ἔτι δὲ ἐν βίῳ τελείῳ· μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα, μία ἡμέρα, οὐδὲ ὀλίγος χρόνος. [r] Περιγεγράφθω μὲν οὖν τὸ ἀγαθὸν ταύτῃ· δεῖ γὰρ ἴσως ὑποτυπῶσαι πρῶτον, εἶθ' ὕστερον [s] ἀναγράφειν. Δόξειε δ' ἂν παντὸς εἶναι προαγαγεῖν καὶ διαρθρῶσαι τὰ καλῶς ἔχοντα τῇ περιγραφῇ, καὶ ὁ χρόνος τῶν τοιούτων εὑρετὴς, ἢ συνεργὸς ἀγαθὸς εἶναι· ὅθεν καὶ τῶν τεχνῶν γεγόνασιν ἐπιδόσεις· παντὸς γὰρ προσθεῖναι τὸ ἐλλεῖπον. [2] Μεμνῆσθαι δὲ καὶ τῶν προειρημένων χρὴ, καὶ τὴν ἀκρίβειαν μὴ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν, ἀλλ' ἐν ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην, καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον οἰκεῖον τῇ μεθόδῳ· καὶ γὰρ τέκτων καὶ γεωμέτρης διαφερόντως ἐπιζητοῦσι τὴν ὀρθήν· ὁ μὲν γὰρ ἐφ' ὅσον χρησίμη πρὸς τὸ ἔργον, ὁ δὲ τί ἐστιν, ἢ ποῖόν τι· θεατὴς γὰρ τἀληθοῦς. Τὸν αὐτὸν [t] δὴ τρόπον καὶ ἐν τοῖς ἄλλοις ποιητέον, ὅπως μὴ τὰ πάρεργα τῶν ἔργων πλείω

1 Mag. Moral. lib. i. cap. 4. r Περιγράφομεν οὖν N C. s Ἀναγράψαι N C. et El. 2 Supra cap. 3. t Δὶ MSS. Ven. 2.

tute optima ac perfectissima: et præterea in vita perfecta: ut enim una hirundo ver non efficit, nec dies unus; sic neque dies unus, neque exiguum tempus efficit felicem ac beatum. Hoc igitur modo descriptum sit summum bonum: primum enim fuit adumbrandum atque informandum; deinde postea suis coloribus depingendum atque illustrandum erit. Cujusvis autem hominis esse videatur ea, quæ bene suis lineamentis descripta et conformata sunt, dilatare, suisque veluti membris et articulis distinguere, atque ejusmodi rerum inventor, aut certe adjutor esse tempus: unde artes ipsæ sic amplificatæ et propagatæ sunt: cujuslibet enim hominis est, id quod deest, addere. Verum et ea meminisse nos oportet, quæ supra dicta sunt, et subtilitatem illam enucleatam non peræque in omnibus esse requirendam, sed in unaquaque re pro materiæ subjectæ ratione, et quoad docendi via ac ratio patitur: nam faber et geometra non eodem modo rectum angulum exquirunt: sed ille quidem quatenus operi usui est, hic autem quidnam sit, et qualis, inquirit: nam in vero contemplando versatur. Eodem igitur modo faciendum est et in cæteris omnibus, ne operum accessiones et orna-

γίγνηται. Οὐκ ἀπαιτητέον δ' οὐδὲ τὴν αἰτίαν ἐν ἅπασιν ὁμοίως, ἀλλ' ἱκανὸν ἔν τισι τὸ ὅτι δειχθῆναι καλῶς, οἷον καὶ περὶ τὰς ἀρχάς· τὸ δ' ὅτι, πρῶτον καὶ ἀρχή. Τῶν ἀρχῶν δὲ αἱ μὲν [u] ἐπαγωγῇ θεωροῦνται, αἱ δὲ αἰσθήσει, αἱ δὲ ἐθισμῷ τινι, καὶ ἄλλαι δὲ ἄλλως· μετιέναι δὲ πειρατέον ἑκάστας ᾗ πεφύκασι, καὶ σπουδαστέον ὅπως ὁρισθῶσι καλῶς· μεγάλην γὰρ ἔχουσι ῥοπὴν πρὸς τὰ ἑπόμενα. [x] Δοκεῖ οὖν πλεῖον ἢ τὸ ἥμισυ τοῦ παντὸς εἶναι ἡ ἀρχὴ, καὶ πολλὰ [y] ἐμφανῆ γίνεσθαι δι' αὐτῆς τῶν ζητουμένων.

ΚΕΦ. η'.

ΣΚΕΠΤΕΟΝ [z] δὴ περὶ αὐτῆς, οὐ μόνον ἐκ τοῦ συμπεράσματος, καὶ ἐξ ὧν ὁ λόγος, ἀλλὰ καὶ ἐκ τῶν λεγομένων περὶ

[u] Ἐπαγωγῇ cognoscimus principia mathematica, ut hoc: quæ ad idem sunt æqualia, inter se sunt æqualia: αἰσθήσει pleraque principia naturalia, ut ignem esse calidum, aquam frigidam: ἐθισμῷ principia morum; non enim fieri potest, ut aliquis eam, quæ de virtutibus agit, recte intelligat doctrinam, qui non prius honestis insueverit actionibus. Vide supra cap. 4. [x] Δοκεῖ γὰρ πλεῖον N C. El. Vet. Interp. et Argyr. [y] Συμφανῆ MSS. et Aurel. nobiscum vero legit Andr. [z] Σκεπτέον ἔτι περὶ τῆς εὐδαιμονίας, οὐ μόνον τὸν ὁρισμὸν αὐτῆς ἐξετάσαντας, καὶ τοὺς λόγους τοὺς συμπεράναντας αὐτὸν, ἀλλὰ καὶ τοὺς λεγομένους περὶ αὐτῆς παρὰ τῶν παλαιῶν ἀληθεῖς λόγους, εἰ συνᾴδουσι τῷ ὁρισμῷ· τῷ μὲν γὰρ ἀληθεῖ ὁρισμῷ καὶ πάντα συνᾴδει τὰ προσόντα τῷ ὁριστῷ, καὶ διὰ τοῦτο καὶ τ' ἄλλα τὰ λεγόμενα περὶ αὐτοῦ. *De felicitate plura videnda erunt; quare non tantum definitionem ejus examinabimus, sed et singula, ex quibus constat, verba pressius paulo inspiciemus; cum quibus deinde veterum opiniones conferemus, ut videamus nimirum an definitioni huic respondeant nostræ: veræ enim definitioni omnia, quæ in definito insunt, facile respondent, ac propterea et alia quæ de eo dicuntur.* Andr.

menta existant operibus ipsis longiora. Neque vero in omnibus æque causa flagitanda est, sed satis esse debet in quibusdam, si bene demonstratum sit ita esse, quemadmodum et in principiis: rem ita esse autem, primum et principium est. Principiorum porro alia inductione percipiuntur et cognoscuntur, alia sensu, alia consuetudine, alia aliter: ea autem singula persequi oportet, quemadmodum cujusque natura patitur, dandaque opera est, ut bene definiantur: magnum enim momentum ad ea, quæ sequuntur, afferunt. Principium igitur plus quam dimidium totius videtur esse, multaque in quæstione posita, eo cognito, declarari.

CAP. VIII.

ERGO de beatitudine videndum est non ex conclusione solum, iisque quibus ratio constat, sed ex iis etiam,

αὐτῆς· τῷ μὲν γὰρ ἀληθεῖ πάντα συνᾴδει τὰ ὑπάρχοντα· τῷ δὲ ψευδεῖ ταχὺ διαφωνεῖ τἀληθές. Νενεμημένων δὴ τῶν ἀγαθῶν τριχῇ, καὶ τῶν μὲν ἐκτὸς λεγομένων, [a]τῶν δὲ περὶ ψυχὴν καὶ σῶμα, τὰ περὶ ψυχὴν κυριώτατα λέγομεν, καὶ μάλιστα ἀγαθά· τὰς δὲ πράξεις καὶ τὰς ἐνεργείας τὰς ψυχικὰς περὶ ψυχὴν τίθεμεν. Ὥστε καλῶς ἂν λέγοιτο κατά γε ταύτην τὴν δόξαν, παλαιὰν οὖσαν καὶ ὁμολογουμένην ὑπὸ τῶν [b]φιλοσοφούντων· ὀρθῶς δὲ καὶ ὅτι πράξεις τινὲς λέγονται καὶ ἐνέργειαι [c]τὸ τέλος· οὕτως γὰρ τῶν περὶ ψυχὴν ἀγαθῶν γίνεται, καὶ οὐ τῶν ἐκτός. Συνᾴδει δὲ τῷ λόγῳ, καὶ τὸ εὖ ζῆν, καὶ τὸ εὖ πράττειν τὸν εὐδαίμονα· σχεδὸν γὰρ εὐζωΐα [d]τις εἴρηται, καὶ εὐπραξία. Φαίνεται δὲ καὶ τὰ ἐπιζητούμενα περὶ τὴν εὐδαιμονίαν ἅπαντα

[a] Περὶ ψυχὴν δὲ λέγομεν ἀγαθὰ τὰς πράξεις, καὶ τὰς ἐνεργείας τὰς ψυχικάς· οὐκοῦν αἱ ψυχικαὶ πράξεις καὶ ἐνέργειαι αἱ ἀγαθαὶ κυριώτατα καὶ μάλιστά εἰσιν ἀγαθά· ἐν τῇ κατὰ ψυχὴν ἄρα ἀγαθῇ ἐνεργείᾳ, τὸ κυριώτατον καὶ μάλιστα ἀγαθὸν συνίσταται· τοῦτο δέ ἐστιν ἡ εὐδαιμονία. Ἔστιν ἄρα ἡ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετήν, καὶ κατὰ ταύτην τὴν δόξαν παλαιὰν οὖσαν καὶ ὁμολογουμένην ὑπὸ τῶν φιλοσοφούντων. *Andr.* [b] Φιλοσόφων N C. et El. in marg. ὑπὸ τῶν φιλοσοφούντων ὀρθῶς δὲ desunt El. (in ejus marg. annot. hæc in alio scribi). Quod Mureti de hoc loco conjecturæ favet, qui de eo hæc habet. Puto expunctis quatuor voculis locum hunc ita legendum: ὥστε καλῶς ἂν λέγοιτο κατά γε ταύτην τὴν δόξαν παλαιὰν οὖσαν καὶ ὁμολογουμένην ὑπὸ τῶν φιλοσοφούντων, ὅτι πράξεις τινὲς καὶ ἐνέργειαι τὸ τέλος· οὕτω γὰρ &c. alioqui enim frustra bis idem dicere videbitur Aristoteles: etsi Eustrat. et alii omnia moliuntur, ut hanc rationem a superiori aliam esse doceant. [c] Sc. εὐδαιμονία. [d] Τίς ἔσται N C.

quæ de ea feruntur: nam cum vero congruunt omnia, quæ in re insunt; a falso autem cito verum dissidet ac discrepat. Cum igitur bona tres in partes sint distributa, aliaque externa, alia animi, alia corporis dicantur, animi bona in primis et maxime proprie bona dicimus: actiones autem et functiones muneris animi in animo collocamus. Itaque cum ex hac sententia et vetere, et a philosophis uno ore comprobata, recte hoc a nobis dicitur: tum vero propterea quod actiones et functiones muneris nonnullæ ipsius finis rationem vicemque obtinent: sic enim efficitur, ut beatitudo in animi bonis, non in externis numeretur. Cum hac ratione congruit et illud, bene vivere et bene rem gerere virum beatum: nam propemodum beatitudo vita quædam bene acta, et bona actio dicta est. Videntur etiam in eo, quod a nobis dictum est, ea omnia, quæ in beatitudine requiruntur, inesse: alii enim

ὑπάρχειν τῷ λεχθέντι· τοῖς μὲν γὰρ ἀρετὴ, τοῖς δὲ φρόνησις, ἄλλοις δὲ σοφία τις εἶναι δοκεῖ· τοῖς δὲ ταῦτα, ἢ τούτων τι μεθ' ἡδονῆς, ἢ οὐκ ἄνευ ἡδονῆς· ἕτεροι δὲ καὶ τὴν ἐκτὸς [e] εὐετηρίαν συμπεριλαμβάνουσι· τούτων δὲ, τὰ μὲν [f] πολλοὶ καὶ παλαιοὶ λέγουσι, τὰ δὲ ὀλίγοι καὶ ἔνδοξοι ἄνδρες· οὐδετέρους δὲ τούτων εὔλογον διαμαρτάνειν τοῖς ὅλοις, [g] ἀλλ' ἕν γέ τι, ἢ τὰ πλεῖστα κατορθοῦν. Τοῖς μὲν οὖν λέγουσι τὴν πᾶσαν ἀρετὴν, ἢ ἀρετήν τινα, συνῳδός ἐστιν ὁ λόγος· ταύτης γάρ ἐστιν ἡ κατ' αὐτὴν ἐνέργεια. Διαφέρει δὲ ἴσως οὐ μικρὸν ἐν κτήσει ἢ χρήσει τὸ ἄριστον ὑπολαμβάνειν, καὶ ἐν ἕξει ἢ ἐνεργείᾳ· τὴν μὲν γὰρ ἕξιν ἐνδέχεται μηδὲν [h] ἀγαθὸν ἀποτελεῖν ὑπάρχουσαν, οἷον τῷ καθεύδοντι ἢ καὶ ἄλλως πως ἐξηργηκότι· τὴν δὲ ἐνέργειαν οὐχ οἷόν τε· πράξει γὰρ ἐξ ἀνάγκης, καὶ εὖ πράξει. Ὥσπερ δὲ Ὀλυμπιάσιν οὐχ οἱ κάλλιστοι καὶ ἰσχυρότατοι στεφανοῦνται, ἀλλ' οἱ ἀγωνιζόμενοι· (τούτων γάρ τινες νικῶσιν·) οὕτω καὶ τῶν

[e] Εὐπορίαν Ven. 1. Bas. [f] Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ Πολλοὶ φημίζουσι, θεός νύ τίς ἐστι καὶ αὐτή. Hesiod. Ἔργων. v. 763, 4. [g] Ἀλλ' ἐπί τι καὶ τὰ πλεῖστα CCC. Ven. 1. ἢ καὶ τὰ πλεῖστα N C. [h] Ἀγαθὸν Andr. non agnoscit.

virtutem, alii prudentiam, alii sapientiam quandam, beatitudinem esse existimant: nonnulli hæc ipsa, aut horum aliquid cum voluptate conjungunt, aut a voluptate sejungi nolunt: alii etiam felicitatem externam complectuntur: atque horum alia multi ac veteres, alia pauci et clari viri loquuntur: quorum neutros probabile est omni ex parte errare, sed in uno aliquo saltem, aut in plurimis recte sentire. Ac cum iis quidem, qui vitam beatam esse dicunt omnem, aut aliquam virtutem, nostra congruit oratio: functio enim muneris virtute perfecta ac directa, virtutis est. Sed multum fortasse interest, summum bonum in possessione, an in usu positum esse putemus, in habitu, an in functione muneris: accidere enim potest, ut habitus, qu insit, nihil boni efficiat, ut in eo, qui dormit, aut qui alio aliquo modo otiosus ac feriatus est: de functione autem muneris idem dici non potest; aget enim necessario, et recte aget. Quemadmodum autem in ludis Olympicis non pulcherrimus, aut valentissimus quisque corona donatur, sed qui certant, (ex his enim vincunt aliqui;) sic et ea, quæ sunt in vita, ho-

[h] ἐν τῷ βίῳ καλῶν κἀγαθῶν [i] οἱ πράττοντες ὀρθῶς ἐπήβολοι γίγνονται. Ἔστι δὲ καὶ ὁ βίος αὐτῶν [k] καθ᾽ αὐτὸν ἡδύς· τὸ μὲν γὰρ ἥδεσθαι, τῶν ψυχικῶν· ἑκάστῳ δ᾽ ἐστὶν ἡδὺ πρὸς ὃ λέγεται φιλοτοιοῦτος· οἷον ἵππος μὲν τῷ φιλίππῳ, θέαμα δὲ τῷ [l] φιλοθεώρῳ· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ δίκαια τῷ φιλοδικαίῳ, καὶ ὅλως τὰ κατ᾽ ἀρετὴν τῷ φιλαρέτῳ. Τοῖς μὲν οὖν πολλοῖς τὰ ἡδέα [m] μάχεται, διὰ τὸ μὴ φύσει τοιαῦτ᾽ εἶναι· τοῖς δὲ φιλοκάλοις ἐστὶν ἡδέα τὰ φύσει ἡδέα· [n] τοιαῦτα δὲ αἱ κατ᾽ ἀρετὴν πράξεις· ὥστε καὶ τούτοις εἰσὶν ἡδεῖαι, καὶ καθ᾽ αὐτάς. Οὐδὲν δὴ προσδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν, ὥσπερ περιάπτου τινὸς, ἀλλ᾽ ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ· πρὸς τοῖς εἰρημένοις γὰρ, [o] οὐδ᾽ ἔστιν ἀγαθὸς ὁ μὴ χαίρων ταῖς καλαῖς πράξεσιν· οὔτε γὰρ δίκαιον οὐδεὶς ἂν εἴποι τὸν μὴ χαίροντα τῷ δικαιοπραγεῖν, οὔτε ἐλευθέριον, τὸν μὴ χαίροντα ταῖς ἐλευ-

[h] Eud. lib. ii. cap. 1. [i] Οὐχ οἱ δυνάμενοι πράττειν ὀρθῶς. [k] Οὐχ ἔξωθεν ἔχων τὴν ἡδονήν. [l] Φιλοθεάμονι Ven. 2. [m] Non modo in diversis hominibus, sed in eodem etiam diversis temporibus alia atque alia expetente. [n] Τοιαῦται N C. et Vet. Interp. τοιαῦται δὲ ἀεὶ αἱ κατ᾽ Ven. 2. [o] Οὐδεὶς Vet. Interp.

nesta et bona, assequuntur et obtinent ii, qui recte faciunt. Est quinetiam eorum vita per se jucunda, per seque delectat: delectari enim in eorum numero ponitur, quæ ad animum pertinent: cujus autem quisque rei nomine ac ratione amans appellatur, ea delectatur; ut equo is, qui amat equos, spectaculo, spectaculis deditus: similiter quoque rebus justis lætatur is, qui justitiam amore complectitur, et omnino rebus omnibus, quæ cum virtute consentiunt, is, cui virtus cara est. Et quidem quæ res multitudini jucundæ sunt, eæ pugnant inter se, propterea quod non sunt per se tales: iis autem hominibus, qui studiosi sunt honestatis, ea sunt jucunda, quæ natura jucunda sunt; quo in genere sunt eæ, quæ virtuti congruunt, actiones: itaque et his sunt jucundæ, et per se jucundæ. Voluptate autem nihil eget eorum vita, tanquam appendice quadam, sed habet in se inclusam voluptatem: nam præter ea, quæ dicta sunt, non est is vir bonus, qui honestis actionibus non delectatur; neque enim quisquam aut justum dixerit eum, qui non ex juste factis capiat voluptatem, aut liberalem, qui liberalibus actionibus non delectetur: i-

θερίοις πράξεσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Εἰ δ' οὕτω, καθ' αὑτὰς ἂν εἶεν αἱ κατ' ἀρετὴν πράξεις ἡδεῖαι· ἀλλὰ μὴν καὶ ἀγαθαί γε καὶ καλαὶ, καὶ μάλιστα τούτων ἕκαστον, εἴπερ καλῶς κρίνει περὶ αὐτῶν ὁ σπουδαῖος· [p] κρίνει δ' ὡς εἴπομεν. Ἄριστον ἄρα, καὶ κάλλιστον, καὶ ἥδιστον ἡ εὐδαιμονία· καὶ οὐ διώρισται ταῦτα κατὰ τὸ [q] Δηλιακὸν ἐπίγραμμα.

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν·
Ἥδιστον δὲ πέφυχ' οὗ τις ἐρᾷ τὸ τυχεῖν·

ἅπαντα γὰρ ὑπάρχει ταῦτα ταῖς ἀρίσταις ἐνεργείαις· ταύτας δὲ, ἢ μίαν τούτων τὴν ἀρίστην, εἶναί φαμεν τὴν εὐδαιμονίαν. Φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προσδεομένη, καθάπερ [r] εἴπομεν· ἀδύνατον γὰρ, ἢ οὐ ῥᾴδιον, τὰ καλὰ πράττειν [s] ἀχο-

[p] Ὁ περὶ ἕκαστον σπουδαῖος καλῶς ἕκαστα κρίνει· ὁ δὲ σπουδαῖος καὶ ἡδίστας, καὶ ἀρίστας, καὶ καλλίστας κρίνει τὰς κατ' ἀρετὴν ἐνεργείας· τοιαῦται οὖν εἰσιν. *Mur.* [q] Apollinis templo in Delo insula erat inscriptum. Hoc epigramma Aristoteles etiam reprehendit, in Eud. lib. i. cap. 1. hisce verbis: ὁ μὲν ἐν Δήλῳ παρὰ τῷ θεῷ τὴν αὑτοῦ γνώμην ἀποφηνάμενος, συνέγραψεν ἐπὶ τὸ προπύλαιον τοῦ Λητῴου, διελὼν οὐχ ὑπάρχοντα πάντα τῷ αὐτῷ, τό τε ἀγαθὸν, καὶ τὸ καλὸν, καὶ τὸ ἡδὺ, ποιήσας, Κάλλιστον τὸ δικαιότατον &c. ἡμεῖς δ' αὐτῷ μὴ συγχωρῶμεν· ἡ γὰρ εὐδαιμονία κάλλιστον καὶ ἄριστον ἁπάντων οὖσα, ἥδιστόν ἐστι. *Qui numinis sententiam in Delo edisserit, vestibulo templi inscripsit, distinguens ea, quæ simul in eodem haud reperiuntur, bonum, honestum, et jucundum, his versibus, Pulcherrimum est* &c. *quod nos nequaquam concesserimus: felicitas enim, cum optima sit, et pulcherrima, eadem etiam jucundissima existit.* Hoc distichon etiam occurrit inter γνώμας Theognidis ver. 255. cujus in vulg. edit. posterior versus sic scribitur: Πρῆγμα δὲ τερπνότατον, οὗ τις ἐρᾷ, τὸ τυχεῖν. et in Ven. 1. Ἥδιστον δὲ τυχεῖν, οὗ τις ἕκαστος ἐρᾷ. [r] Pro εἴπομεν scribitur εἴρηται in marg. Bas. [s] Ἀχορήγητον, id est, μὴ βοηθούμενον τοῖς ἔξωθεν, *sine externorum subsidio.*

demque de cæteris virtutibus sentiendum. Quod si ita est, confitendum est per se jucundas esse virtuti consentaneas actiones: sunt vero etiam bonæ et honestæ, et horum unumquidque maxime, siquidem de iis vere judicat vir bonus: judicat autem, quemadmodum diximus. Est igitur quiddam optimum, pulcherrimum, et jucundissimum beatitudo: neque vero hæc ita distincta sunt, quemadmodum distinguit Deliacum epigramma:

Justitia est formosa, valetudo optima res est;
Dulce frui, cujus quemque perurit amor:

insunt enim hæc omnia in optimis muneris functionibus; has autem, aut harum unam optimam, beatitudinem esse diximus. Sed tamen bonis quoque externis egere videtur, ut diximus: nefas est enim, aut certe difficile, eum, cui nullæ suppetunt facultates, res agere præclaras; per-

ἀπρακτον ὄντα· πολλὰ μὲν γὰρ πράττεται καθάπερ δι' ὀργάνων, καὶ διὰ φίλων, καὶ πλούτου, καὶ πολιτικῆς δυνάμεως. Ἐνίων δὲ τητώμενοι ῥυπαίνουσι τὸ μακάριον, οἷον εὐγενείας, εὐτεκνίας, κάλλους· οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν παναίσχης, ἢ δυσγενὴς, ἢ μονώτης καὶ ἄτεκνος· ἔτι δ' ἴσως ἧττον, εἴ τῳ πάγκακοι παῖδες εἶεν, [t] ἢ φίλοι, ἢ ἀγαθοὶ ὄντες τεθνᾶσι. Καθάπερ οὖν εἴπομεν, ἔοικε προσδεῖσθαι καὶ τῆς τοιαύτης εὐημερίας· ὅθεν εἰς ταὐτὸ τάττουσιν ἔνιοι τὴν εὐτυχίαν τῇ εὐδαιμονίᾳ· ἔνιοι δὲ τὴν ἀρετήν.

ΚΕΦ. Θ΄.

[u] ΟΘΕΝ καὶ ἀπορεῖται, πότερόν ἐστι μαθητὸν, ἢ ἐθιστὸν, ἢ ἄλλως πως ἀσκητόν· ἢ κατά τινα θείαν μοῖραν, ἢ καὶ διὰ τύχην παραγίνεται. Εἰ μὲν οὖν καὶ ἄλλο τι θεῶν ἐστι δώρημα ἀνθρώποις, εὔλογον καὶ τὴν εὐδαιμονίαν θεόσδοτον εἶναι,

[t] Ἢ φίλοι N C. et Andr. non agnoscunt. ἢ φίλοι, οἳ ἀγαθοὶ ὄντες τεθνᾶσι Lamb. qui transtulit: *vel cui amici, qui essent boni viri, excesserint e vita.* [u] Ὅθεν οὖν N C.

multa enim geruntur veluti instrumentis quibusdam, amicorum opera, et divitiis, et potentia civili. Et quædam res sunt, quibus si careant homines, felicitatis splendorem obscurant atque inquinant, ut nobilitas generis, prospera liberorum soboles, pulchritudo. Neque enim admodum facile est ei vitam beatam consequi, qui insigniter deformis, aut obscurissimo loco natus, aut solitarius et orbus sit: ac multo etiam minus fortasse, si cui sint liberi omni vitiorum genere cooperti, vel cum chari et boni essent excesserint e vita. Talem igitur prosperitatem, ut diximus, vita beata desiderare videtur: ex quo fit, ut nonnulli eodem numero et loco beatitudinem habeant, atque secundam fortunam; nonnulli virtutem.

CAP. IX.

UNDE etiam nascitur quæstio, utrum vel doctrina parari, vel consuetudine quæri, vel alia quadam exercitatione comparari possit; an potius divinitus, an etiam fortuito obveniat. Et vero si quod aliud a diis munus est hominibus datum, profecto consentaneum est beatitudinem quoque a diis immortalibus donari, eoque maxime

καὶ μάλιστα τῶν ἀνθρωπίνων ὅσῳ [x]βέλτιστον. Ἀλλὰ τοῦτο μὲν ἴσως ἄλλης ἂν εἴη σκέψεως οἰκειότερον· φαίνεται δὲ, κἂν εἰ μὴ θεόπεμπτός ἐστιν, ἀλλὰ δι' ἀρετὴν, καί τινα μάθησιν, ἢ ἄσκησιν παραγίνεται, τῶν θειοτάτων εἶναι· τὸ γὰρ τῆς ἀρετῆς ἆθλον καὶ τέλος ἄριστον φαίνεται, καὶ θεῖόν τι, καὶ μακάριον. Εἴη δ' ἂν καὶ πολύκοινον· δυνατὸν γὰρ ὑπάρξαι πᾶσι τοῖς μὴ [y]πεπηρωμένοις πρὸς ἀρετὴν, διά τινος μαθήσεως καὶ ἐπιμελείας. Εἰ δ' ἐστὶν οὕτω βέλτιον, ἢ διὰ τύχην εὐδαιμονεῖν, εὔλογον ἔχειν οὕτως· εἴπερ τὰ κατὰ φύσιν, ὡς οἷόν τε κάλλιστα ἔχειν, οὕτω πέφυκεν· ὁμοίως δὲ καὶ [z]κατὰ τέχνην, καὶ πᾶσαν αἰτίαν, καὶ μάλιστα κατὰ τὴν ἀρίστην. Τὸ δὲ μέγιστον καὶ κάλλιστον ἐπιτρέψαι τύχῃ λίαν [a]πλημμελὲς ἂν εἴη. Συμφανὲς δ' ἐστὶ καὶ ἐκ τοῦ λόγου τὸ ζητούμενον· εἴρηται γὰρ ψυχῆς

[x] *Βελτίων* in marg. Bas. [y] *Πεπηρωμένους πρὸς ἀρετὴν* per translationem nominat eos, quibus ita vel natura vel fortuna inimica est, ut virtutem adipisci nequeant. Andronicus *παραφράζει* hanc vocem per *τὴν διάνοιαν βεβλαμμένους, καὶ πάντη ἀκινήτους πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς, homines haud integra mente, et plane ad comparandam sibi virtutem inhabiles.* [z] *Τὰ κατὰ* El. et C C C. Pro *τέχνην* N C. habet *ἀρετήν.* [a] *Πλημμελὲς, quod contra modulationis normam, inconcinnum, culpabile.*

quod rerum humanarum est optima. Sed hoc fortasse ab eo, quod considerare instituimus, alienum est, neque hujus disputationis proprium: illud quidem perspicuum est, etiamsi non sit a diis immortalibus dono missa, sed virtute, ac doctrina aliqua, aut exercitatione pariatur, in rebus divinissimis tamen esse numerandam: virtutis enim præmium et finis, optima quædam res esse, et divina, et beata videtur. Eadem etiam in medio erit posita, ut cum multis communicetur: potest enim contingere vel doctrina, vel studio aliquo iis omnibus, qui non sunt naturæ aut fortunæ vitio ad virtutem inepti, quasi manci ac debiles. Quod si sic præstat, quam fortunæ temeritate beatum esse, certe ita esse probabile est; siquidem res naturales ut pulcherrimæ esse possunt, ita a natura procreatæ sunt: idemque de iis, quæ ab arte et omni alia causa perficiuntur, judicari debet, multoque maxime quæ a præstantissima. Rem porro omnium maximam et pulcherrimam arbitrio fortunæ permittere, valde nefarium, contumeliosum, ac flagitiosum fuerit. Atque etiam ex definitione beatitudinis, id quod quærimus, perspicuum esse potest: diximus

ἐνέργεια κατ' ἀρετὴν ποιά τις· τῶν δὲ λοιπῶν ἀγαθῶν, τὰ μὲν ὑπάρχειν [b] ἀναγκαῖον, τὰ δὲ συνεργὰ καὶ χρήσιμα πέφυκεν ὀργανικῶς. Ὁμολογούμενα δὲ ταῦτ' ἂν εἴη καὶ τοῖς ἐν ἀρχῇ· τὸ γὰρ τῆς πολιτικῆς τέλος ἄριστον ἐτίθεμεν· αὕτη δὲ πλείστην ἐπιμέλειαν ποιεῖται τοῦ ποιούς τινας [c] καὶ ἀγαθοὺς τοὺς πολίτας ποιῆσαι, καὶ πρακτικοὺς τῶν καλῶν. Εἰκότως οὖν οὔτε βοῦν, οὔτε ἵππον, οὔτε ἄλλο τι τῶν ζώων οὐδὲν, εὔδαιμον λέγομεν· οὐδὲν γὰρ αὐτῶν οἷόν τε κοινωνῆσαι τοιαύτης ἐνεργείας. Διὰ ταύτην δὲ τὴν αἰτίαν οὐδὲ παῖς εὐδαίμων ἐστίν· οὔπω γὰρ πρακτικὸς τῶν τοιούτων διὰ τὴν ἡλικίαν· οἱ δὲ λεγόμενοι, διὰ τὴν ἐλπίδα μακαρίζονται· δεῖ γὰρ, ὥσπερ εἴπομεν, καὶ ἀρετῆς τελείας, καὶ βίου τελείου. Πολλαὶ γὰρ μεταβολαὶ γίνονται, καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον· καὶ ἐνδέχεται τὸν μάλιστα εὐθηνοῦντα μεγάλαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως, καθάπερ ἐν τοῖς Ἡρωϊκοῖς περὶ Πριάμου μυθεύεται· τὸν δὲ

[b] Ἀναγκαῖα μὲν, οἷον ὑγίεια σώματος, καὶ ζωῆς ἐπίτασις, καὶ τ' ἄλλα, ὧν χωρὶς οὐκ ἔστι τελειωθῆναι τὴν εὐδαιμονίαν· ὄργανα δὲ, ὥσπερ πλοῦτος καὶ φίλοι. *Necessaria quidem sunt sanitas corporis, eaque quæ ad vitam sustinendam spectant, et similia, sine quibus perfici non potest felicitas: instrumenta vero, ut opes et amici.* Andr. [c] Ἢ ἀγαθοὺς N C.

enim eam esse cujusdammodi ex virtute muneris animi functionem: cætera autem bona alia præsto esse necesse est, alia adjuvant et conducunt natura, instrumentorum instar. Atque hæc etiam cum iis, quæ initio diximus, consentiunt: civilis enim scientiæ finem optimum esse statuebamus: quæ magnam diligentiam adhibet, ut cives certo quodam modo affectos, bonosque, et ad res honestas agendas idoneos reddat. Merito igitur neque bovem, neque equum, neque aliud animal ullum, beatum dicimus: nulli enim eorum esse potest talis functionis communitas. Atque ob hanc causam ne puer quidem est beatus: nondum enim per ætatem ad talia agenda satis aptus est: qui autem beati dicuntur, propter spem, quam de iis habent homines, tales prædicantur: opus est enim (ut diximus) cum absoluta virtute, tum vita integra et perfecta. Multæ enim in vita rerum commutationes, variique casus interveniunt: fierique potest, ut cujus res hodie sint valde secundæ, is maximis in senectute calamitatibus afficiatur, quemadmodum in Heroicis de Priamo fabulantur Poetæ:

τοιαύταις χρησάμενον τύχαις, καὶ τελευτήσαντα ἀθλίως, οὐδεὶς [d]εὐδαιμονίσει.

ΚΕΦ. ι΄.

ΠΟΤΕΡΟΝ οὖν οὐδ' ἄλλον οὐδένα ἀνθρώπων εὐδαιμονιστέον, ἕως ἂν ζῇ, [e]κατὰ Σόλωνα δὲ χρεὼν τέλος ὁρᾷν; [f]εἰ δὲ δὴ καὶ θετέον οὕτως, ἆρά γε καὶ ἔστιν εὐδαίμων τότε ἐπειδὰν ἀποθάνῃ; ἢ τοῦτό γε παντελῶς ἄτοπον, ἄλλως τε καὶ τοῖς λέγουσιν ἡμῖν ἐνέργειάν τινα τὴν εὐδαιμονίαν; Εἰ δὲ μὴ λέγομεν τὸν τεθνεῶτα εὐδαίμονα, μηδὲ Σόλων τοῦτο βούλεται, ἀλλ' ὅτι τηνικαῦτα ἄν τις ἀσφαλῶς μακαρίσειεν ἄνθρωπον, ὡς ἐκτὸς ἤδη τῶν κακῶν ὄντα καὶ δυστυχημάτων· ἔχει μὲν καὶ τοῦτο ἀμφισβήτησίν τινα· δοκεῖ γὰρ εἶναί τι τῷ τεθνεῶτι καὶ κακὸν καὶ ἀγαθὸν, εἴπερ καὶ τῷ ζῶντι, μὴ αἰσθανομένῳ δὲ, οἷον τιμαὶ καὶ ἀτιμίαι, καὶ τέκνων καὶ ὅλως ἀπογόνων εὐπραξίαι

[d] Εὐδαιμονίζει *El.* [e] Cum Crœsus, ditissimus Lydorum rex, Soloni omnes suos thesauros monstrasset, hunc interrogavit, annon eum beatum judicaret? cui Solon respondit, *ante mortem nemo beatus est dicendus.* Vide Herodot. lib. i. Hanc Solonis sententiam Aristoteles reprehendit Eud. lib. ii. cap. 1. hisce verbis: *Διὸ καὶ τὸ Σόλωνος ἔχει καλῶς, τὸ μὴ ζῶντ' εὐδαιμονίζειν, ἀλλ' ὅταν λάβῃ τέλος· οὐθὲν γὰρ ἀτελὲς εὔδαιμον, οὐ γὰρ ὅλον. Quocirca frivola est Solonis sententia, negantis virum ullum beatum esse, nisi ubi finem attigerit: nihil quippe imperfectum felix esse potest, cum integrum non sit.* [f] Εἰ δὲ δεῖ N C. et C C.C.

porro qui tales casus fuerit expertus, misereque de hac vita decesserit, eum profecto nemo ducet beatum.

CAP. X.

NEMONE igitur alius mortalium, quamdiu manet in vita, beatus est judicandus, sed Solonis sententia, spectandum tempus ætatis extremum? et, si hoc ita esse fatemur, etiamne beatus est tum, cum excesserit e vita? an hoc quidem prorsus absurdum est, nobis præsertim, qui beatitudinem functionem quandam muneris esse dicimus? Quod si nec nos eum beatum dicimus, qui mortuus est, nec hoc vult Solon, sed tum denique hominem vere ac tuto beatum prædicari posse, tanquam jam extra omnium malorum atque infortuniorum discrimen positum; ne hoc quidem dubitatione vacat: nam si etiam ei qui vivit, neque sentit, aliquid malum et bonum est, aliquid videtur esse et mortuo, ut honores et ignominiæ, et liberorum et

τε καὶ δυστυχίας. Ἀπορίαν δὲ καὶ ταῦτα παρέχει· τῷ γὰρ μακαρίως βεβιωκότι μέχρι γήρως, καὶ τελευτήσαντι κατὰ λόγον, ἐνδέχεται πολλὰς μεταβολὰς συμβαίνειν περὶ τοὺς ἐκγόνους, καὶ τοὺς μὲν αὐτῶν ἀγαθοὺς εἶναι, καὶ τυχεῖν βίου τοῦ κατ' ἀξίαν, τοὺς δ' ἐξ ἐναντίας· δῆλον δ' ὅτι καὶ τοῖς [g] ἀποστήμασι πρὸς τοὺς γονεῖς παντοδαπῶς ἔχειν αὐτοὺς ἐνδέχεται. Ἄτοπον δὴ γίνοιτ' ἂν, εἰ συμμεταβάλλοι καὶ ὁ τεθνεὼς, καὶ γίνοιτο ὅτε μὲν εὐδαίμων, πάλιν δὲ ἄθλιος· ἄτοπον δὲ καὶ τὸ μηδὲν μηδ' ἐπί τινα χρόνον συνικνεῖσθαι τὰ τῶν ἐκγόνων τοῖς γονεῦσιν. Ἀλλ' ἐπανιτέον ἐπὶ τὸ πρότερον ἀπορηθέν· τάχα γὰρ ἂν θεωρηθείη καὶ τὸ νῦν ἐπιζητούμενον ἐξ ἐκείνου. Εἰ δὴ τέλος ὁρᾷν δεῖ, καὶ τότε μακαρίζειν ἕκαστον, οὐχ ὡς ὄντα μακάριον, ἀλλ' ὅτι πρότερον ἦν· πῶς οὐκ ἄτοπον, εἰ, ὅτε ἐστὶν εὐδαίμων, μὴ ἀληθεύσεται κατὰ αὐτοῦ τὸ ὑπάρχον, διὰ τὸ

g Ἀπόστημα, cum sæpe *spatium* et *intervallum* significet, referri possit ad tempus: vel cum Eustratio dicamus nihil aliud esse quam *defectionem a parentum moribus*.

omnino posterorum res secundæ et adversæ. Difficultatem autem hæc quoque afferunt: fieri enim potest, ut, quem vita beata usque ad senectutem prosecuta sit, et qui supremum vitæ diem convenienter actæ jam ætati obierit, eum multæ in posteris mutationes ac varietates excipiant, ut eorum alii boni sint, eaque vita, quam merentur, potiantur, alii contra: atque hoc perspicuum est, etiam magno spatio interjecto, magnam in eis morum ac fortunæ dissimilitudinem ac varietatem, si cum parentibus conferantur, evenire posse. Absurdum igitur fuerit, si una cum eis mortuus quoque commutetur, fiatque nunc beatus, nunc contra miser: absurdum vero etiam illud esset, res posterorum nihil, ne ad ullum quidem usque tempus, ad parentes pertinere. Sed redeundum est ad id, quod ex priore loco dubitatum est: fortassis enim ex illo id quoque, quod posterius quærebamus, intelligetur. Si igitur supremus vitæ dies exspectandus est, et tum quisque beatus existimandus est, cum eum diem obierit, non quod nunc beatus sit, sed quod antea fuerit: nonne absurdum est, cum quis beatus est, tum id quod in eo inest de ipso non vere dictum iri, ob hanc causam, quod vivos

μὴ βούλεσθαι τοὺς ζῶντας εὐδαιμονίζειν διὰ τὰς μεταβολὰς, καὶ διὰ τὸ μόνιμόν τι τὴν εὐδαιμονίαν ὑπειληφέναι, καὶ μηδαμῶς εὐμετάβολον· τὰς δὲ τύχας πολλάκις ἀνακυκλεῖσθαι περὶ τοὺς αὐτούς; δῆλον γὰρ, ὡς εἰ συνακολουθοίημεν ταῖς τύχαις, τὸν αὐτὸν εὐδαίμονα, καὶ πάλιν ἄθλιον ἐροῦμεν πολλάκις, [h] χαμαιλέοντά τινα τὸν εὐδαίμονα ἀποφαίνοντες, καὶ σαθρῶς ἱδρυμένον. Ἢ τὸ μὲν ταῖς τύχαις ἐπακολουθεῖν οὐδαμῶς [i] ὀρθόν; οὐ γὰρ ἐν ταύταις τὸ εὖ ἢ κακῶς, ἀλλὰ προσδεῖται τούτων ὁ ἀνθρώπινος βίος, καθάπερ εἴπομεν· κύριαι δ' εἰσὶν αἱ κατ' ἀρετὴν ἐνέργειαι τῆς εὐδαιμονίας, αἱ δ' ἐναντίαι τοῦ ἐναντίου. Μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὸ νῦν διαπορηθέν· περὶ οὐδὲν γὰρ οὕτως ὑπάρχει τῶν [k] ἀνθρωπίνων βεβαιότης, ὡς περὶ τὰς ἐνεργείας τὰς κατ' ἀρετήν· μονιμώτεραι

[h] Χαμαιλέοντα vocat *eum, qui est varius, et modo hanc, modo illam speciem præ se fert, quique ad contrarios prosperæ vel adversæ fortunæ status mutatur.* Hoc animal aiunt in metu colorem mutare: unde Tertullianus in libro de Pallio ait istud de corio suo ludere. Imitatur autem omnes colores præter album, ut ait Plutarchus; vel, ut ait Plinius, præter rubrum et candidum. Qui plura cupit, legat Aristotelem lib. ii. de natura animalium, et Plinium lib. viii. cap. 33. et Theophrastum in libro περὶ τῶν τὰς χρόας μεταβαλλόντων. [i] Forte ὀρθὸν, translata interrogationis nota post τοῦ ἐναντίου. *Casaub.* [k] Nonnulli codd. (sic Ven. 2. Andr. N C. et El.) ἀνθρωπίνων ἔργων habent, quam lectionem Vet. Interp. adjuvat: puto tamen quod additum est, declarationem quandam fuisse, et sine illo pulcherrime sententiam stare. *Vict.*

beatos prædicare nolimus propter rerum commutationes casuumque varietates, et quia beatitudinem quidem firmum quiddam et prope immutabile esse existimemus: fortuna autem sæpe sese identidem convertens, atque in orbem volvens, eosdem homines feriat? perspicuum est enim, si fortunæ casus sequamur, nos eundem nunc beatum, nunc contra miserum sæpe esse dicturos, chamæleontem quendam, et parum stabili sede collocatum, virum beatum nostra oratione fingentes. An potius indignum atque iniquum est fortunæ varietatem et mobilitatem sequi? non enim bene vel male vivendi ratio in hac posita est, sed fortunæ bona, ut adjumenta quædam, humana vita desiderat, quemadmodum diximus: actiones autem virtuti consentaneæ beatitudinis dominæ sunt, miseriarum vero contrariæ. Atque huic rationi testimonio est hoc ipsum, de quo prius dubitatum est: nulla enim in re humana tanta inest firmitudo, quanta in iis actio-

γὰρ καὶ τῶν ἐπιστημῶν αὗται δοκοῦσιν εἶναι· τούτων δ' αὐτῶν αἱ [l]τιμιώταται καὶ μονιμώταται, διὰ τὸ μάλιστα καὶ συνεχέστατα καταζῆν ἐν αὐταῖς τοὺς μακαρίους· τοῦτο γὰρ ἔοικεν [m]αἰτίῳ τοῦ μὴ γίγνεσθαι περὶ [n]αὐτὰ [o]λήθην. Ὑπάρξει δὴ τὸ ζητούμενον τῷ εὐδαίμονι, καὶ ἔσται διὰ βίου τοιοῦτος· ἀεὶ γὰρ, ἢ μάλιστα πάντων, πράξει καὶ θεωρήσει τὰ κατ' ἀρετὴν, καὶ τὰς τύχας οἴσει κάλλιστα καὶ πάντη πάντως [p]ἐμμελῶς ὅγ', ὡς ἀγαθὸς ἀληθῶς καὶ [q]τετράγωνος ἄνευ ψόγου. Πολλῶν δὲ γενομένων κατὰ τύχην, καὶ διαφερόντων μεγέθει καὶ μικρότητι, τὰ μὲν μικρὰ τῶν εὐτυχημάτων, ὁμοίως δὲ καὶ τῶν ἀντικειμένων, δῆλον, ὡς οὐ ποιεῖ ῥοπὴν τῆς ζωῆς· τὰ δὲ μεγάλα καὶ πολλὰ, γιγνόμενα μὲν εὖ, μακαριώτερον τὸν βίον ποιήσει· καὶ γὰρ αὐτὰ συνεπικοσμεῖν πέφυκε, καὶ ἡ χρῆσις αὐ-

[l] Τιμιώτεραι, μονιμώτεραι Ven. 2. Andr. αἱ τιμιώτερ. διὰ τὸ El. in hujus vero marg. in superlativo gradu scribuntur altera manu. [m] Αἴτιον Ven. 2. [n] Αὐτὰς N C. et C C C. [o] Vix enim fieri potest, ut eorum obliviscamur, quæ quotidie agimus, et quæ nos maxime delectant. [p] Ἐμμελῶς, *cum modulatione, concinne, decenter, æquabiliter.* [q] Καὶ τετράγωνος ἄνευ ψόγου verba sunt Simonidis: sententia autem integra reperitur apud Platonem in Protagora, his verbis: λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν, τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ, ὅτι ἄνδρα ἀγαθὸν μὲν ἀληθέως γενέσθαι χαλεπὸν, χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον. In lib. iii. cap. 11. Rhet. Aristoteles dicit τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον, μεταφορά· ἄμφω γὰρ τέλεια. Videtur autem *bonum et fortem virum* vocasse *quadratum*, vel a *figura quadrata*, quæ perfectissima habetur: vel a *corpore quadrato*; ut enim id corpus, quamcunque in partem projiciatur, ita cadit ut rectum permaneat, sic *vir bonus* et *fortis* stat semper, neque ullo fortunæ impetu dejici potest.

nibus, quæ cum virtute consentiunt; nam hæ vel scientiis ipsis stabiliores ac diuturniores esse videntur: atque harum ipsarum ut quæque plurimi est, ita diutissime permanet, propterea quod in eis maxime et assidue ætatem agunt beati: quæ videtur esse causa, cur nulla unquam oblivione deleantur. Inerit ergo in beato id quod quærimus, talisque in vita futurus est: nam vel semper, vel omnium maxime ea et aget, et animo cernet, quæ cum virtute conjuncta sunt, fortunæque casus pulcherrime, omnique ex parte, et plane concinne feret, ut vere vir bonus et sine vituperatione quadratus. Sed cum multa fortuito eveniant, eaque magnitudine et parvitate differant, perspicuum est ea fortunæ bona, itemque contraria, quæ parva sint, nihil ad vitam momenti habere: magna autem fortunæ beneficia et multa vitam beatiorem esse effectura; nam

τῶν καλὴ καὶ σπουδαία γίγνεται· ἀνάπαλιν δὲ συμβαίνοντα θλίβει καὶ λυμαίνεται τὸ μακάριον· λύπας τε γὰρ ἐπιφέρει, καὶ ἐμποδίζει πολλαῖς ἐνεργείαις. Ὅμως δὲ καὶ ἐν τούτοις διαλάμπει τὸ καλὸν, [r] ἐπειδὰν φέρῃ τις εὐκόλως πολλὰς καὶ μεγάλας ἀτυχίας, μὴ δι' ἀναλγησίαν, ἀλλὰ γεννάδας ὢν καὶ μεγαλόψυχος. Εἰ δ' εἰσὶν αἱ ἐνέργειαι κύριαι τῆς ζωῆς, καθάπερ εἴπομεν, οὐδεὶς ἂν γένοιτο τῶν μακαρίων ἄθλιος· οὐδέποτε γὰρ πράξει τὰ μισητὰ καὶ φαῦλα· τὸν γὰρ ὡς ἀληθῶς ἀγαθὸν καὶ ἔμφρονα πάσας οἰόμεθα τὰς τύχας εὐσχημόνως φέρειν, καὶ ἐκ τῶν ὑπαρχόντων ἀεὶ τὰ κάλλιστα πράττειν· καθάπερ καὶ στρατηγὸν ἀγαθὸν τῷ παρόντι στρατοπέδῳ χρῆσθαι [s] πολεμικώτατα, καὶ σκυτοτόμον ἐκ τῶν δοθέντων σκυτῶν κάλλιστον ὑπόδημα ποιεῖν, τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἄλλους τεχνίτας ἅπαντας. Εἰ δ' οὕτως, ἄθλιος μὲν οὐδέποτε γένοιτ' ἂν ὁ εὐδαίμων· [t] οὐ μὴν μακάριός γε, ἂν Πρια-

[r] Ὡς ἐπειδὰν Ven. 1. et 2. [s] Στρατηγικώτατον pro πολεμικώτατα N C.
[t] Ἀλλὰ μονονοὺ μακάριος τῆς γε τύχης ἕνεκα, ἐὰν Πριαμικαῖς περιπέσῃ τύχαις. *Sed*

et una ornamento suapte natura solent esse, et usus eorum pulcher et bonus efficitur: contraria vero vitam beatam in angustias redigunt, et corrumpunt; ægritudines enim animis inferunt, et multorum munerum functiones impediunt. Veruntamen etiam in his splendet atque elucet ipsum honestum, tum maxime, cum quis multas et magnas calamitates fert leniter et placide, non quod doloris sensu careat, sed quod generosi magnique sit animi. Itaque si vitæ dominatum summamque adeo potestatem obtinent muneris functiones, ut diximus, nullus beatus ullo pacto miser esse potest; nunquam enim quicquam aget odio dignum aut improbum: nam qui vere bonus et bene sanæ mentis est, eum putamus omnes fortunæ casus decenter et ex personæ suæ dignitate ferre, semperque ex iis, quæ suppetunt, res pulcherrimas agere: quomodo et bonum imperatorem eo exercitu, qui præsto est, semper uti bellicosissime, et sutorem ex iis pellibus, quæ ad eum delatæ sunt, calceum pulcherrimum conficere, eodemque modo cæteros artifices omnes. Quod si ita est, profecto vir beatus nunquam miser ille quidem futurus est: haud fa-

μικραῖς τύχαις περιπέσῃ· οὐδὲ δὴ [u] ποικίλος γε καὶ εὐμετάβολος· οὔτε γὰρ ἐκ τῆς εὐδαιμονίας κινηθήσεται ῥᾳδίως, οὔθ' ὑπὸ τῶν τυχόντων ἀτυχημάτων, ἀλλ' ὑπὸ μεγάλων καὶ πολλῶν· ἔκ [x] τε τῶν τοιούτων οὐκ ἂν γένοιτο πάλιν εὐδαίμων ἐν ὀλίγῳ χρόνῳ· ἀλλ' εἴ περ, ἐν πολλῷ τινι καὶ τελείῳ, μεγάλων καὶ καλῶν ἐν αὐτῷ γενόμενος ἐπήβολος. Τί οὖν κωλύει λέγειν εὐδαίμονα τὸν κατ' ἀρετὴν τελείαν ἐνεργοῦντα, καὶ τοῖς ἐκτὸς ἀγαθοῖς ἱκανῶς κεχορηγημένον, μὴ τὸν τυχόντα χρόνον, ἀλλὰ τέλειον βίον; ἢ προσθετέον, καὶ βιωσόμενον οὕτω, καὶ τελευτήσοντα κατὰ λόγον; ἐπειδὴ τὸ μέλλον ἀφανὲς ἡμῖν· τὴν εὐδαιμονίαν δὲ τέλος καὶ τέλειον τίθεμεν [y] πάντῃ πάντως; Εἰ δ' οὕτω, μακαρίους [z] μὲν ἐροῦμεν τῶν ζώντων, οἷς ὑπάρχει

solummodo quod ad fortunam non beatus, si in easdem forte, in quas olim Priamus, calamitates incidat. Andron. Hæc hujus loci expositio eorum sententiæ favet, qui cum Eustratio medium quoddam statuunt inter beatitudinem et miseriam, et hoc modo hunc locum interpretantur: Is qui in *Priami* calamitates inciderit, cum careat iis bonis, sine quibus elucescere non potest beatitudo, beatus dici non potest, neque tamen miser, quia nullis succumbit vitiis, citra quæ nulla est vera miseria. Hæc difficultas minime solvi potest ex discrimine, quod quidam statuunt inter εὐδαίμων et μακάριος, cum manifestum sit, quod Aristoteles his duobus nominibus in hoc cap. promiscue utitur. [u] Ποικίλος τις Ven. 2. ποικίλος τε El. [x] Τὲ non habent N C. C C C. Ven. 1. et 2. [y] Quidam omittunt πάντῃ ante πάντως: sed geminatio ista supra etiam fuit in hoc cap. *Sylb.* [z] Μὲν non agnoscunt MSS. Ven. 1. 2. et Camot.

cile tamen beatus dici poterit, si in Priami calamitates inciderit: neque vero varius et mutabilis: nam ut neque facile de beata vita poterit demoveri, neque a quibuslibet rebus adversis, sed a magnis et multis: sic neque talibus fortunæ casibus afflictus rursus brevi tempore fieri poterit beatus: sed si fiet, longo et justo temporis intervallo fiet, cum magnarum et honestarum rerum interea compos fuerit effectus. Quid prohibet igitur, quo minus eum dicamus beatum, qui suas actiones perfecta virtute dirigit, bonisque externis mediocriter instructus est, non ad quodlibet tempus, sed per vitam perfectam? an eodem etiam addere debemus, qui sit ita victurus, et mortem ei vitæ convenienter obiturus? quandoquidem res futuræ nobis sunt obscuræ: beatitudinem autem finem esse, et quiddam prorsus et omni ex parte perfectum, ponimus. Quæ cum ita sint, beatos ex vivis dicemus eos, in quibus ea insunt,

καὶ ὑπάρξει τὰ λεχθέντα· μακαρίους δὲ, [a] ὡς ἀνθρώπους. Καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον διωρίσθω.

ΚΕΦ. ιαʹ.

ΤΑΣ δὲ τῶν ἀπογόνων τύχας καὶ τῶν φίλων ἁπάντων τὸ μὲν μηδοτιοῦν συμβάλλεσθαι, λίαν ἄφιλον φαίνεται, καὶ ταῖς δόξαις ἐναντίον. Πολλῶν δὲ καὶ παντοίας ἐχόντων διαφορὰς τῶν συμβαινόντων, καὶ τῶν μὲν μᾶλλον συνικνουμένων, τῶν δ᾽ ἧττον, καθ᾽ ἕκαστον μὲν διαιρεῖν μακρὸν καὶ ἀπέραντον φαίνεται· καθ᾽ ὅλου δὲ λεχθὲν καὶ τύπῳ τάχ᾽ ἂν ἱκανῶς ἔχοι. Εἰ δὴ καθάπερ καὶ τῶν περὶ αὐτὸν ἀτυχημάτων, τὰ μὲν ἔχει τι βρίθος καὶ ῥοπὴν πρὸς τὸν βίον, τὰ δ᾽ ἐλαφροτέροις ἔοικεν· οὕτω καὶ τὰ περὶ τοὺς φίλους ὁμοίως ἅπαντας, Διαφέρει δὲ τῶν παθῶν ἕκαστον περὶ ζῶντας ἢ τελευτήσαντας συμβαίνειν, πολὺ μᾶλλον [b] ἢ τὰ παράνομα καὶ δεινὰ προϋπάρ-

[a] Ὡς abest a N C. El. Ven. 1. et 2. *Μακαρίους δὲ ὡς ἀνθρώπους ἀνθρωπίνην μακαριότητα, ἥτις οὐ πάντῃ τέλειον ἔχει τὸ ἀγαθόν. Beatum autem dico beatitudine humana, quæ non undique perfectum habet bonum.* Andr. [b] Hanc periochen vertit Lamb. *quam utrum facinora injusta et atrocia aliorum, circa quæ tragœdia versatur, jam olim perpetrata sint, an nunc primum perpetrentur :* cui favet Eustratius, et plu-

et inerunt, quæ a nobis supra dicta sunt: beatos autem ut homines. Atque hæc quidem hactenus.

CAP. XI.

FORTUNAM autem secundam et adversam posterorum et amicorum omnium nihil beatum virum attingere dicere, cum valde ab amicitia alienum esse, tum a communibus hominum opinionibus abhorrere videtur. Sed cum multa quotidie eventa existant, eorumque magna sit varietas, cumque alia magis, alia minus ad nos pertineant; ea quidem sigillatim explicare atque in partes distribuere longum atque infinitum videtur: universe autem ostendere ac veluti rudi imagine adumbrare fortasse satis fuerit. Si igitur, ut res adversæ, quæ cuique accidunt, aliæ pondus aliquod et momentum habent ad vitam, aliæ sunt leviores: sic eæ etiam quæ amicis omnibus. Sed permultum interest, utrum unusquisque casus acerbus vivis, an mortuis accidat, et longe quidem magis interest, quam utrum res injustæ et atroces in tragœdiis olim pa-

χεῖν ἐν ταῖς τραγῳδίαις, ἢ πράττεσθαι. Συλλογιστέον δὴ καὶ [c] ταύτῃ τὴν διαφοράν· μᾶλλον [d] δ' ἴσως τὸ διαπορεῖσθαι περὶ τοὺς κεκμηκότας, εἴ τινος ἀγαθοῦ κοινωνοῦσιν, ἢ τῶν ἀντικειμένων· ἔοικε γὰρ ἐκ τούτων, εἰ καὶ διϊκνεῖται πρὸς αὐτοὺς ὁτιοῦν, εἴτε ἀγαθὸν, εἴτε τοὐναντίον, ἀφαυρόν τι καὶ μικρὸν, [e] ἢ ἁπλῶς, ἢ ἐκείνοις εἶναι· [f] εἰ δὲ μὴ, τοσοῦτόν γε καὶ τοιοῦτον, ὥστε μὴ ποιεῖν εὐδαίμονας τοὺς μὴ ὄντας, μηδὲ τοὺς ὄντας [g] μακαρίους ἀφαιρεῖσθαι τὸ μακάριον. [h] Συμβάλλεσθαι μὲν οὖν τι φαίνονται τοῖς κεκμηκόσιν αἱ εὐπραξίαι τῶν φίλων, ὁμοίως δὲ καὶ αἱ δυσπραξίαι· τοιαῦτα δὲ καὶ τηλικαῦτα, ὥστε μήτε τοὺς εὐδαίμονας μὴ εὐδαίμονας ποιεῖν, μήτ' ἄλλο τῶν τοιούτων μηδέν.

imi Latini interpretes. Argyropylus vero transtulit: *quam res nefandæ gravesque agantur, an in tragœdiis recitentur*: quæ versio etiam ad mentem Aristot. accommodata videtur, et confirmatur ab Andr. qui hoc *simile* explicat his verbis: *ὅσην ἔχει διαφορὰν τὰ ἐν ταῖς τραγῳδίαις πλαττόμενα κακὰ τῶν προϋπαρξάντων πραγμάτων, ὧν ταῦτα σκιαί. Quantum differunt ea quæ in tragœdiis repræsentantur, mala a malis ipsis, quorum hæc tantum umbræ sunt.* Vide Gruchium. [c] *Ταύτην* Ven. 2. [d] Quidam *ἴσως τόδε δεῖ διαπορεῖσθαι* emendant, sine ratione et libris. *Casaub.* [e] Ἢ ἁπλῶς, id est, vel natura sua et per se parvum: *ἢ ἐκείνοις*, id est, vel mortuis ipsis est exiguum; licet enim magnum ipsum fuerit, imminutum valde perventurum est ad mortuos. [f] Vet. Interp. sic videtur legisse, *εἰ δὲ, μὴ τοσοῦτόν γε καὶ τοιοῦτον, ὥστε ποιεῖν εὐδαίμονας τοὺς μὴ ὄντας*: cujus scripturæ hæc erit sententia, Sin aliquid valeat, at non tantum certe, neque tale esse, ut vel eos, qui non sint, beatos efficiat. *Lamb.* Huic lectioni favet Andr. qui sic hunc locum exponit, *εἰ δὲ ἔχει τινὰ δύναμιν, ἀλλ' οὐ τοσαύτην γε καὶ τοιαύτην, ὥστε ποιεῖν εὐδαίμονας τοὺς μὴ τυχόντας, ἢ τοὺς ὄντας ἀφαιρεῖσθαι τὴν μακαριότητα.* [g] *Μακαρίους* deest El. C C C. et Andr. nec Vet. Interp. expressit. Aristotelis non fuisse videtur, qui semper brevitate gaudet. [h] *Συμβάλλεσθαι μὲν οὖν* &c. usque ad finem cap. Scholion fuisse suspicatur Victorius. Cum vero plurimi libri, tam impressi quam manu exarati, illa habeant, et Vet. Interp. expresserit, et Eustratius et Andronicus agnoscant; si sint Scholion, vetustissimum est.

tratæ fuerint, an *coram* perpetrentur. Colligenda hoc etiam modo erit differentia: immo vero de hoc quærendum ac dubitandum est, utrum mortui boni alicujus aut mali sint participes, necne: apparet enim ex his, etiamsi quid ad eos perveniat, quodcunque sit illud, sive bonum, sive malum, perquam id leve atque exiguum vel absolute, vel illis esse: sin aliter, at certe tantillum, ac tale, ut neque eos, qui non sunt, beatos efficiat, neque beatitudinem iis, qui eam adepti sunt, adimat. Videntur igitur res amicorum tum secundæ, tum adversæ, nonnihil ad mortuos pertinere: sed ita et tantum, ut neque beatos non beatos efficiant, neque quicquam aliud tale.

ΚΕΦ. ιβʹ.

ΔΙΩΡΙΣΜΕΝΩΝ δὲ τούτων, ἐπισκεψώμεθα περὶ τῆς εὐδαιμονίας, πότερα [i] τῶν ἐπαινετῶν ἐστιν, ἢ μᾶλλον τῶν τιμίων· δῆλον γὰρ, ὅτι τῶν γε δυνάμεων οὐκ ἔστι. Φαίνεται δὴ πᾶν τὸ ἐπαινετὸν τῷ ποιόν τι εἶναι, καὶ πρός τί πως ἔχειν, ἐπαινεῖσθαι· τὸν γὰρ δίκαιον, καὶ τὸν ἀνδρεῖον, καὶ ὅλως τὸν ἀγαθὸν, καὶ τὴν ἀρετὴν ἐπαινοῦμεν διὰ τὰ ἔργα καὶ τὰς πράξεις· καὶ τὸν ἰσχυρὸν, καὶ τὸν δρομικὸν, καὶ τῶν ἄλλων ἕκαστον, τῷ ποιόν τινα πεφυκέναι καὶ ἔχειν πως πρὸς ἀγαθόν τι καὶ σπουδαῖον. Δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν περὶ τοὺς θεοὺς ἐπαίνων· [k] γελοῖοι γὰρ φαίνονται πρὸς ἡμᾶς ἀναφερόμενοι· τοῦτο δὲ συμβαίνει διὰ τὸ γίνεσθαι τοὺς ἐπαίνους δι' ἀναφορᾶς, ὥσπερ

[i] Ἔστι γὰρ τῶν ἀγαθῶν, τὰ μὲν τίμια, τὰ δὲ ἐπαινετὰ, τὰ δὲ δυνάμεις. Τὸ δὲ τίμιον λέγω, τὸ τοιοῦτον, τὸ θεῖον, τὸ βέλτιον, οἷον ψυχὴ, νοῦς· τὸ ἀρχαιότερον, ἡ ἀρχὴ, τὰ τοιαῦτα· τίμια δὲ, ἐφ' οἷς ἡ τιμή. Τοῖς δὲ τοιούτοις πᾶσι τιμὴ ἀκολουθεῖ· οὐκοῦν καὶ ἡ ἀρετὴ τίμιον, ὅταν γε δὴ ἀπ' αὐτῆς σπουδαῖός τις γίνηται· ἤδη γὰρ οὗτος εἰς τὸ τῆς ἀρετῆς σχῆμα ἥκει. Τὰ δ' ἐπαινετὰ, οἷον ἀρεταί· ἀπὸ γὰρ τῶν κατ' αὐτὰς πράξεων ὁ ἔπαινος γίνεται. Τὰ δὲ δυνάμεις, οἷον ἀρχὴ, πλοῦτος, ἰσχὺς, κάλλος· τούτοις γὰρ καὶ ὁ σπουδαῖος εὖ ἂν δύνηται χρήσασθαι, καὶ ὁ φαῦλος κακῶς· διὸ δυνάμει τὰ τοιαῦτα καλοῦνται ἀγαθά. Ἀγαθὰ μὲν δή εἰσι· δοκιμάζεται γὰρ τῇ τοῦ σπουδαίου αὐτῶν ἕκαστον χρήσει, οὐ τῇ τοῦ φαύλου. Magn. Moral. lib. i. cap. 2. Vide Eud. lib. ii. cap. 1.

[k] Laudes, quæ vulgo Diis tribui solent, ridiculæ sunt, et multo infra ipsorum majestatem, cum referantur ad beneficia, quæ ipsi in homines contulerunt: ut cum Jovem vocant κτήσιον, ἐπικάρπιον, χαριδότην. Plutarchus Στωικαῖς ἐναντιώμασι. Dionysius ἐν τῷ περὶ τῶν πανηγυρικῶν, de Deorum laudationibus loquens, ὁ δὲ τόπος, inquit, σχεδὸν συμπληρωθήσεται, ἐξ ὧν ἕκαστος ἢ εὗρεν ἢ παρέσχε τοῖς ἀνθρώποις. *Mur.*

CAP. XII.

HIS autem distinctis, restat ut de beatitudine videamus, utrum habenda sit in numero rerum laudabilium, an in earum potius, quæ honore dignæ sunt: est enim perspicuum eam non numerari in potestatibus. Videtur igitur id omne, quod laudabile est, ob eam causam laudari, quod sit cujusdammodi, et ad aliquid quodammodo referatur: nam justum, fortem, et omnino virum bonum, ac virtutem propter facta et actiones laudamus: robustum, et eum, qui ad cursum aptus est, et unumquemque aliorum, propterea laudamus, quod a natura sic comparatus, et quodammodo ad aliquod bonum et præstantiam aliquam affectus est. Quod etiam declarant deorum laudes: ridiculæ enim videntur, cum ad nos referuntur: atque hoc propterea accidit, quod laudes, quemadmodum, diximus, compa-

εἴπομεν. Εἰ δ' ἔστιν ὁ ἔπαινος τῶν τοιούτων, δῆλον, ὅτι τῶν ἀρίστων οὐκ ἔστιν ἔπαινος, ἀλλὰ μεῖζόν τι καὶ βέλτιον, καθάπερ καὶ φαίνεται· τούς τε γὰρ θεοὺς [1] μακαρίζομεν καὶ εὐδαιμονίζομεν, καὶ τῶν ἀνδρῶν τοὺς θειοτάτους μακαρίζομεν· ὁμοίως δὲ καὶ τῶν ἀγαθῶν· οὐδεὶς γὰρ τὴν εὐδαιμονίαν ἐπαινεῖ, καθάπερ τὸ δίκαιον, ἀλλ' ὡς θειότερόν τι καὶ βέλτιον μακαρίζει. Δοκεῖ δὲ καὶ [m] Εὔδοξος καλῶς συνηγορῆσαι περὶ τῶν ἀριστείων τῇ ἡδονῇ· τὸ γὰρ μὴ ἐπαινεῖσθαι, τῶν ἀγαθῶν οὖσαν, μηνύειν ᾤετο ὅτι κρεῖττόν ἐστι τῶν ἐπαινετῶν· τοιοῦτον δὲ εἶναι τὸν θεὸν καὶ τἀγαθόν· πρὸς ταῦτα γὰρ καὶ τἄλλα ἀναφέρεσθαι· ὁ μὲν γὰρ ἔπαινος τῆς ἀρετῆς, πρακτικοὶ γὰρ τῶν καλῶν ἀπὸ ταύτης· τὰ δὲ ἐγκώμια τῶν ἔργων, ὁμοίως καὶ τῶν σωματικῶν, καὶ τῶν ψυχικῶν. Ἀλλὰ ταῦτα μὲν ἴσως οἰκειότερον ἐξακριβοῦν

[1] Μακαρίζομεν καὶ εὐδαιμονίζομεν, eadem vis notioque est verbi utriusque, ut Aristoteles testatus est in lib. i. Rhet. quo in loco ἔπαινον ab ἐγκωμίῳ distinguit: docet enim illic, ut μακαρισμὸς longe aliud est a superioribus his, ita nulla re differre ab εὐδαιμονισμῷ. *Vict.*

[m] Eudoxus fuit ortu Cnidius, auditor Platonis, doctissimus in astrologia, ut testatur Cicero lib. ii. de Divinatione. Ille in voluptate beatitudinem collocavit.

ratione et relatione quadam constant. Quod si laus talibus rebus tribuitur, nimirum perspicuum est rerum præstantissimarum non esse laudem, sed quiddam laude majus, et melius, quemadmodum et apparet: nam et deos beatos ac felices usurpamus, et viros maxime divinos vitam beatam degere dicimus: itemque ea bona, quæ divinissima sunt, beata prædicamus: beatitudinem enim nemo laudibus effert, ut justitiam, sed ut divinius et melius quiddam suspicit, et in rerum beatissimarum numero collocat. Videtur autem eleganter etiam Eudoxus causam voluptatis egisse, cum principem locum dignitatis ei tribuere vellet: nam quod, cum sit ipsa in numero rerum bonarum, non laudetur, eo declarari putabat, eam rebus iis, quæ essent laudabiles, esse meliorem: talem autem esse deum ac summum bonum; ad hæc enim cætera quoque referri: nam virtuti quidem laus proprie tribuitur; ab hac enim ad res honestas agendas idonei efficimur: encomia autem factorum sunt potius, et eorum similiter, quæ corporis, et eorum, quæ animi viribus obeuntur. Sed de his quidem subtilius ac limatius disputare eorum est magis,

τοῖς περὶ τὰ ἐγκώμια πεπονημένοις· ἡμῖν δὲ δῆλον ἐκ τῶν εἰρημένων, ὅτι ἐστὶν ἡ εὐδαιμονία τῶν τιμίων καὶ τελείων. Ἔοικε δ' οὕτως ἔχειν, καὶ διὰ τὸ εἶναι [n]ἀρχήν· ταύτης γὰρ χάριν τὰ λοιπὰ πάντες πάντα πράττομεν· τὴν ἀρχὴν δὲ καὶ τὸ αἴτιον τῶν ἀγαθῶν τίμιόν τι καὶ θεῖον τίθεμεν.

ΚΕΦ. ιγ'.

Ἐπεὶ δ' ἐστὶν ἡ εὐδαιμονία ψυχῆς ἐνέργειά τις κατ' ἀρετὴν τελείαν, περὶ ἀρετῆς ἐπισκεπτέον· τάχα γὰρ οὕτως ἂν βέλτιον καὶ περὶ τῆς εὐδαιμονίας θεωρήσαιμεν. Δοκεῖ δὲ καὶ ὁ κατ' ἀλήθειαν πολιτικὸς περὶ ταύτην μάλιστα πεπονῆσθαι· βούλεται γὰρ τοὺς πολίτας ἀγαθοὺς ποιεῖν, καὶ τῶν νόμων ὑπηκόους· παράδειγμα δὲ τούτων ἔχομεν, τοὺς [o]Κρητῶν καὶ Λακεδαιμονίων νομοθέτας, καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγένηνται. Εἰ δὲ τῆς πολιτικῆς ἐστιν ἡ σκέψις αὕτη, δῆλον,

[n] Ἀρχὴ, nominandi casu, antiquus fidelisque liber (sic N C. et Ven. 1.) quod non displicet. *Vict.* [o] Horum alteris leges tulisse Minoem, auctore Jove; alteris Lycurgum, auctore Apolline, perhibent.

qui in encomiis scribendis occupati sunt: nobis autem ex iis, quæ dicta sunt, perspicuum est in bonis iis, quæ honore digna et perfecta sunt, vitam beatam esse numerandam. Atque ita videtur esse, etiam propter hanc causam, quod principium est: hujus enim gratia omnes reliqua omnia agimus: principium autem, causamque cur cætera bona sint, honore dignum et divinum quiddam esse ducimus.

CAP. XIII.

SED quoniam beatitudo functio quædam muneris animi est, virtuti undique absolutæ congruens, de virtute videndum est: sic enim fortasse et de beatitudine melius dispicere poterimus. Atque is quidem, qui ad rempublicam administrandam vere idoneus est, in hujus studio maxime exercitatus esse videtur: huc enim se parat, atque hoc studet, ut cives suos, viros bonos, et legibus obedientes efficiat: quarum rerum exemplum nobis suppeditant Cretensium et Lacedæmoniorum legumlatores, et si qui alii tales exstiterunt. Quod si hæc civilis scientiæ propria disputatio est, nimirum ad id consilium, atque institutum,

ὅτι γένοιτ᾽ ἂν ἡ ζήτησις κατὰ τὴν ἐξ ἀρχῆς προαίρεσιν. Περὶ ἀρετῆς δὲ ἐπισκεπτέον, ἀνθρωπίνης δηλονότι· καὶ γὰρ τὸ ἀγαθὸν ἀνθρώπινον ἐζητοῦμεν, καὶ τὴν εὐδαιμονίαν ἀνθρωπίνην· ἀρετὴν δὲ λέγομεν ἀνθρωπίνην, οὐ τὴν τοῦ σώματος, ἀλλὰ τὴν τῆς ψυχῆς· καὶ τὴν εὐδαιμονίαν δὲ, ψυχῆς ἐνέργειαν λέγομεν. Εἰ δὲ ταῦθ᾽ οὕτως ἔχει, δῆλον, ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι πως τὰ περὶ ψυχήν· P ὥσπερ καὶ τὸν ὀφθαλμοὺς θεραπεύσοντα, καὶ πᾶν σῶμα· καὶ μᾶλλον ὅσῳ τιμιωτέρα καὶ βελτίων ἡ πολιτικὴ τῆς ἰατρικῆς. Καὶ τῶν ἰατρῶν δ᾽ οἱ χαρίεντες πολλὰ πραγματεύονται περὶ τὴν τοῦ σώματος γνῶσιν. Θεωρητέον δὴ καὶ τῷ πολιτικῷ περὶ ψυχῆς· θεωρητέον δὲ τούτων χάριν, καὶ ἐφ᾽ ὅσον ἱκανῶς ἔχει πρὸς τὰ ζητούμενα· τὸ γὰρ ἐπὶ πλεῖον ἐξακριβοῦν ἐργωδέστερον ἴσως ἐστὶ τῶν προ-

P Lambinus hanc periochen hoc modo vertit, *nimirum ut eum, qui oculos et totum corpus curaturus est, oculorum, totiusque corporis naturam oportet habere perspectam:* et in hunc sensum plurimi alii Latini Interpretes transtulerunt: sed, ni fallor, male. Nobiscum facit Victorius, et Andronicus, qui sic explicat, ὥσπερ καὶ τὸν μέλλοντα ὀφθαλμὸν θεραπεύειν, τοῦ σώματος παντὸς τὴν γνῶσιν ἔχειν ἀνάγκη. Si hoc in sensu sumatur, *simile* est valde appositum, et sententia erit integra. Lambini autem interpretatio sensum omnino languidum et jejunum, et sententiam, præter auctoris morem, mancam prorsus reddit.

quod ab initio suscepimus, quæstio hæc erit accommodata. De virtute autem videndum est, humana scilicet: nam cum summum hominis bonum, tum beatitudinem humanam quærebamus: virtutem porro humanam appellamus, non corporis, sed animi virtutem: jam vero etiam beatitudinem functionem muneris animi dicimus. Quod si hæc ita se habent, nimirum ut eum, qui oculos curaturus est, totius corporis naturam oportet habere perspectam: sic eum, qui ad gubernacula reipublicæ aptus futurus est, ea, quæ ad animum pertinent, quodammodo scientia comprehendisse: atque eo quidem magis, quo majore honore digna, quam medicina, scientia civilis est. Porro etiam ii medici, qui sunt politiores, multum studii atque operæ in cognitione corporis ponere consueverunt. Ergo ei quoque, qui civitatis regendæ peritus futurus est, in animi cognitionem cura atque opera multa conferenda est: conferenda, inquam, harum rerum gratia, et quatenus satis sit ad ea, quæ quærimus: namque accuratius ejus vim inquirere atque explicare majoris fortasse nego-

κειμένων. Λέγεται δὲ περὶ αὐτῆς καὶ ἐν τοῖς [q]ἐξωτερικοῖς λόγοις ἀρκούντως ἔνια, καὶ χρηστέον αὐτοῖς· οἷον τὸ μὲν ἄλογον αὐτῆς εἶναι, τὸ δὲ λόγον ἔχον. Ταῦτα δὲ πότερον διώρισται, καθάπερ τὰ τοῦ σώματος μόρια, καὶ πᾶν τὸ μεριστὸν, ἢ τῷ λόγῳ δύο ἐστὶν ἀχώριστα πεφυκότα, [r]καθάπερ ἐν τῇ περιφερείᾳ τὸ κυρτὸν καὶ τὸ κοῖλον, οὐδὲν διαφέρει πρὸς τὸ παρόν. Τοῦ ἀλόγου δὲ τὸ μὲν ἔοικε κοινῷ καὶ φυτικῷ· λέγω δὲ τὸ αἴτιον τοῦ τρέφεσθαι καὶ τοῦ [s]αὔξεσθαι· τὴν τοιαύτην γὰρ δύναμιν τῆς ψυχῆς ἐν ἅπασι τοῖς τρεφομένοις θείη τις ἂν, καὶ ἐν τοῖς ἐμβρύοις, τὴν αὐτὴν δὲ [t]ταύτην καὶ ἐν τοῖς τελείοις· [u]εὐλογώτερον γὰρ ἢ ἄλλην τινά. Ταύτης μὲν οὖν κοινή τις ἀρετὴ, καὶ οὐκ ἀνθρωπικὴ φαίνεται· δοκεῖ γὰρ ἐν τοῖς ὕπνοις ἐνερ-

[q] Inter varias de τῶν λόγων ἐξωτερικῶν significatione opiniones, verisimilior est eorum, qui putant ἐξωτερικὰ denotare ea, quæ ab Aristotele populariter et minus accurate scripta erant, et opponi ἀκροαματικοῖς, quæ erant limatius scripta. Huic sententiæ adstipulatur Andronici παράφρασις. Περὶ ψυχῆς τοίνυν οὐ μόνον ἐν συγγράμμασιν, ἀλλὰ καὶ ἀπὸ στόματος πρὸς τοὺς ἐντυγχάνοντας ἀρκούντως εἴπομεν ἔνια. *Porro de anima, non in scriptis tantum quibusdam, sed et viva voce apud auditores nostros, nonnulla satis luculenter tradidimus.* Vide Cic. de Fin. [r] Καθάπερ ἐν τῇ περιφερείᾳ τὸ κυρτὸν καὶ τὸ κοῖλον· ἓν μὲν γάρ εἰσι πρᾶγμα, καὶ ἀχώριστα πέφυκε, τῷ ὁρισμῷ δὲ διαφέρουσιν· ἄλλος γὰρ ὁρισμὸς τῆς περιφερείας καθὸ κοίλης, καὶ ἄλλος καθὸ κυρτῆς. *Andr.* [s] Αὐξάνεσθαι Ven. 1. 2. et Andr. [t] Ταύτην abest ab El. et Andr. [u] Εὐλογώτερα Ven. 1.

tii sit, quam ea ipsa, quæ nobis proposita sunt. De quo etiam in exotericis disputationibus satis copiose dicuntur nonnulla, atque eis utendum est: exempli causa, unam esse animi partem rationis expertem, participem alteram. Quæ utrum distinctæ sint, quemadmodum corporis partes, et quicquid in partes secari potest, an ratione duæ sint, suapte alioqui natura indivisæ, ut in rotunda figura ea pars, quæ convexa, et ea, quæ concava dicitur, ad id, quod nunc agimus, nihil refert. Ejus autem partis, quæ rationis expers est, altera est, quæ ejus, quæ communis est, et quæ stirpibus convenit, similis est: eam dico, quæ alendi augendique corporis causa est: talem enim animi vim cum in iis omnibus, quæ aluntur, atque adeo in fœtibus immaturis atque imperfectis ponere licet, tum etiam in perfectis animantibus: probabilius est enim hanc eandem esse, quam aliam aliquam. Hujus igitur virtus communis, ut dixi, non hominis propria est: quippe cum in somnis hæc particula, atque hæc vis suo munere

γεῖν μάλιστα τὸ μόριον τοῦτο, καὶ ἡ δύναμις αὕτη· ὁ δ' ἀγαθὸς καὶ κακὸς ἥκιστα [x]διάδηλοι καθ' ὕπνον· ὅθεν φασὶν οὐδὲν διαφέρειν τὸ ἥμισυ τοῦ βίου τοὺς εὐδαίμονας τῶν ἀθλίων· Συμβαίνει δὲ τοῦτ' εἰκότως· [y]ἀργία γάρ ἐστιν ὁ ὕπνος τῆς ψυχῆς, [z]ᾗ λέγεται σπουδαία καὶ φαύλη· πλὴν [a]εἴ πη κατὰ μικρὸν διϊκνοῦνταί τινες τῶν κινήσεων, καὶ ταύτῃ βελτίω γίνεται τὰ [b]φαντάσματα τῶν ἐπιεικῶν, ἢ τῶν τυχόντων. Ἀλλὰ περὶ μὲν τούτων ἅλις· καὶ τὸ θρεπτικὸν [c]οὖν ἐατέον, ἐπειδὴ τῆς ἀνθρωπικῆς ἀρετῆς ἄμοιρον πέφυκεν. Ἔοικε [d]δὴ καὶ ἄλλη τις φύσις τῆς ψυχῆς ἄλογος εἶναι, μετέχουσα μέντοι πῃ λόγου· [e]τοῦ γὰρ ἐγκρατοῦς καὶ ἀκρατοῦς τὸν λόγον, καὶ τῆς

[x] Διάδηλος Ven. 1. 2. et Andr. [y] Camot. habet ἀργεία: quod in Physicis quoque semel in eadem Editione observare memini; et derivari fortasse utrumque ἀπὸ τῶν ἀργῶν sic potest, ut ἀνδρία et ἀνδρεία ἀπὸ τῶν ἀνδρῶν: sed ut ἀνδρεία plerumque scribitur diphthongως: ita usitatius est ἀργία monophthongως. *Sylb.* [z] ἣ λέγεται CCC. El. et Aurel. ἢ οὐ λέγεται NC. Ἀργία γάρ ἐστιν ὁ ὕπνος καὶ τῇ σπουδαίᾳ καὶ τῇ φαύλῃ ψυχῇ. *Andr.* [a] Εἴ περ Ven. 1. 2. et Cam. Πλὴν εἰ μή τις ἐκεῖνο εἴποι, ὅτι καὶ οἱ ὕπνοι τῶν σπουδαίων βελτίους, τῶν μεθημερινῶν κινήσεων τρόπον τινὰ καὶ ἐπὶ τοὺς ὕπνους διερχομένων. *Nisi quis hoc dicat, honestorum propterea hominum somnos meliores esse, quoniam diurni quodammodo motus ad somnos quoque se extendunt.* Andr. [b] Φάσματα NC. et in marg. CCC. [c] Οὖν non agnoscunt MSS. Ven. 1. 2. Cam. et Bas. [d] Hanc etiam lectionem agnoscunt nonnulli libri veteres MSS. alii vero δὲ (sic NC. CCC. Andronicus, et Lamb.) quos sequitur Argyr. *Vict.* δὴ deest El. [e] Δι' ὃ καὶ τὸν τοῦ ἐγκρατοῦς λόγον, καὶ τὸν τοῦ ἀκρατοῦς δὲ, ἐνίοτε ἐπαινοῦμεν, ὅτι ἀντέχουσι πρὸς τὸ ἀντιτεῖνον· ὁ μὲν, μέχρις οὗ δεῖ, ὁ δὲ, ἐνίοτε καὶ μέχρι τινός. *Quare continentis interdum et incontinentis rationem laudamus, quia non cedunt statim, sed in contrarium nituntur: alter quamdiu oportet, alter ad tempus.* Andr.

maxime fungatur: at bonus ab improbo in somno minimum discernitur: hinc illud est, quod aiunt, inter beatos ac miseros dimidiam vitæ partem nihil interesse. Ejusque rei ratio probabilis, cur ita accidat, afferri potest: somnus enim animi est cessatio, vacatioque ab opere, qua is bonus dicitur et malus: nisi si motus quidam perveniunt ac permanant ad aliquam ejus partem, atque hac ratione bonorum, quam quorumlibet aliorum visa sunt meliora. Sed de his quidem satis: atque alendi igitur vis prætermittenda est, quandoquidem virtutis humanæ expers est sua natura. Videtur autem etiam altera animi vis rationis quidem expers esse, quæ tamen aliquo modo ejus est particeps: nam et continentis et incontinentis rationem, animique partem eam, quæ ratione prædita est, laudamus:

ψυχῆς τὸ λόγον ἔχον ἐπαινοῦμεν· [f]ὀρθῶς γὰρ καὶ ἐπὶ τὰ βέλτιστα παρακαλεῖ. Φαίνεται δὲ ἐν αὐτοῖς καὶ ἄλλο τι παρὰ τὸν λόγον πεφυκὸς, ὃ μάχεταί τε καὶ [g]ἀντιτείνει τῷ λόγῳ· ἀτεχνῶς γὰρ καθάπερ τὰ [h]παραλελυμένα τοῦ σώματος μόρια εἰς τὰ δεξιὰ προαιρουμένων κινῆσαι, τοὐναντίον εἰς τὰ ἀριστερὰ παραφέρεται, καὶ ἐπὶ τῆς ψυχῆς οὕτως· ἐπὶ τὰ ἐναντία γὰρ αἱ ὁρμαὶ τῶν ἀκρατῶν. Ἀλλ' ἐν τοῖς σώμασι μὲν ὁρῶμεν τὸ παραφερόμενον, ἐπὶ δὲ τῆς ψυχῆς οὐχ ὁρῶμεν· ἴσως δὲ οὐδὲν ἧττον καὶ ἐν τῇ ψυχῇ νομιστέον εἶναί τι παρὰ τὸν λόγον, ἐναντιούμενον τούτῳ καὶ ἀντιβαῖνον· πῶς δὲ ἕτερον, οὐδὲν διαφέρει. Λόγου δὲ καὶ τοῦτο φαίνεται μετέχειν, ὥσπερ εἴπομεν· πειθαρχεῖ γοῦν τῷ λόγῳ τὸ τοῦ ἐγκρατοῦς· [i]ἔτι δὲ ἴσως εὐηκοώτερόν ἐστι τὸ τοῦ σώφρονος καὶ ἀνδρείου· πάντα γὰρ ὁμοφωνεῖ τῷ λόγῳ. Φαίνεται δὴ καὶ τὸ ἄλογον διττόν· τὸ μὲν

[f] Ὀρθὸς Lamb. quem videas: nostri vero omnes libri, tam impressi quam manu exarati, ὀρθῶς. [g] Ἀντιβαίνει NC. Sic in CCC. scriptum fuerat, sed corrigitur ἀντιτείνει. Ἀντιτείνει τῷ λόγῳ ἀτεχνῶς· καθάπερ γὰρ τὰ παρ. El. [h] Παραλελυμένα, sc. morbo illo tentatæ, qui a Græcis παράλυσις dicitur. Παραλελυμένα τῶν τοῦ σώματος μορίων MSS. [i] Vide infra lib. ii. cap. 3. lib. iii. cap. 6. 7. et 11. et lib. vii. cap. 1. 2. et 4. ex quibus locis discere licet, quodnam discrimen inter σώφρων, ἀνδρεῖος, et ἐγκρατὴς statuat Aristoteles.

recte enim et ad optima facta hortatur atque excitat. Apparet autem in eis etiam alia quædam pars a ratione aversa natura, quæ rationi repugnat ac reluctatur: plane enim ut resolutæ corporis partes, cum eas dextrorsum movere animum inducunt, in contrariam partem sinistrorsum perverse feruntur; sic et in animo evenit: abeunt enim in contrarias partes incontinentium appetitiones. Sed in corporibus id quod perverse movetur, oculis cernimus, in animo non cernimus: nihilominus autem fortasse existimare debemus in animo quoque aliquid inesse, quod a ratione sit devium, eique adversetur ac repugnet: quod quomodo a ratione sit aliud ac diversum, nihil refert. Rationis autem hoc quoque videtur esse particeps, ut diximus; paret enim rationi in continente: at vero in viro forti ac temperante multo adhuc magis obtemperare videtur: omnia enim in his cum ratione consentiunt. Apparet ergo vim quoque rationis expertem esse duplicem:

γὰρ φυτικὸν οὐδαμῶς κοινωνεῖ λόγου· τὸ δὲ ἐπιθυμητικὸν καὶ ὅλως ὀρεκτικὸν μετέχει πως, ᾗ κατήκοόν ἐστιν αὐτοῦ καὶ πειθαρχικόν. [i]Οὕτω δὴ καὶ τοῦ πατρὸς καὶ τῶν φίλων φαμὲν ἔχειν λόγον, καὶ οὐχ ὥσπερ τῶν μαθηματικῶν. Ὅτι δὲ πείθεταί πως ὑπὸ λόγου τὸ ἄλογον, μηνύει καὶ ἡ νουθέτησις, καὶ πᾶσα ἐπιτίμησίς τε καὶ παράκλησις. Εἰ δὲ χρὴ καὶ τοῦτο φάναι λόγον ἔχειν, διττὸν ἔσται καὶ τὸ λόγον ἔχον· τὸ μὲν κυρίως καὶ ἐν ἑαυτῷ, τὸ δὲ ὥσπερ τοῦ πατρὸς [k]ἀκουστικόν τι. Διορίζεται δὲ καὶ ἡ ἀρετὴ κατὰ τὴν διαφορὰν ταύτην· λέγομεν γὰρ αὐτῶν τὰς μὲν διανοητικὰς, τὰς δὲ ἠθικάς· σοφίαν μὲν καὶ σύνεσιν καὶ φρόνησιν διανοητικάς· ἐλευθεριότητα δὲ καὶ σωφροσύνην ἠθικάς· λέγοντες γὰρ περὶ τοῦ ἤθους, οὐ λέγομεν ὅτι σοφὸς, ἢ συνετὸς, ἀλλ' ὅτι πρᾶος, ἢ σώφρων·

[i] Λέγομεν γὰρ τοῦ πατρὸς καὶ τῶν φίλων λόγον ἔχειν, τὸ ἐπιστρέφεσθαι πρὸς αὐτοὺς, καὶ οἷς κελεύουσιν ἐξακολουθεῖν· λέγομεν δὲ καὶ τῶν μαθηματικῶν λόγον ἔχειν, τὸ εἰδέναι αὐτὰ, καὶ γνῶσίν τινα καὶ ἐπιστήμην αὐτῶν ἔχειν. *Dicimus enim aliquem patris et amicorum rationem habere, qui parentes diligenter curat aut amicos, et quæ ab iis jubentur, exsequitur: dicimus et mathematicarum disciplinarum rationem habere aliquem, qui eas novit, aut peritiam earum aliquam habet vel scientiam.* Andr. [k] Bas. in margine pro ἀκουστικὸν ponit ἀκουστιστικόν. τὶ post ἀκουστικὸν El. non habet.

nam qnæ ad stirpes pertinet, nulla ex parte rationis est particeps; ea autem, quæ ad concupiscendum, et omnino ad appetendum impellit, aliqua ex parte ratione prædita est, nempe qua ei paret atque obtemperat. Sic igitur dicere solemus nos patris et amicorum rationem habere, non quomodo rerum mathematicarum. Rationi autem quodammodo parere animi partem rationis expertem cum præceptio ac monitio, tum omnis reprehensio atque exhortatio indicat. Quod si fatendum est etiam hanc vim ratione esse præditam, erit et vis animi duplex rationis particeps: altera proprie, et ut habens eam in se ipsa, altera veluti filius, qui parentis dicto audiens est. Atque ex hac animi divisione ac differentia virtutis quoque distinctio partitioque nascitur: alias enim virtutes in cogitatione ac ratione positas esse dicimus; alias ad mores pertinere, quas morales appellamus: in ratione posita sunt sapientia, intelligentia, prudentia; in moribus liberalitas, temperantia: nam cum de moribus alicujus loquimur, non illum sapientem, aut intelligentem dicimus,

ἐπαινοῦμεν δὲ καὶ τὸν σοφὸν κατὰ τὴν ἕξιν· τῶν ἕξεων δὲ τὰς ἐπαινετὰς, ἀρετὰς λέγομεν.

sed clementem ac lenem, aut temperantem : laudamus autem sapientem quoque ex habitu ; at habitus eos, qui sunt laudabiles, virtutum nominibus nuncupamus.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Β'.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. II.

ΚΕΦ. α'.

ΔΙΤΤΗΣ δὲ τῆς ἀρετῆς οὔσης,[1] τῆς μὲν διανοητικῆς, τῆς δὲ ἠθικῆς· ἡ μὲν διανοητικὴ [a] τὸ πλεῖστον ἐκ διδασκαλίας ἔχει καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν· διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου· ἡ δ' ἠθικὴ ἐξ ἔθους περιγίνεται, ὅθεν καὶ

[1] Vide Eud. lib. ii. cap. 2. et Magn. Moral. lib. i. cap. 1. et 6. [a] Cur ait τὸ πλεῖστον? quia quidam, ingenii acumine præstantes, sine ope magistri, labore, et industria sua rerum cognitionem consequuntur; ut de se ait Phemius apud Homerum:

Αὐτοδίδακτος δ' εἰμί· Θεὸς δέ μοι ἐν φρεσὶν οἴμας
Παντοίας ἐνέφυσεν. Odyss. lib. xxii. v. 347. *Mur.*

Andronicus aliter hunc locum explicat: Καὶ ἡ μὲν διανοητικὴ ἔχει μὲν καὶ ἀπὸ τῆς φύσεως τὴν ἀρχὴν (δεκτικὸν γὰρ ὁ ἄνθρωπος ἐπιστήμης) καὶ ἀπὸ ἔθους αὔξησιν λαμβάνει τινά· τὸ δὲ πλέον ἀπὸ τῆς διδασκαλίας καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν ἔχει.

CAP. I.

CUM sint autem duo virtutum genera, unum earum, quæ a ratione et cogitatione proficiscuntur, alterum earum, quas morales a moribus appellamus: illæ quidem, quæ in ratione positæ sunt, magna ex parte a doctrina ortum et incrementum habent: itaque cum usum, tum spatium tempusque desiderant: morales autem ἐξ ἔθους, id est, ex more comparantur, a quo

τοὔνομα ἔσχηκε μικρὸν παρεκκλῖνον ἀπὸ τοῦ ἔθους. Ἐξ οὗ καὶ δῆλον, ὅτι οὐδὲ μία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεται· οὐδὲν γὰρ τῶν φύσει ὄντων ἄλλως ἐθίζεται· οἷον ὁ λίθος φύσει κάτω φερόμενος οὐκ ἂν ἐθισθείη ἄνω φέρεσθαι, οὐδ' ἂν μυριάκις αὐτὸν ἐθίζῃ τις, ἄνω ῥίπτων, οὐδὲ τὸ πῦρ κάτω· οὐδ' ἄλλο οὐδὲν τῶν ἄλλως πεφυκότων ἄλλως ἂν ἐθισθείη. Οὔτ' ἄρα φύσει, οὔτε παρὰ φύσιν ἐγγίνονται αἱ ἀρεταὶ, ἀλλὰ πεφυκόσι μὲν ἡμῖν δέξασθαι αὐτὰς, τελειουμένοις δὲ διὰ τοῦ ἔθους. Ἔτι, ὅσα μὲν φύσει ἡμῖν παραγίνεται, τὰς δυνάμεις [b] τὰς τούτων πρότερον κομιζόμεθα, ὕστερον δὲ τὰς ἐνεργείας ἀποδίδομεν· ὅπερ ἐπὶ τῶν αἰσθήσεων δῆλον· οὐ γὰρ ἐκ τοῦ πολλάκις ἰδεῖν, ἢ πολλάκις ἀκοῦσαι, τὰς αἰσθήσεις ἐλάβομεν, ἀλλ' ἀνάπαλιν, ἔχοντες ἐχρησάμεθα, οὐ χρησάμενοι ἔσχομεν· τὰς δ' ἀρετὰς λαμβάνομεν ἐνεργήσαντες πρότερον, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἃ γὰρ δεῖ μαθόντας ποιεῖν,

[b] Τὰς omittunt CCC. El. Bas. Cam. Ven. 1. et 2.

nomen quoque traxerunt, quod parum admodum ἀπὸ τοῦ ἔθους deflectit. Ex quo etiam perspicuum est nullam virtutem moralem insitam nobis esse a natura: nihil enim eorum, quæ natura constant, aliter atque natum est, assuefieri potest: ut lapis, qui deorsum fertur natura, nulla ratione assuefieri possit ut sursum moveatur, ne si decies millies quidem quis eum sursum jaciens assuefacere conetur; neque ignis unquam deorsum feratur: neque quicquam aliud eorum, quæ aliter a natura comparata sunt, aliter assuefieri possit. Ergo neque natura, neque præter naturam nobis ingenerantur virtutes, sed sic affectis, ut ad eas suscipiendas apti simus natura, perficiamur autem perpoliamurque more et consuetudine. Præterea, quæcunque nobis a natura obveniunt, eorum potestates prius accipimus, posterius functiones muneris obimus: quod in sensibus perspici potest: neque enim ex eo, quod aut sæpe aspeximus, aut sæpe audivimus, sensus adepti sumus, sed contra, cum sensus haberemus, eis usi sumus, non quia usi sumus, habuimus: at virtutes consequimur prius virtutis muneribus functi, quomodo et in cæteris fit artibus: nam, quæ nos oportet postea quam didicerimus effi-

ταῦτα ποιοῦντες μανθάνομεν· οἷον οἰκοδομοῦντες οἰκοδόμοι γίνονται, ϗ κιθαρίζοντες κιθαρισταί· οὕτω δὲ ϗ τὰ μὲν δίκαια πράττοντες δίκαιοι γινόμεθα, τὰ δὲ σώφρονα σώφρονες, τὰ δ' ἀνδρεῖα ἀνδρεῖοι. Μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πόλεσιν· [c] οἱ γὰρ νομοθέται τοὺς πολίτας ἐθίζοντες, ποιοῦσιν ἀγαθούς· καὶ τὸ μὲν βούλημα παντὸς νομοθέτου τοῦτ' ἔστιν· ὅσοι δὲ μὴ εὖ αὐτὸ ποιοῦσιν, ἁμαρτάνουσι· ϗ διαφέρει τούτῳ πολιτεία πολιτείας, ἀγαθὴ φαύλης. Ἔτι ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν ϗ γίνεται πᾶσα ἀρετὴ, ϗ φθείρεται· ὁμοίως δὲ ϗ τέχνη· ἐκ γὰρ τοῦ κιθαρίζειν ϗ οἱ ἀγαθοὶ ϗ οἱ κακοὶ γίνονται κιθαρισταί· ἀνάλογον δὲ ϗ οἱ οἰκοδόμοι, ϗ οἱ λοιποὶ πάντες· ἐκ μὲν γὰρ τοῦ εὖ οἰκοδομεῖν ἀγαθοὶ οἰκοδόμοι ἔσονται, ἐκ δὲ τοῦ κακῶς κακοί· εἰ γὰρ μὴ οὕτως εἶχεν, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος, ἀλλὰ πάντες ἂν ἐγίνοντο ἀγαθοὶ ἢ κακοί. Οὕτω δὴ ϗ ἐπὶ τῶν ἀρετῶν ἔχει· πράττοντες γὰρ τὰ ἐν τοῖς συναλλάγμασι τοῖς πρὸς τοὺς ἀνθρώπους, γινόμεθα οἱ

[c] *Συνελαύνουσι γὰρ ἀμοιβαῖς ἀγαθαῖς καὶ τιμωρίαις ἐπὶ τὰς ἀγαθὰς πράξεις, καὶ οὕτω σπουδαίους ἀποτελοῦσιν. Cum virtutum præmiis tum pœnis ad honestas actiones eos compellunt, atque honestos quoque reddunt.* Andr.

cere, ea cum efficimus, discimus: veluti ædificando fiunt ædium ædificandarum artifices, et fidibus canendo fidicines: itemque justis actionibus exercendis justi, temperantibus temperantes, fortibus fortes efficimur. Atque etiam hoc ipsum testantur ea, quæ in civitatibus factitari solent: legumlatores enim civibus ad virtutem assuefaciendis, eos bonos efficiunt: atque hæc quidem est omnium, qui leges ferunt, mens et voluntas: quotquot autem id minus recte faciunt, errant: atque hoc uno reipublicæ administrandæ forma altera ab altera differt, bona a vitiosa. Præterea ex iisdem rebus virtus omnis nascitur, per quas interit: similiter et ars; nam ex eo quod fidibus canunt, et boni et mali fidicines evadunt: eademque ratione ædificandi artifices, et reliqui opifices omnes: nam ex eo quod bene ædificant, boni sunt ædificandi artifices futuri, ex eo quod male, mali: quod nisi ita se res haberet, nec magistro, qui doceret, opus esset, et omnes boni aut mali artifices nascerentur. Eadem igitur et virtutum ratio est: agendis enim iis rebus, quæ ab hominibus inter ipsos contrahi so-

μὲν δίκαιοι, οἱ δὲ ἄδικοι· πράττοντες δὲ τὰ ἐν τοῖς δεινοῖς, καὶ ἐθιζόμενοι [d] ἢ φοβεῖσθαι ἢ θαῤῥεῖν, οἱ μὲν ἀνδρεῖοι, οἱ δὲ δειλοί. Ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ἐπιθυμίας ἔχει, καὶ τὰ περὶ τὰς ὀργάς· οἱ μὲν γὰρ σώφρονες καὶ πρᾷοι γίνονται, οἱ δὲ ἀκόλαστοι καὶ ὀργίλοι· οἱ μὲν ἐκ τοῦ οὑτωσὶ ἐν αὐτοῖς ἀναστρέφεσθαι, οἱ δὲ ἐκ τοῦ οὕτως. Καὶ ἑνὶ δὴ λόγῳ, ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίνονται· [e] διὸ δεῖ τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι· κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. Οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ· μᾶλλον δὲ τὸ πᾶν.

ΚΕΦ. β'.

ΕΠΕΙ οὖν ἡ παροῦσα πραγματεία οὐ θεωρίας ἕνεκά ἐστιν, ὥσπερ αἱ ἄλλαι· οὐ γὰρ ἵν' εἰδῶμεν τί ἐστιν ἡ ἀρετὴ, σκεπτόμεθα, ἀλλ' ἵν' ἀγαθοὶ γενώμεθα, ἐπεὶ οὐδὲν ἂν ἦν

[d] Ἢ abest a MSS. Cam. Bas. Andr. Ven. 1. et 2. [e] Lambini interpretatio hujus periodi confirmatur auctoritate Eustratii et Latinorum interpretum, ab his tamen dissentit Andronici παράφρασις, quæ ad Auctoris mentem propius accedere videtur. Διὰ τοῦτο οὐ δεῖ τῆς ἀγαθῆς ἕξεως ἐνέργειαν ἁπλῶς αἰτίαν λέγειν, ἀλλ' ἀγαθήν· οὐδὲ τῆς κακῆς ἁπλῶς ἐνέργειαν, ἀλλὰ κακήν· ὥσπερ ἐπὶ τῆς οἰκοδομικῆς· οὐ γὰρ τῆς ἀγαθῆς οἰκοδομικῆς ἕξεως τὴν οἰκοδομικὴν ἁπλῶς ἐνέργειαν αἰτίαν ἐροῦμεν, ἀλλὰ τὴν ἀγαθὴν οἰκοδομικὴν ἐνέργειαν τῆς ἀγαθῆς, καὶ τὴν φαύλην τῆς φαύλης αἰτίαν· καὶ ὅλως τοιάσδε τινὰς ἀποδοτέον ἑκάστῃ τῶν ἕξεων τὰς ἐνεργείας.

lent, alii justi, alii injusti efficimur: et cum ea, quæ in rebus horribilibus ac periculosis habentur, agimus ac subimus, assuescimusque ea aut timere, aut præsenti animo ferre, alias fortes, alias timidi evadimus. Similis est et cupiditatum, irarumque ratio: alii enim temperantes et lenes, alii intemperantes et iracundi efficiuntur: hi quia sic, illi quia aliter in iis versantur. Atque (ut uno verbo dicam) ex similibus munerum functionibus similes habitus oriuntur: itaque danda opera est, ut actiones nostras certo quodam modo conformemus: harum enim differentias habitus differentes ac dispares consequuntur. Non igitur parum refert, sed permultum, utrum sic, an sic a pueris assuescamus: immo vero totum in eo positum est.

CAP. II.

QUONIAM igitur negotium, quod est in manibus, non cognitionis causa susceptum est, ut alia; (non enim quid sit virtus quærimus ut cognoscamus, sed ut boni efficiamur; alioqui nihil

ὄφελος αὐτῆς· [f]ἀναγκαῖόν ἐστι σκέψασθαι τὰ περὶ τὰς πράξεις, πῶς πρακτέον αὐτάς· αὗται γάρ εἰσι κύριαι καὶ τοῦ ποιὰς γενέσθαι τὰς ἕξεις, καθάπερ εἰρήκαμεν. Τὸ μὲν οὖν κατὰ τὸν ὀρθὸν λόγον πράττειν κοινὸν, καὶ [g]ὑπερκείσθω· [h]ῥηθήσεται δ' ὕστερον περὶ αὐτοῦ, καὶ τί ἐστιν ὁ ὀρθὸς λόγος, καὶ πῶς ἔχει [i]πρὸς τὰς ἄλλας ἀρετάς. Ἐκεῖνο δὲ [k]προδιωμολογήσθω, ὅτι πᾶς ὁ περὶ τῶν πρακτῶν λόγος τύπῳ καὶ οὐκ ἀκριβῶς ὀφείλει λέγεσθαι, ὥσπερ καὶ κατ' ἀρχὰς εἴπομεν, ὅτι κατὰ τὴν ὕλην οἱ λόγοι ἀπαιτητέοι· τὰ δ' ἐν ταῖς πράξεσι καὶ [l]τὰ συμφέροντα οὐδὲν ἑστηκὸς ἔχει, ὥσπερ οὐδὲ [m]τὰ ὑγιεινά. Τοιούτου δ' ὄντος τοῦ καθόλου λόγου, ἔτι μᾶλλον ὁ περὶ τῶν καθ' ἕκαστα λόγος οὐκ ἔχει τἀκριβές· οὔτε γὰρ ὑπὸ

[f] Ἀναγκαῖον ἐπισκέψασθαι C C C. Ven. 1. 2. et Bas. [g] Ὑποκείσθω El. et Lamb. (qui vertit *positum sit*) Vet. Interp. et Argyr. [h] Sc. in libro vi. [i] Πρὸς τὰς ἀρετὰς multi libri veteres, quod probo; nomine enim τῶν ἀρετῶν hic αἱ ἠθικαὶ tantum intelliguntur. *Mur.* [k] Bas. legit προδιομολογείσθω (et El.) præs. tempore; at Cam. προσδιωμολογείσθω habet: mendose, pro προσδιομολογείσθω, vel προσδιωμολογήσθω. *Sylb.* [l] Τὰ ἐν αὐταῖς συμφέροντα, *quæ ipsis actionibus competunt.* Andr. Οὔτε γὰρ τὰ συμφέροντα, περὶ ἃ αἱ πράξεις. *Eustrat.* [m] Νῦν μὲν τοῦτο ὑγιεινὸν, νῦν δὲ τοὐναντίον ἅπαν· ταῖς γὰρ διαθέσεσι τῶν σωμάτων, καὶ ταῖς τοῦ καιροῦ μεταβολαῖς συμμεταβάλλουσι. *Nunc enim hoc, nunc illud rursus est salubre; cum constitutionibus enim corporum, et mutatione temporis mutantur hæc quoque.* Andr.

ex ea utilitatis caperemus;) quemadmodum actiones obeundæ sint considerandum est: in his enim situm est, quemadmodum diximus, ut habitus sic vel sic conformentur. Atque hoc quidem commune est, rectæ rationi convenienter agere oportere, et in præsentia differamus: de hoc enim posterius dicemus; tum etiam quid sit recta ratio, et quomodo ad reliquas virtutes affecta sit, exponemus. Illud autem prius conveniat,* et confessum sit, omnem, quæ de rebus in agendo positis habetur, orationem, rudiore quadam forma, et adumbrata, non exquisita, neque accuratius expressa, constare oportere, ut et initio diximus, quoniam sermones materiæ subjectæ convenientes sunt postulandi: atqui quæ in actionibus versantur, quæque ad eas conducunt, nihil firmitatis nullamque certam sedem habent, quemadmodum neque res salubres. Cum sit autem ejusmodi ea, quæ ad genus universum pertinet, oratio, tum multo magis tenuitate subtili ac limata caret is, qui de rebus singularibus habetur, sermo: hæ enim neque

τέχνην, οὔθ' ὑπὸ παραγγελίαν οὐδεμίαν [n] πίπτει. Δεῖ δ' αὐτοὺς ἀεὶ τοὺς πράττοντας τὰ πρὸς τὸν καιρὸν σκοπεῖν, ὥσπερ καὶ ἐπὶ τῆς ἰατρικῆς ἔχει καὶ τῆς κυβερνητικῆς. Ἀλλὰ καίπερ ὄντος τοιούτου τοῦ παρόντος λόγου, πειρατέον βοηθεῖν. [1] Πρῶτον οὖν τοῦτο θεωρητέον, ὅτι τὰ τοιαῦτα πέφυκεν ὑπὸ ἐνδείας καὶ ὑπερβολῆς [o] φθείρεσθαι· δεῖ γὰρ ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς μαρτυρίοις χρῆσθαι· ὥσπερ ἐπὶ τῆς ἰσχύος καὶ τῆς ὑγιείας ὁρῶμεν· τά τε γὰρ ὑπερβάλλοντα γυμνάσια, καὶ τὰ ἐλλείποντα φθείρει τὴν ἰσχύν. Ὁμοίως δὲ καὶ τὰ ποτὰ, καὶ τὰ σιτία πλείω καὶ ἐλάττω γινόμενα φθείρει τὴν ὑγίειαν· τὰ δὲ σύμμετρα καὶ ποιεῖ καὶ αὔξει καὶ σώζει. Οὕτως οὖν καὶ ἐπὶ σωφροσύνης καὶ ἀνδρίας ἔχει, καὶ τῶν ἄλλων ἀρετῶν· ὅ, τε γὰρ πάντα φεύγων καὶ φοβούμενος, καὶ μηδὲν ὑπομένων, δειλὸς γίνεται· ὅ, τε μηδὲν ὅλως φοβούμενος, ἀλλὰ πρὸς πάντα βα-

[n] Ὑποπίπτει Ven. 1. 2. et Bas. quod aliquanto venustius videtur. [1] Magn. Moral. lib. i. cap. 5. Eud. lib. ii. cap. 3. [o] Meliore ordine leguntur hæc in quibusdam antiquis codd. et constat Argyropylum ita legisse: φθείρεσθαι, ὥσπερ ἐπὶ τῆς ἰσχύος, καὶ τῆς ὑγιείας ὁρῶμεν· δεῖ γὰρ &c. (in hoc ordine occurrunt apud Andronicum). *Mur.*

sub artem, neque sub præceptionem ullam cadunt. Eos autem, qui in rebus agendis versantur, semper oportet tempus intueri atque observare, quemadmodum in arte medendi et gubernandi fieri videmus. Veruntamen etiamsi talis sit hæc, quam instituimus, oratio, danda tamen opera est, ut huic incommodo subveniamus. Hoc igitur in primis animadvertendum ac sciendum est, hæc talia ab eo, quod parum, et ab eo, quod nimium est, corrumpi ac perimi solere natura, quemadmodum in viribus corporis et valetudine fieri videmus; (claris enim et perspicuis exemplis ad ea, quæ sunt obscura, declaranda, testimonii loco utendum est:) nam et immoderatæ, et pauciores aut remissiores quam par sit, exercitationes vires minuunt et corrumpunt. Itemque poculenta et esculenta æque copiosiora ac parciora valetudinem lædunt ac perdunt: at vero moderata efficiunt, augent, ac tuentur. Eodem igitur modo se res habet in temperantia quoque et fortitudine, aliisque virtutibus: nam ut qui fugit et extimescit omnia, nihilque subit ac perfert, is timidus efficitur: sic qui a nullo omnino periculo deterretur, sed ad omnia ruit, au-

δίζων, θρασύς. Ὁμοίως δὲ καὶ ὁ μὲν πάσης ἡδονῆς ἀπολαύων, καὶ μηδεμιᾶς ἀπεχόμενος, ἀκόλαστος· ὁ δὲ πάσας φεύγων, ὥσπερ οἱ ἄγροικοι, ἀναίσθητός τις· φθείρεται γὰρ ἡ σωφροσύνη καὶ ἡ ἀνδρία ὑπὸ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ὑπὸ δὲ τῆς μεσότητος σώζεται. Ἀλλ' οὐ μόνον αἱ γενέσεις, καὶ αἱ αὐξήσεις, καὶ αἱ φθοραὶ, ἐκ τῶν αὐτῶν καὶ ὑπὸ τῶν αὐτῶν γίνονται; ἀλλὰ καὶ αἱ [p] ἐνέργειαι ἐν τοῖς αὐτοῖς ἔσονται· καὶ γὰρ ἐπὶ τῶν ἄλλων τῶν φανερωτέρων οὕτως ἔχει· οἷον ἐπὶ τῆς ἰσχύος· γίνεται γὰρ καὶ ἐκ τοῦ πολλὴν τροφὴν λαμβάνειν, καὶ πολλοὺς πόνους ὑπομένειν, καὶ μάλιστα δύναται ταῦτα ποιεῖν ὁ ἰσχυρός. Οὕτω δ' ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν· ἔκ τε γὰρ τοῦ ἀπέχεσθαι τῶν ἡδονῶν γινόμεθα σώφρονες; καὶ γενόμενοι μάλιστα δυνάμεθα ἀπέχεσθαι αὐτῶν. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀνδρίας· ἐθιζόμενοι γὰρ καταφρονεῖν τῶν φοβερῶν, καὶ ὑπομένειν αὐτὰ, γινόμεθα ἀνδρεῖοι, καὶ [q] γινόμενοι μάλιστα δυνησόμεθα ὑπομένειν τὰ φοβερά.

[p] *Ἀλλὰ καὶ αἱ μετὰ τὰς ἕξεις τῶν ἀρετῶν ἐνέργειαι, ὧν αἴτιαι εἰσὶν αἱ ἕξεις, ὡσαύτως ἔχουσι. Sed et eæ, quæ habitum sequuntur, et quarum causa est habitus, eodem modo se habent actionum functiones.* Andr. [q] Γενόμενοι Bas. et Andr. in præt. aor.

dax. Itemque et qui omni genere voluptatis perfruitur, nullaque sese abstinet, intemperans: et qui ab omnibus refugit, quemadmodum solent homines agrestes, is veluti stipes quidam et sensus expers evadit: nam ut temperantiam et fortitudinem perimit nimium et parum, sic servat mediocritas. Neque vero solum ortus et incrementa et interitus habituum ex iisdem, et ab iisdem proficiscuntur, sed etiam muneris functiones in iisdem versari reperientur; nam in aliis quoque, quæ manifestiora sunt, ita usu venire consuevit: veluti in viribus corporis; ut enim ex eo nascuntur, quod quis multum cibum capiat, multosque labores excipiat ac perferat; sic hoc utrumque maxime potest is efficere, qui viribus corporis pollet. Idem autem de virtutibus sentiendum: nam quemadmodum prætermittendis et fugiendis voluptatibus temperantes efficimur, sic temperantes effecti voluptates maxime possumus aspernari. Similis et fortitudinis ratio est; nam et assuescendo ea, quæ terribilia sunt, pro nihilo putare, eaque sufferre ac perpeti, fortes evadimus, et fortitudinem consecuti maxime poterimus ea, quæ terrorem afferunt, subire ac perferre.

E 4

ΚΕΦ. γ'.

ΣΗΜΕΙΟΝ δὲ [r]δεῖ ποιεῖσθαι τῶν ἕξεων τὴν ἐπιγινομένην ἡδονὴν ἢ λύπην τοῖς ἔργοις· ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν, καὶ αὐτῷ τούτῳ χαίρων, σώφρων· ὁ δὲ ἀχθόμενος, ἀκόλαστος· καὶ ὁ μὲν ὑπομένων τὰ δεινὰ καὶ χαίρων, ἢ μὴ λυπούμενός γε, ἀνδρεῖος· ὁ δὲ λυπούμενος, δειλός· [1]περὶ ἡδονὰς γὰρ καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή· διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν, διὰ δὲ τὴν λύπην [s]τῶν καλῶν ἀπεχόμεθα. Διὸ δεῖ ἦχθαί πως εὐθὺς ἐκ νέων, ὡς ὁ Πλάτων φησὶν, ὥστε χαίρειν τε καὶ λυπεῖσθαι οἷς δεῖ· ἡ γὰρ ὀρθὴ παιδεία αὕτη ἐστίν. Ἔτι δ' εἰ ἀρεταί εἰσι περὶ πράξεις καὶ πάθη, παντὶ δὲ πάθει καὶ πάσῃ πράξει ἕπεται ἡδονὴ καὶ λύπη, [t]καὶ διὰ τοῦτ' ἂν εἴη ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας. [2]Μηνύουσι δὲ καὶ αἱ κολάσεις γινόμεναι διὰ τούτων· [u]ἰατρεῖαι

[r] Δεῖ Casaub. non legit, qui dicit vulgarem lectionem δὲ δεῖ, quam pleræque Editt. et nostri MSS. agnoscunt, esse contra suos codd. et Aristot. loquendi consuetudinem. [1] Magn. Moral. lib. i. cap. 6. [s] Τῶν κακῶν Ven. 1. et 2. [t] Καὶ abest ab El. [2] Eud. lib. ii. cap. 1. [u] Αἱ γὰρ τοιαῦται κολάσεις πρὸς

CAP. III.

QUALES autem sint habitus, voluptas quæ facta subsequitur, aut dolor, indicio esse debet: nam qui se a corporis voluptatibus abstinet, hocque ipso delectatur, is temperans; qui molestia ex eo afficitur, is est intemperans: et qui res graves et acerbas perfert, ex eoque lætitiam capit, aut certe nulla molestia afficitur, fortis; qui molestia afficitur, timidus habendus est: virtus enim moralis omnis in doloribus ac voluptatibus versatur: nam et voluptatis illecebris ad turpes atque improbas actiones invitamur, et doloris aculeis ab honestis avocamur ac deterremur. Itaque statim a pueris (ut ait Plato) ita nos oportet quodammodo esse educatos et institutos, ut, quibus rebus oportet, iis rebus et lætemur et doleamus: hæc est enim recta institutio. Præterea, si in actionibus et affectibus virtutes sunt occupatæ, omnem autem affectum omnemque actionem dolor sequitur et voluptas, ob hanc quoque causam virtus in voluptatibus et doloribus versabitur. Atque hoc etiam supplicia indicant, quæ doloribus inferendis constituuntur in malefi-

γὰρ τινές εἰσιν· αἱ δὲ ἰατρεῖαι διὰ τῶν ἐναντίων πεφύκασι γίνεσθαι. Ἔτι, ὡς καὶ πρότερον εἴπομεν, πᾶσα ψυχῆς ἕξις, ὑφ᾽ οἵων πέφυκε γίνεσθαι χείρων καὶ βελτίων, πρὸς ταῦτα καὶ περὶ ταῦτα τὴν φύσιν ἔχει· δι᾽ ἡδονὰς δὲ καὶ λύπας φαῦλαι γίνονται, τῷ διώκειν ταύτας καὶ φεύγειν, ἢ ἃς μὴ δεῖ, ἢ ὅτε οὐ δεῖ, ἢ ὡς οὐ δεῖ, ἢ ὁσαχῶς ἄλλως ὑπὸ τοῦ λόγου διορίζεται τὰ τοιαῦτα. [x]Διὸ καὶ ὁρίζονται τὰς ἀρετὰς ἀπαθείας τινὰς καὶ ἠρεμίας· οὐκ εὖ δέ, ὅτι ἁπλῶς λέγουσιν, [y]ἀλλ᾽ οὐχ ὡς δεῖ, καὶ ὡς οὐ δεῖ, καὶ ὅτε, καὶ ὅσα ἄλλα προστίθεται. [z]Ὑπόκειται ἄρα ἡ ἀρετὴ εἶναι ἡ τοιαύτη περὶ ἡδονὰς καὶ λύπας, τῶν βελτίστων πρακτική· ἡ δὲ κακία τοὐναντίον. Γένοιτο δ᾽ ἂν

τοὺς ποιοῦντας τὰ πολιτικὰ ἰατρειῶν ἔχουσι λόγον· καὶ καθάπερ ἐκείναις ἐναντίαι αἱ νόσοι, ἃς θεραπεύουσι, καὶ ἐὰν ἴδωμεν ἰατρὸν ψυχρὰν προσάγοντα θεραπείαν, γινώσκομεν εὐθὺς τὴν νόσον ἀπὸ θέρμης συστῆναι, οὕτω καὶ ἀπὸ τῶν κολάσεων ὀδυνηρῶν οὐσῶν γινώσκομεν, ὅτι θεραπευόμεναι κακίαι ἀπὸ ἡδονῆς γίνονται. *Quippe pœnæ ejusmodi ægros in republica curant, ac medicinæ loco sunt: ac quemadmodum cum medicina pugnant morbi, quos medicina curat, et cum frigidam adhiberi a medico videmus medicinam, statim judicamus morbum a calore esse; ita ex pœnis, quæ dolorem infligunt, judicamus illud quod curatur malum a voluptate esse.* Andr. [x] Διὸ καὶ ὁρίζονται &c. Muretus existimat hoc esse argumentum a præcedenti diversum: quem videas. [y] Ἀλλ᾽ οὐχ ὡς οὐ δεῖ Vet. Interp. legit. Aretinus Ἀλλ᾽ οὐχ ὡς δεῖ, καὶ ὅτε: eodem modo Argyr. et Felicianus: cæteri vulgatam scripturam Græcam secuti sunt, quam depravatam esse arbitror: superiorum utrumlibet ferri posse crediderim. *Mur.* [z] Ὑπόκειται ἄρα ἡ ἀρετὴ εἶναι ἡ ἕξις ἡ οὕτως ἔχουσα περὶ ἡδονὰς καὶ λύπας, καθὼς προδιωρισάμεθα, τῶν βελτίστων πρακτική. *Quare hoc manet certe, virtutem esse habitum, quæ circa voluptates doloresque eo modo se habet, quemadmodum diximus, et quæ optima sunt agit.* Andr. Προσθεὶς τῇ ἀρετῇ τὸ ἡ τοιαύτη, ὑπὲρ τοῦ δηλῶσαι τὴν ἠθικήν. *Eustrat.*

cos; curationes enim quædam sunt: at curationes ex contrariis rebus adhiberi solent natura. Præterea, quemadmodum supra diximus, quibus rebus omnis animi habitus deterior ac melior fit natura, ad eas res ejus natura pertinet, et in iis versatur: at propter voluptates ac dolores vitiosi habitus in nobis innascuntur, quia et illas consectamur, et hos fugimus, aut quas et quos non oportet, aut quando, aut quomodo non oportet, aut quot modis aliis talia a ratione distinguuntur. Itaque et definiunt nonnulli virtutes vacuitates quasdam affectuum, animorumque status quietos ac placatos: veruntamen id eo minus recte, quod simpliciter et absolute dicunt, nec adjungunt quomodo, et quo tempore oportet, et non oportet, et cætera, quæ addi consueverunt. Hoc ergo tanquam concessum ponitur, virtutem ita (ut diximus) in voluptatibus ac doloribus versari et ad res optimas agendas idoneam esse: vitium

ἡμῖν καὶ ἐκ τούτων φανερὸν ὅτι περὶ τῶν αὐτῶν· τριῶν γὰρ ὄντων τῶν εἰς τὰς αἱρέσεις, καὶ τριῶν ὄντων τῶν εἰς τὰς φυγὰς, καλοῦ, συμφέροντος, ἡδέος, καὶ τριῶν τῶν ἐναντίων, αἰσχροῦ, [a]ἀσυμφόρου, λυπηροῦ· περὶ πάντα μὲν ταῦτα ὁ ἀγαθὸς κατορθωτικός ἐστιν, ὁ δὲ κακὸς ἁμαρτητικὸς, μάλιστα δὲ περὶ τὴν ἡδονήν· κοινή τε γὰρ αὕτη τοῖς ζώοις, [b]καὶ πᾶσι τοῖς ὑπὸ τὴν αἵρεσιν παρακολουθεῖ· καὶ γὰρ τὸ καλὸν καὶ συμφέρον ἡδὺ φαίνεται. Ἔτι δ' ἐκ νηπίου πᾶσιν ἡμῖν συντέθραπται· διὸ καὶ χαλεπὸν ἀποτρίψασθαι τοῦτο τὸ πάθος ἐγκεχρωσμένον τῷ βίῳ. Κανονίζομεν δὲ καὶ τὰς πράξεις, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον, ἡδονῇ καὶ λύπῃ. Διὰ τοῦτ' οὖν ἀναγκαῖον εἶναι περὶ ταῦτα [c]τὴν πᾶσαν πραγματείαν· οὐ γὰρ μικρὸν εἰς τὰς πράξεις εὖ ἢ κακῶς χαίρειν ἢ λυπεῖσθαι. Ἔτι δὲ χαλεπώτερον ἡδονῇ μάχεσθαι, ἢ θυμῷ, [d]καθάπερ φησὶν Ἡρά-

[a] Pro ἀσυμφόρου El. βλαβεροῦ legit. [b] Ἃ γὰρ αἱρούμεθα, τούτοις πᾶσι ἡδόμεθα, *quæ namque eligimus, iis omnibus delectamur.* Andr. [c] Τὴν παροῦσαν πραγματείαν Ven. 1. 2. et Bas. quod melius videtur. [d] Hoc Heracliti dictum commemorat Aristoteles in Eud. lib. ii. cap. 7. ἔοικε δὲ καὶ Ἡράκλειτος λέγειν εἰς τὴν ἰσχὺν τοῦ θυμοῦ βλέψας, ὅτι λυπηρὰ ἡ κώλυσις αὐτοῦ· χαλεπὸν γάρ φησι θυμῷ μάχεσθαι· ψυχῆς γὰρ ὠνεῖται. et Polit. lib. v. cap. 11. καθάπερ καὶ Ἡράκλειτος εἶπε, χαλεπὸν φάσκων εἶναι θυμῷ μάχεσθαι· ψυχῆς γὰρ ὠνεῖσθαι: in quibus locis cum de volup-

autem contra. Atque hæc eadem nobis esse poterunt etiam ex his, quæ jam dicemus, planiora: nam cum tria sint, quæ sequi et expetere solemus, honestum, utile, jucundum; et tria contraria, quæ fugimus, turpe, inutile, molestum: in his quidem omnibus vir bonus recte facit, improbus et vitiosus offendit ac labitur, maxime vero in voluptatibus: omnium enim animantium communis est voluptas, eorumque omnium, quæ sub electionem veniunt, assidua comes est: nam quicquid honestum, quicquid utile est, id omne jucundum videtur. Præterea vero a teneris unguiculis una nobiscum educata est; atque idcirco hunc affectum animi, quo vita nostra tincta et penitus imbuta est, eluere atque abstergere difficile est. Jam vero nostras actiones voluptatis ac doloris regula dirigimus, alii magis, alii minus. Itaque necesse est totum hoc, quod a nobis susceptum est, negotium, in his rebus versari: non enim parum momenti ad actiones affert, recte aut perperam lætari vel dolere. Præterea difficilius est voluptati, quam,

κλειτος· [e] περὶ δὲ τὸ χαλεπώτερον ἀεὶ καὶ τέχνη γίνεται καὶ ἀρετή· καὶ γὰρ τὸ εὖ βέλτιον ἐν τούτῳ. Ὥστε καὶ διὰ τοῦτο περὶ ἡδονὰς καὶ λύπας πᾶσα ἡ πραγματεία καὶ τῇ [f] ἀρετῇ, καὶ τῇ πολιτικῇ· ὁ μὲν γὰρ εὖ τούτοις χρώμενος ἀγαθὸς ἔσται, ὁ δὲ κακῶς κακός. Ὅτι μὲν οὖν ἐστιν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας, καὶ ὅτι ἐξ ὧν γίνεται, ὑπὸ τούτων καὶ αὔξεται καὶ φθείρεται μὴ ὡσαύτως γινομένων· καὶ ὅτι ἐξ ὧν ἐγένετο, περὶ ταῦτα καὶ ἐνεργεῖ, εἰρήσθω.

ΚΕΦ. δ'.

ΑΠΟΡΗΣΕΙΕ δ' ἄν τις, πῶς λέγομεν ὅτι δεῖ τὰ μὲν δίκαια πράττοντας δικαίους γίνεσθαι, τὰ δὲ σώφρονα σώφρονας· εἰ γὰρ πράττουσι τὰ δίκαια καὶ τὰ σώφρονα, ἤδη εἰσὶ δίκαιοι καὶ σώφρονες· ὥσπερ εἰ τὰ γραμματικὰ καὶ μουσικὰ, γραμματικοὶ καὶ μουσικοί. Ἢ οὐδὲ ἐπὶ τῶν τεχνῶν

cate nulla fiat mentio, puto quod hic καθάπερ φησὶν Ἡράκλειτος pertinent solummodo ad ἢ θυμῷ, et quod Aristot. hoc dictum ad suam sententiam accommodavit hoc modo: *Heraclitus dicebat difficile esse cum ira pugnare, ego autem aio difficilius esse cum voluptate pugnare.* [e] Πρὸς γὰρ τὰ ῥᾴδια οὐδεμία χρεία πολυχρονίου ἴθους, ἢ μεθόδου τεχνικῆς. *Andr.* [f] Pro ἀρετῇ scribitur ἠθικῇ in N C. Ven. 1. et Bas. ἐν ἠθικῇ Ven. 2.

ut ait Heraclitus, iracundiæ obsistere: at ut quidque difficillimum est, ita in eo maxime ars et virtus occupata est: in hoc enim melior est bonitas effectionis et actionis. Itaque etiam propter hanc causam negotium omne disputationis moralis, prudentiæque civilis in doloribus ac voluptatibus elaboratur: nam qui in his recte se gerit, is vir bonus; qui secus, is improbus futurus est. Virtutem igitur in voluptatibus ac doloribus occupatam esse, et quibus ex rebus gignitur, ab eisdem eam etiam augeri, et, cum eodem modo non efficiuntur, perimi: a quibus denique rebus ortum habuit, in eis quoque suo munere fungi, ita sit a nobis explicatum.

CAP. IV.

SED quærat aliquis, quid sibi velit hoc, quod dicimus, justitiæ muneribus fungendis justos, temperantiæ temperantes effici oportere: si enim justas actiones obeunt, jam sunt justi, si temperatas temperantes: ut si ea quæ grammaticorum musicorumque sunt propria officia explent, grammatici et musici sint necesse est. An ne in ar-

οὕτως ἔχει; ἐνδέχεται γὰρ γραμματικόν τι ποιῆσαι καὶ ἀπὸ τύχης, καὶ ἄλλου ὑποθεμένου. Τότε οὖν ἔσται γραμματικὸς, ἐὰν καὶ γραμματικόν τι ποιήσῃ, καὶ γραμματικῶς, τοῦτο δ' ἐστὶ τὸ κατὰ τὴν ἐν αὐτῷ γραμματικήν. Ἔτι οὐδὲ ὅμοιόν ἐστιν ἐπί τε τῶν τεχνῶν, καὶ τῶν ἀρετῶν· τὰ μὲν γὰρ ὑπὸ τῶν τεχνῶν γινόμενα τὸ εὖ ἔχει ἐν ἑαυτοῖς. Ἀρκεῖ οὖν ταῦτά πως ἔχοντα γενέσθαι· τὰ δὲ κατὰ τὰς ἀρετὰς γινόμενα, οὐκ ἐὰν αὐτά πως ἔχῃ δικαίως ἢ σωφρόνως πράττεται, ἀλλὰ καὶ ἐὰν ὁ πράττων πως ἔχων πράττῃ· πρῶτον μὲν ἐὰν εἰδὼς, ἔπειτ' ἐὰν προαιρούμενος, ϗ προαιρούμενος δι' αὐτὰ, τὸ δὲ τρίτον ϗ ἐὰν βεβαίως ϗ ἀμετακινήτως ἔχων πράττῃ. Ταῦτα δὲ πρὸς μὲν τὸ τὰς ἄλλας [g]τέχνας ἔχειν οὐ συναριθμεῖται, πλὴν αὐτὸ τὸ εἰδέναι· [h]πρὸς δὲ τὸ τὰς ἀρετὰς, τὸ μὲν εἰδέναι μικρὸν ἢ οὐδὲν ἰσχύει, τὰ δ' ἄλλα οὐ μικρὸν, ἀλλὰ τὸ πᾶν δύναται· ἅπερ ϗ ἐκ τοῦ πολλάκις πράττειν τὰ δίκαια ϗ τὰ σώφρονα

g Ἕξεις Argyr. ex glossa, ut videtur. *Casaub.* h Καὶ γὰρ ἐνδέχεται μηδὲν ἀκριβὲς περὶ ἀρετῆς εἰπεῖν εἰδότα σπουδαῖον εἶναι. *Etenim fieri potest, ut qui accuratum nihil de virtute possit dicere, tamen vir bonus sit.* Andr.

tibus quidem ita est? fieri enim potest, ut quispiam aliquid grammaticum efficiat et fortuito, et altero præeunte ac suggerente. Ergo ita denique grammaticus erit, si et grammatici munus aliquod obierit, et grammatice, hoc est, ex arte Grammatica, qua præditus est. Præterea ne artium quidem ac virtutum similis ratio est: nam quæ ab artibus gignuntur, artis perfectionem in se ipsis inclusam habent. Satis est igitur ea certo quodam modo conformata effici: at quæ ex virtutibus aguntur, non si ea cujusdammodi sint, juste, aut temperanter aguntur, sed si is quoque qui agit, quodammodo conformatus agat: ac primum quidem si sciens, deinde si consilio capto, et consilio propter ea ipsa capto, postremo si firma, perpetua et constanti voluntate agat. Hæc autem in artibus quidem acquirendis non opus adhiberi, sed scire satis est: ad virtutes vero comparandas cum scientia parum aut nihil valeat, tum cætera non parvam vim habent, sed multo maximam, atque adeo omnem: quæ quidem ex iteratis atque identidem repetitis justis ac temperatis actionibus quæruntur.

περιγίνεται. Τὰ μὲν οὖν πράγματα δίκαια καὶ σώφρονα λέγεται, ὅταν ᾖ τοιαῦτα, οἷα ἂν ὁ δίκαιος ἢ σώφρων πράξειε· δίκαιος δὲ καὶ σώφρων ἐστὶν, οὐχ ὁ ταῦτα πράττων, ἀλλὰ καὶ ὁ οὕτω πράττων, ὡς οἱ δίκαιοι καὶ οἱ σώφρονες πράττουσιν. Εὖ οὖν λέγεται, ὅτι ἐκ τοῦ τὰ δίκαια πράττειν ὁ δίκαιος γίνεται, καὶ ἐκ τοῦ τὰ σώφρονα ὁ σώφρων, ἐκ δὲ τοῦ μὴ πράττειν ταῦτα οὐδεὶς ἂν οὐδὲ μελλήσειε γενέσθαι ἀγαθός. Ἀλλ' οἱ πολλοὶ ταῦτα μὲν οὐ πράττουσιν, ἐπὶ δὲ τὸν λόγον καταφεύγοντες οἴονται φιλοσοφεῖν, [i] καὶ οὕτως ἔσεσθαι σπουδαῖοι· ὅμοιόν τι ποιοῦντες τοῖς κάμνουσιν, οἳ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπιμελῶς, ποιοῦσι δ' οὐθὲν τῶν προσταττομένων. Ὥσπερ οὖν οὐδ' ἐκεῖνοι εὖ ἕξουσι τὸ σῶμα, οὕτω θεραπευόμενοι· οὐδ' οὗτοι τὴν ψυχὴν, οὕτω φιλοσοφοῦντες.

ΚΕΦ. ε'.

ΜΕΤΑ [k] δὲ ταῦτα τί ἐστιν ἡ ἀρετὴ σκεπτέον. Ἐπεὶ οὖν τὰ ἐν τῇ ψυχῇ γινόμενα [l] τρία ἐστὶ, [l] πάθη, δυνάμεις, ἕξεις,

[i] Οἴονται σπουδαῖοι εἶναι, ὅτι μόνον περὶ τῆς ἀρετῆς ἀκριβῶς γινώσκουσιν εἰπεῖν. *Boni sibi viri videntur, si modo de virtute accurate possint disserere.* Andr. [k] Μετὰ ταῦτα desunt, et sequentia scribuntur hoc modo: τί δ' ἐστὶν ἡ ἀρετὴ ἑξῆς σκεπτέον, in N C. et El. et μετὰ ταῦτα et ἑξῆς C C C. habet. [l] Magn. Moral. lib. i. cap. 3. Eud. lib. ii. cap. 2. [l] Πάθη, quam vocem *perturbationes* recte dici in III.

Res igitur justæ ac temperatæ dicuntur, cum tales sunt, quales vir justus ac temperans egerit: justus autem et temperans est, non qui has res gerit tantum, sed qui ita gerit, ut justi et temperantes homines solent. Recte igitur dicitur justis ac temperatis actionibus justos ac temperantes effici, his autem neglectis, neminem unquam virum bonum futurum. Sed plerique omnes cum hæc agere non curent, ad verba confugientes philosophari se arbitrantur, itaque sperant futurum ut boni sint: non multum ab ægris differentes, qui medicos studiose illi quidem ac diligenter audiunt, sed nihil eorum, quæ ab illis præcipiuntur, facere volunt. Quemadmodum igitur illis nunquam corpus erit bene constitutum, dum ita curantur: sic nec his animus, dum hoc modo philosophantur.

CAP. V.

SEQUITUR jam deinceps ut quid sit virtus videamus. Quoniam igitur quæ in animo ingenerantur, tria sunt,

τούτων τι ἂν εἴη ἡ ἀρετή. Λέγω δὲ πάθη μὲν, ἐπιθυμίαν, [m] ὀργὴν, φόβον, θράσος, φθόνον, χαρὰν, φιλίαν, μῖσος, πόθον, ζῆλον, [n] ἔλεον, ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη· δυνάμεις δὲ, καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα, οἷον καθ' ἃς δυνατοὶ ὀργισθῆναι, ἢ λυπηθῆναι, ἢ ἐλεῆσαι· ἕξεις δὲ, καθ' ἃς πρὸς τὰ πάθη ἔχομεν εὖ ἢ κακῶς· οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν σφοδρῶς ἢ ἀνειμένως, κακῶς ἔχομεν· εἰ δὲ μέσως, εὖ· ὁμοίως δὲ καὶ πρὸς τὰ ἄλλα. Πάθη μὲν οὖν οὐκ εἰσιν οὔθ' αἱ ἀρεταὶ, οὔθ' αἱ κακίαι· ὅτι οὐ λεγόμεθα κατὰ τὰ πάθη σπουδαῖοι ἢ φαῦλοι, κατὰ δὲ τὰς ἀρετὰς ἢ κακίας λεγόμεθα· καὶ ὅτι κατὰ μὲν τὰ πάθη οὔτ' ἐπαινούμεθα, οὔτε ψεγόμεθα· οὐ γὰρ ἐπαινεῖται ὁ φοβούμενος, οὐδὲ ὁ ὀργιζόμενος· οὐδὲ ψέγεται ὁ ἁπλῶς ὀργιζόμενος, ἀλλ' ὁ πῶς· κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας ἐπαινούμεθα ἢ ψεγόμεθα. Ἔτι,

Tusc. contendit Cicero, *affectus* nominavimus; quia propius ad Aristotelis sententiam, qui τὰ πάθη utilia esse et ideo non eradicanda, sed ad mediocritatem perducenda dicit, accedere videtur. *Perturbatio* quidem est vox ad Stoicorum sententiam, quam tuetur Cicero, confirmandam aptissima: nos vero non τὰ πάθη impugnamus, sed Philosophum interpretamur. Vide Muretum. [m] Θυμὸν post ὀργὴν scribitur in C C C. Ven. 1. et Bas. [n] Ἔλεος neutro genere legit Cam.

affectus, potestates, habitus, necessario ex his tribus unum aliquod erit virtus. Affectus autem dico cupiditatem, iram, timorem, audaciam, invidentiam, gaudium, amicitiam, odium, desiderium, æmulationem, misericordiam, et omnino ea omnia, quæ sequitur voluptas aut dolor: potestates autem, quibus ad hos affectus propensi dicimur, ut quarum impulsu vel ad irascendum, vel ad dolendum, vel ad miserendum proclives sumus: habitus vero sunt, quibus aut bene aut male adversus affectus nosmet habemus: veluti si ita affecti simus, ut vehementius, aut remissius irascamur, male affecti sumus: si ut intra modum, bene: itemque in cæteris. Neque igitur virtutes neque vitia affectus sunt: primum quia ex affectibus nec boni, nec mali dicimur, ex virtutibus autem aut vitiis dicimur: deinde quoniam affectus nobis nec laudi dantur, nec vitio; neque enim qui timet, laudatur, neque qui irascitur; neque qui simpliciter irascitur, vituperatur, sed qui certo modo: propter virtutes vero et vitia laudamur, aut vituperamur.

ὀργιζόμεθα μὲν καὶ φοβούμεθα ἀπροαιρέτως· αἱ δὲ ἀρεταὶ προαιρέσεις τινὲς, ἢ οὐκ ἄνευ προαιρέσεως. Πρὸς δὲ τούτοις, κατὰ μὲν τὰ πάθη κινεῖσθαι λεγόμεθα, κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας οὐ κινεῖσθαι, ἀλλὰ διακεῖσθαί πως. Διὰ ταῦτα δὲ οὐδὲ δυνάμεις εἰσίν· οὔτε γὰρ ἀγαθοὶ λεγόμεθα τῷ δύνασθαι [o] πάσχειν ἁπλῶς, οὔτε κακοὶ, οὔτ' ἐπαινούμεθα, οὔτε ψεγόμεθα. Καὶ ἔτι, δυνατοὶ μέν ἐσμεν φύσει, ἀγαθοὶ δὲ ἢ κακοὶ οὐ γινόμεθα φύσει· εἴπομεν δὲ περὶ τούτου πρότερον. Εἰ οὖν μήτε πάθη εἰσὶν αἱ ἀρεταὶ, μήτε δυνάμεις, λείπεται ἕξεις αὐτὰς εἶναι. Ὅ, τι μὲν οὖν ἐστι τῷ γένει ἡ ἀρετὴ, εἴρηται.

ΚΕΦ. ϛ'.

ΔΕΙ δὲ μὴ μόνον οὕτως εἰπεῖν, ὅτι ἕξις, ἀλλὰ καὶ ποία τις. Ῥητέον οὖν, ὅτι πᾶσα ἀρετὴ, οὗ ἂν [p] ᾖ ἀρετὴ, αὐτό τε εὖ ἔχον ἀποτελεῖ, καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν· οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλμὸν σπουδαῖον ποιεῖ, καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. Ὁμοίως ἡ

o Πράττειν N C. Ven. 1. 2. et Bas. p Εἴη El. N C. et alii.

Deinde irascimur et timemus inconsulto: at virtutes, aut consilia quædam sunt, aut non sine consilio. Postremo affectibus moveri dicimur, virtutibus et vitiis non moveri, sed quodammodo conformari. Propter has porro causas nec sunt potestates: neque enim eo quod patiendi potestate præditi sumus simpliciter, boni vel mali dicimur, neque laudamur aut vituperamur. Præterea potestates insunt in nobis natura, boni autem vel improbi non sumus natura: qua de re supra diximus. Quod si virtutes nec affectus sunt, nec potestates, relinquitur ut sint habitus. Quid igitur sit virtus genere, diximus.

CAP. VI.

SED non satis est ita dicere, virtutem habitum esse, verum etiam ostendendum qualis sit habitus. Dicendum igitur est virtutem omnem, et id, cujus ipsa virtus sit, bene affectum reddere, et opus ejus ornare ac perpolire: exempli gratia, virtus oculi cum oculum ipsum probum efficit, tum aptum ad suum munus explendum: virtute enim oculi bene cernimus. Itemque

τοῦ ἵππου ἀρετὴ ἵππον τε σπουδαῖον ποιεῖ, ϗ ἀγαθὸν δραμεῖν, καὶ ἐνεγκεῖν τὸν ἐπιβάτην, καὶ μεῖναι τοὺς πολεμίους. Εἰ δὴ τοῦτ' ἐπὶ πάντων οὕτως ἔχει, [q]καὶ ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἕξις, ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίνεται, καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει. Πῶς δὲ τοῦτ' ἔσται, ἤδη μὲν εἰρήκαμεν· ἔτι δὲ καὶ ὧδε ἔσται φανερὸν, ἐὰν θεωρήσωμεν ποία τις ἐστὶν ἡ φύσις αὐτῆς. [s]Ἐν παντὶ δὴ συνεχεῖ καὶ διαιρετῷ ἔστι λαβεῖν τὸ μὲν πλεῖον, τὸ δ' ἔλαττον, τὸ δ' ἴσον· ϗ ταῦτα ἢ κατ' αὐτὸ τὸ πρᾶγμα, ἢ πρὸς ἡμᾶς· τὸ δ' ἴσον μέσον τι ὑπερβολῆς ϗ ἐλλείψεως. Λέγω δὲ τοῦ μὲν πράγματος μέσον, τὸ ἴσον ἀπέχον ἀφ' ἑκατέρου τῶν ἄκρων, ὅπερ ἐστὶν ἓν καὶ ταὐτὸ πᾶσι· πρὸς ἡμᾶς δὲ, ὃ μήτε πλεονάζει, μήτε ἐλλείπει [r]τοῦ δέοντος. Τοῦτο δ' οὐχ ἓν, οὐδὲ τὸ αὐτὸ πᾶσι· οἷον εἰ τὰ δέκα πολλὰ, τὰ δὲ δύο ὀλίγα, τὰ ἓξ μέσα λαμβάνουσι κατὰ τὸ πρᾶγμα· ἴσως γὰρ ὑπερέχει τε ϗ ὑπερέχεται. Τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν· τὸ δὲ πρὸς ἡμᾶς οὐχ

[q] Καὶ aliqui libri non agnoscunt. [s] Eud. lib. ii. cap. 3. [r] Τοῦ δέοντος El. Vict. Vet. Interp. et Argyr. non agnoscunt.

virtus equi cum equum bonum efficiat, tum ad currendum, equitemque vehendum, et hostes exspectandos expeditum ac paratum. Quod si ita est in omnibus, hominis profecto virtus habitus erit, quo homo et bonus fiat, et suo munere bene fungatur. Atque hoc quidem quonam modo futurum sit, cum jam antea dixerimus, tum etiam magis perspicuum ita esse poterit, si qualis sit virtutis natura considerabimus. Licet igitur in omni re continente ac dividua, et plus, et minus, et æquale sumere: eaque vel ex ipsa re judicantur, vel ad nos referuntur: æquale autem quiddam medium est inter nimium et parum. Jam rei medium appello, quod æqualiter abest ab utroque extremo, quod quidem unum et idem est omnibus: medium porro ad nos, id quod nec superat, nec deserit id quod oportet adesse. Hoc autem nec unum omnibus, nec idem est: exempli causa, si decem multa, duo pauca sunt, sex rei media sumere consueverunt: æqualiter enim superant et superantur. Atque hoc medium est proportione arithmetica: at quod nobis medium est, non ita sumendum

οὕτω ληπτέον· οὐ γὰρ εἴ τῳ δέκα μνᾶς φαγεῖν πολὺ, δύο δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς [s] προστάξειεν· ἔστι γὰρ ἴσως καὶ τοῦτο πολὺ τῷ ληψομένῳ, ἢ ὀλίγον· Μίλωνι μὲν γὰρ ὀλίγον, τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων πολύ· ὁμοίως [t] ἐπὶ δρόμου καὶ πάλης. Οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν φεύγει, τὸ δὲ μέσον ζητεῖ, καὶ τοῦθ' αἱρεῖται· μέσον δὲ, οὐ τὸ τοῦ πράγματος, ἀλλὰ τὸ πρὸς ἡμᾶς. Εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, πρὸς τὸ μέσον βλέπουσα, καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα· ὅθεν εἰώθασιν ἐπιλέγειν τοῖς εὖ ἔχουσιν ἔργοις, ὅτι οὔτ' ἀφελεῖν ἐστιν, οὔτε προσθεῖναι, ὡς τῆς μὲν ὑπερβολῆς καὶ τῆς ἐλλείψεως [u] φθειρούσης τὸ εὖ, τῆς δὲ μεσότητος σωζούσης· οἱ δ' ἀγαθοὶ τεχνῖται, ὡς λέγομεν, πρὸς τοῦτο βλέποντες ἐργάζονται, ἡ δὲ ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστὶν, ὥσπερ καὶ ἡ φύσις, τοῦ μέσου ἂν εἴη στοχαστική. Λέγω δὲ τὴν ἠθικήν· αὕτη γάρ ἐστι περὶ πάθη

[s] Προστάξει El. C C C. et quidam impressi. [t] Ἐπὶ τούτων γὰρ ἀπὸ τῶν γυμναζομένων τὸ ἴσον κρίνομεν. *Andr.* [u] Ἀφαιρούσης pro φθειρούσης C C C.

est: non si enim decem libras comesse nimium sit, duas parum, sex libras alipta præscribet: est enim hoc quoque fortasse multum, vel parum ei, qui sit cibum capturus: Miloni enim parum, ei autem qui nunc primum incipit exerceri, multum: similiterque de cursu et lucta sentiendum. Itaque sciens omnis nimium et parum fugit, mediocritatem exquirit, atque hanc exoptat: mediocritatem, inquam, non rei, sed eam, quæ nobis est mediocritas. Quod si scientia omnis ita demum bene suum munus explet et absolvit, si mediocritatem sibi ob oculos proponat, ad eamque sua opera revocet ac dirigat; (ex quo ea opera, quæ scite et affabre facta sunt, hac ad extremum oratione commendare solent, nec eis quicquam detrahi, nec addi posse, quasi nimium et parum omnem perfectionem artis corrumpat et perimat, conservet mediocritas;) et si boni artifices, ut quidem dicimus, in suis operibus efficiendis hanc intuentur, et spectant, virtus autem, quemadmodum et natura, omni arte limatior ac melior est, ea profecto medium veluti collineando petat, et destinet, necesse est. De ea autem virtute loquor, quæ ad mores pertinet: hæc enim

καὶ πράξεις· ἐν δὲ τούτοις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις, καὶ τὸ μέσον· οἷον καὶ φοβηθῆναι, καὶ θαῤῥῆσαι καὶ ἐπιθυμῆσαι [x] καὶ ἀποστραφῆναι, καὶ ὀργισθῆναι, καὶ ἐλεῆσαι, καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναί ἐστι καὶ μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐκ εὖ. Τὸ δ' ὅτε δεῖ, καὶ ἐφ' οἷς, καὶ πρὸς οὓς, καὶ οὗ ἕνεκα, καὶ ὡς δεῖ, μέσον τε καὶ ἄριστον, ὅπερ [y] ἐπὶ τῆς ἀρετῆς. Ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον· ἡ δὲ ἀρετὴ περὶ πάθη καὶ πράξεις ἐστὶν, ἐν οἷς ἡ μὲν ὑπερβολὴ ἁμαρτάνεται καὶ ἡ ἔλλειψις ψέγεται, τὸ δὲ μέσον ἐπαινεῖται καὶ κατορθοῦται· ταῦτα δ' ἄμφω τῆς ἀρετῆς. Μεσότης τις ἄρα ἐστὶν ἡ ἀρετὴ, στοχαστική γε οὖσα τοῦ μέσου. Ἔτι, [1] τὸ μὲν ἁμαρτάνειν πολλαχῶς ἐστι· τὸ γὰρ κακὸν τοῦ ἀπείρου, ὡς [2] οἱ Πυθαγόρειοι εἴκαζον, τὸ δ' ἀγαθὸν τοῦ πεπερασμένου· τὸ δὲ κατορθοῦν μοναχῶς· διὸ καὶ τὸ μὲν ῥᾴδιον, τὸ δὲ χαλεπόν· ῥᾴδιον μὲν τὸ ἀποτυχεῖν τοῦ σκοποῦ, χαλεπὸν δὲ τὸ ἐπιτυχεῖν·

[x] Καὶ ἀποστραφῆναι desunt MSS. Ven. 1. 2. et Bas. [y] Ἔστι pro ἐπὶ legit Zuing. haud male: in El. scribitur ὅπερ ἐστὶν ἐπί. [1] Magn. Moral. lib. i. cap. 25. [2] Lib. i. cap. 6.

in affectibus atque actionibus versatur; in quibus est et nimium et parum et mediocritas; ut timere, fidere, concupiscere, odisse atque aspernari, irasci, misereri, et (ut semel dicam) gaudere et dolere potest quisque nimium et parum, atque utrumque non recte. At vero quo tempore, et propter quam causam, et quibus, et cujus rei gratia, et quomodo oportet his affectibus commoveri, id sane et medium est, et optimum, quod in virtute situm est. Eodem quoque modo in actionibus nimium, parum, medium reperitur: virtus autem in affectibus, et actionibus versatur, in quibus nimium, et parum, et peccata sunt, et vituperantur, mediocritas et laudi datur, et recte factum est: at hæc ambo sunt virtutis. Est ergo virtus mediocritas quædam, cum mediocritatem veluti signum quoddam sibi propositum petat ac destinet. Præterea peccare multis modis possumus; (malum enim, ut Pythagorei conjectura quadam consequebantur, est infiniti atque interminati, bonum finiti et terminati;) at recte facere uno modo: itaque etiam hoc difficile est, illud vero facile; a scopo scilicet aberrare facile est, scopum ferire difficile: ob has

καὶ διὰ ταῦτ' οὖν τῆς μὲν κακίας ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, τῆς δὲ ἀρετῆς ἡ μεσότης·

[z] Ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

Ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις [a] προαιρετική, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, [b] ὡρισμένη λόγῳ, καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειε· μεσότης δὲ [c] δύο κακιῶν, τῆς μὲν καθ' ὑπερβολήν, τῆς δὲ κατ' ἔλλειψιν· καὶ ἔτι τῷ τὰς μὲν ἐλλείπειν, τὰς δ' ὑπερβάλλειν τοῦ δέοντος, ἔν τε τοῖς πάθεσι, καὶ ἐν ταῖς πράξεσι, τὴν δ' ἀρετὴν τὸ μέσον καὶ εὑρίσκειν καὶ αἱρεῖσθαι. Διὸ κατὰ μὲν τὴν οὐσίαν καὶ τὸν λόγον τὸν τί ἦν εἶναι λέγοντα, μεσότης ἐστὶν ἡ ἀρετή· κατὰ δὲ τὸ ἄριστον καὶ τὸ εὖ, ἀκρότης. Οὐ πᾶσα δ' ἐπιδέχεται πρᾶξις, οὐδὲ [d] πᾶν πάθος τὴν μεσότητα· ἔνια γὰρ εὐθὺς ὠνόμασται συνειλημμένα μετὰ τῆς φαυλότητος,

[z] Versus est incerti auctoris. Hesiodus eandem sententiam expressit in sequentibus:

> Τὴν μέντοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
> Ῥηϊδίως.——
> Τῆς δ' ἀρετῆς μακρὸς τε καὶ ὄρθιος οἶμος.—

[a] *Προαιρετικὴ ad consilium agendi capiendum aptus* Latine reddidi: cujus mei facti rationem, ne quis in lingua Latina parum exercitatus vel miretur, vel tacite reprehendat, reddere non recuso. Dico igitur *consilium capere* non esse consultare, ut vulgus existimat, sed e duobus aut pluribus, quæ in consultationem veniant, et de quibus quæratur, utrum, vel quod eorum agere aut sequi præstet, unum aliquod potissimum suscipere. *Lamb.* [b] Ὁριζομένη El. [c] Δύειν. El. [d] Πᾶν ψυχῆς πάθος Vet. Interp.

igitur causas nimium et parum ad vitium pertinent, mediocritas ad virtutem:

> Uno namque boni, cunctimodisque mali.

Est igitur virtus habitus ad consilium agendi capiendum aptus et expeditus, in ea mediocritate positus, quæ ad nos comparatur, quæque ratione est definita, et ut prudens definiret: mediocritas autem seu medium est duorum vitiorum, unius quod ex nimio, alterius quod ex eo quod parum est nascitur: atque etiam idcirco mediocritas est, quod alia vitia deserunt id, quod fieri debet, tum in affectibus, tum in actionibus, alia superant; virtus autem medium et invenit et sequitur. Quocirca virtus ex sua essentia et ratione, quæ, quid sit res, declarat, medium est: ex præstantia autem et perfectione, summum. Verum non omnis actio nec omnis affectus mediocritatem recipit: sunt enim quædam, quorum nominibus statim vitium est implicatum, ut malevolentia læ-

οἷον [e] ἐπιχαιρεκακία, ἀναισχυντία, φθόνος, καὶ ἐπὶ τῶν πράξεων, μοιχεία, κλοπή, ἀνδροφονία· πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα λέγεται τῷ αὐτὰ φαῦλα εἶναι, ἀλλ' οὐχ αἱ ὑπερβολαὶ αὐτῶν, οὐδὲ αἱ ἐλλείψεις. Οὐκ ἔστιν οὖν οὐδέποτε περὶ αὐτὰ κατορθοῦν, ἀλλ' ἀεὶ ἁμαρτάνειν· οὐδ' ἔστι τὸ εὖ ἢ μὴ εὖ περὶ τὰ τοιαῦτα, ἐν τῷ [f] ἣν δεῖ, καὶ ὅτε, καὶ ὡς μοιχεύειν· ἀλλ' ἁπλῶς τὸ ποιεῖν ὁτιοῦν τούτων ἁμαρτάνειν ἐστίν. Ὅμοιον οὖν τὸ ἀξιοῦν καὶ περὶ τὸ ἀδικεῖν, καὶ δειλαίνειν, καὶ ἀκολασταίνειν εἶναι μεσότητα, καὶ ὑπερβολὴν καὶ ἔλλειψιν· ἔσται γὰρ οὕτω γε ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης, καὶ ὑπερβολῆς ὑπερβολή, καὶ ἔλλειψις ἐλλείψεως. Ὥσπερ δὲ σωφροσύνης καὶ ἀνδρείας οὐκ ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις· διὰ τὸ τὸ μέσον εἶναί πως [g] ἄκρον· οὕτως οὐδὲ ἐκείνων μεσότης, οὐδὲ ὑπερβολὴ καὶ ἔλλειψις, ἀλλ' ὡς ἂν πράττηται, ἁμαρτάνεται· ὅλως γὰρ οὔθ' ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης ἐστὶν, οὐδὲ μεσότητος ὑπερβολὴ καὶ ἔλλειψις.

[e] Ἐθελοκακία pro ἐπιχαιρεκακία habet Bas. in margine. [f] ᾗ El. et Bas. ἧ Ven. 1. et 2. [g] Ἄκρων Ven. 1. et 2.

tans alieno malo, impudentia, invidentia, et in actionibus, adulterium, furtum, cædes: hæc enim omnia, et quæ sunt hujus generis, sic appellantur, quod ipsa mala sint, non eorum immoderationes, aut paucitates. Nunquam igitur fieri potest, ut in his recte fiat, sed semper peccatur: neque in talibus recte aut non recte faciendi vis in eo posita est, ut cum qua et quo tempore et quo modo adulterium facere oporteat, animadvertatur: sed simpliciter et absolute quidvis horum admittere, peccare est. Quamobrem mediocritatem in his postulare simile sit ac si quis in injuria facienda, et in vita ignava et intemperata, mediocritatem, nimium, et parum quærat: nam hac quidem ratione, esset nimii, et ejus quod parum est, modus ac mediocritas, et nimii nimium, et ejus quod parum est, aliquid parum. Sed quo modo temperantiæ ac fortitudinis nec nimium est, nec parum; (propterea quod medium quodammodo est summum;) sic ne illorum quidem mediocritas est, nec nimium, nec parum, sed ut quidque admissum fuerit, ita peccatum est: omnino enim nec nimii, nec ejus quod est parum, mediocritas esse potest, nec mediocritatis nimium et parum.

ΚΕΦ. ζ'.

ΔΕΙ δὲ τοῦτο μὴ μόνον καθόλου λέγεσθαι, ἀλλὰ καὶ τοῖς καθ' ἕκαστα ἐφαρμόττειν· ἐν γὰρ τοῖς περὶ τὰς πράξεις λόγοις, οἱ μὲν καθόλου [h]κενώτεροί εἰσιν, οἱ δὲ ἐπὶ μέρους ἀληθινώτεροι· περὶ γὰρ τὰ καθ' ἕκαστα αἱ πράξεις· δέον δὲ ἐπὶ τούτων συμφωνεῖν. Ληπτέον οὖν ταῦτα ἐκ τῆς [i]διαγραφῆς: [1]Περὶ μὲν οὖν φόβους καὶ θάῤῥη ἀνδρία μεσότης· τῶν δ' ὑπερβαλλόντων, ὁ μὲν τῇ ἀφοβίᾳ, ἀνώνυμος· [k]πολλὰ δ' ἐστὶν ἀνώνυμα· ὁ δ' ἐν τῷ θαῤῥεῖν ὑπερβάλλων, θρασύς· ὁ δὲ τῷ μὲν φοβεῖσθαι ὑπερβάλλων, τῷ δὲ θαῤῥεῖν ἐλλείπων, δειλός. Περὶ ἡδονὰς δὲ καὶ λύπας [l]οὐ πάσας, ἧττον δὲ καὶ περὶ τὰς

[h] Ita scripti fere omnes libri, quos Lambino videre contigit: ex nostris vero solus C C C. (cujus in marg. annotatur scribi in nonnullis κοινότεροι) ita etiam Aurel. et Vet. Interp. κοινότεροι plerique alii; quos sequitur Argyr. et Andronici παράφρασις, quæ hujusmodi est: Τῶν γὰρ περὶ τὰς πράξεις λόγων οἱ μὲν καθολικοὶ κοινότεροι καὶ πλείοσιν ἐφαρμόζουσιν, οἱ δὲ μερικοὶ ἀληθινώτεροι· ὅτι διὰ τοῦτο προσηχῶς ταῖς πράξεσιν ἐφαρμόζοντες, αἵτινες ἀεὶ ἐν τοῖς μερικοῖς γίνονται· οἷς δὴ μερικοῖς οἱ ἀληθεῖς συμφωνοῦσι λόγοι. Utraque lectio sententiam Aristotele minime indignam continet. Vide Lamb. et Vict. [i] Hic desideratur dubio procul Aristotelica διαγραφὴ, cujus explicatio est, quod sequitur. Amissam vero διαγραφὴν possumus reparare ex Eud. lib. ii. cap. 3. *Casaub.* Ληψόμεθα δὲ τὰ ζητούμενα ἐκ τῆς ἐκτεθείσης διαγραφῆς. *Hoc ergo, de quo quærimus, ex exposita sumendum est descriptione.* Andr. [1] Infra lib. iii. cap. 9. et seq. [k] Ex verbis Eustratii in hunc locum suspicari licet deesse post vocem ἀνώνυμα aliquid. Sic Eustrat. κακίας δὲ τὸν μὲν ἀπὸ τῆς ἀφοβίας ὑπερβάλλοντα ἀνώνυμόν τινα λέγει· πολλὰ γὰρ εἶναι τῶν τοιούτων ἀνώνυμα· εἴη δ' ἄν, φησὶν, ἄφοβός τις ὁ τοιοῦτος, ἀλλ' οὐχ ὡς δεῖ· λέγεται γὰρ καὶ ὁ ἀνδρεῖος ἄφοβος, ὅτι οὐ φοβεῖται ἃ μὴ δεῖ. Quod igitur ait φησὶ, suspicionem movet, nisi alio respexit. *Casaub.* [l] Lege οὐ πάσας δὲ, vel οὐ μὲν πάσας, et refer ad ἡδονάς: ac

CAP. VII.

NON solum autem hoc universe dicendum est, sed etiam ad singulas virtutes accommodandum: sermones enim, qui habentur de actionibus, ii, qui ad genus universum pertinent, aliquanto sunt inaniores, qui vero partes et res singulares explicant, veriores: in rebus enim singularibus consistunt actiones: cum his autem oportet orationem congruere. Hæc igitur ex descriptione sumenda et intelligenda sunt. Ac fortitudo quidem mediocritas est in metu et confidentia occupata: eorum autem, qui modum superant, is, qui timoris vacuitate superat, caret nomine; (sunt autem multa, quæ nomine carent;) qui vero fidendo modum superat, audax appellatur: qui autem metuendo ultra modum progreditur, et fidendo modum deserit, ignavus. Jam vero in voluptatibus et molestiis, non omnibus, minus autem in do-

λύπας, μεσότης μὲν σωφροσύνη, ὑπερβολὴ δὲ ἀκολασία. Ἐλλείποντες δὲ περὶ τὰς ἡδονὰς οὐ πάνυ γίνονται· διόπερ οὐδ' [m] οὗτοι ὀνόματος τετυχήκασιν· ἔστωσαν δὲ ἀναίσθητοι. Περὶ δὲ δόσιν χρημάτων ϗ λῆψιν μεσότης μὲν ἐλευθεριότης, ὑπερβολὴ δὲ καὶ ἔλλειψις ἀσωτία καὶ ἀνελευθερία. Ἐναντίως δὲ [n] αὐτὰς ὑπερβάλλουσι ϗ ἐλλείπουσιν· ὁ μὲν γὰρ ἄσωτος ἐν μὲν προέσει ὑπερβάλλει, ἐν δὲ λήψει ἐλλείπει· ὁ δὲ ἀνελεύθερος ἐν μὲν λήψει ὑπερβάλλει, ἐν δὲ προέσει ἐλλείπει. Νῦν μὲν [o] οὖν τύπῳ ϗ ἐπὶ κεφαλαίῳ λέγομεν, ἀρκούμενοι αὐτῷ τούτῳ· [1] ὕστερον δὲ ἀκριβέστερον περὶ αὐτῶν διορισθήσεται. Περὶ δὲ τὰ χρήματά εἰσι ϗ ἄλλαι διαθέσεις· μεσότης μὲν μεγαλοπρέπεια· ὁ γὰρ μεγαλοπρεπὴς διαφέρει ἐλευθερίου· ὁ μὲν γὰρ περὶ μεγάλα, ὁ δὲ περὶ μικρά· ὑπερβολὴ δὲ ἀπειροκαλία ϗ

fortasse aliter scripserat Arist. (Vide lib. iii. cap. 13.) περὶ γὰρ τὰς σωματικὰς, καὶ τούτων τὰς περὶ ἁφὴν μάλιστα, quæ hoc loco post πάσας inseruntur in plerisque Editt. (ut in Ven. 1. et 2. Bas. et Lamb.) ex glossa et Eustratii interpretatione sunt profecta. *Casaub.* [m] Οἱ τοιοῦτοι pro οὗτοι El. habet: τοιοῦτος et sequentia in sing. num. N C. legit. [n] Κατ' αὐτὰς C C C. et Bas. [o] Οὖν abest a N C. et Aurel. [1] Lib. iv. cap. 1.

loribus, quam in voluptatibus, mediocritas temperantia est, nimium intemperantia. In voluptatibus porro qui eo peccent, quod eas parum expetant, raro reperiuntur: ita ne nomen quidem consecuti sunt: sed appellentur sane sensus expertes. In donandis autem et accipiendis pecuniis mediocritas quidem est ea, quæ liberalitas dicitur, nimium autem et parum effusio et illiberalitas. Eas autem, quas dixi, mediocritates, contraria inter se ratione vitiosi homines et superant, et deserunt: prodigus enim in profundenda pecunia ultra modum prodit, in accipienda modum deserit: illiberalis in accipienda immoderatus est, in profundenda parcior, ac restrictior. Hæc igitur nunc quidem veluti adumbramus summatimque perstringimus, in præsenti hoc ipso contenti: posterius autem enucleatius ac subtilius ea distinguemus. In pecuniis autem aliæ quoque versantur animi affectiones; quarum mediocritas magnificentia nominatur: magnificus enim eo differt a liberali, quod ille in magnis, hic in parvis versetur: nimium ἀπειροκαλία, id est, elegantiæ inscientia, et βαναυσία, id est, operaria quædam in sumptu faciendo inso-

βαναυσία, ἔλλειψις δὲ μικροπρέπεια· διαφέρουσι δὲ αὗται τῶν περὶ τὴν ἐλευθεριότητα· [p] ᾧ δὲ διαφέρουσιν, ὕστερον ῥηθήσεται. Περὶ δὲ τιμὴν καὶ ἀτιμίαν μεσότης μὲν μεγαλοψυχία, ὑπερβολὴ δὲ χαυνότης τις λεγομένη, ἔλλειψις δὲ μικροψυχία. Ὡς δ' ἐλέγομεν ἔχειν πρὸς τὴν μεγαλοπρέπειαν τὴν ἐλευθεριότητα περὶ μικρὰ διαφέρουσαν, οὕτως ἔχει τις καὶ πρὸς τὴν μεγαλοψυχίαν περὶ τιμὴν οὖσαν μεγάλην, αὐτὴ περὶ [q] μικρὰν οὖσα· ἔστι γὰρ ὡς δεῖ ὀρέγεσθαι τιμῆς καὶ μᾶλλον ἢ δεῖ, καὶ ἧττον. Λέγεται δὲ ὁ μὲν ὑπερβάλλων ταῖς ὀρέξεσι φιλότιμος, ὁ δ' ἐλλείπων ἀφιλότιμος, ὁ δὲ μέσος ἀνώνυμος· ἀνώνυμοι δὲ καὶ αἱ [r] διαθέσεις, πλὴν ἡ τοῦ φιλοτίμου φιλοτιμία· [s] ὅθεν ἐπιδικάζονται οἱ ἄκροι τῆς μέσης χώρας. Καὶ ἡμεῖς δὲ, ἔστι μὲν ὅτε τὸν μέσον φιλότιμον καλοῦμεν, ἔστι δ' ὅτε ἀφιλότιμον· καὶ ἔστιν ὅτε μὲν ἐπαινοῦμεν τὸν φιλότιμον,

[p] Περὶ ὧν pro ᾧ El. habet: utrumque in N C. occurrit. [q] Μικρὰ Ven. 1. 2. et Bas. [r] Διαθέσεις, quæ proprie significat *dispositiones*, hic, ut infra cap. seq. improprie pro ἕξεις ponitur. [s] Vide lib. iv. cap. 4.

lentia, parum μικροπρέπεια, id est, indecora in sumptu faciendo parsimonia: differuntque hæ ab iis, quæ ad liberalitatem pertinent: quid differant autem, posterius dicemus. Jam vero ea quæ in honore et infamia versatur mediocritas, animi magnitudo nuncupatur, nimium χαυνότης a Græcis appellatur, a nobis elatio animi, aut superbia in animis extollendis nominatur, parum, humilis et demissus animus. Quam autem comparationem habere dicebamus cum magnificentia liberalitatem, eo differentem, quod in parvis versetur, eandem habet cum animi magnitudine, quæ in magno honore vertitur, virtus quædam altera, quæ in parvo est occupata: evenire enim potest, ut quis et pro eo ac satis est honorem expetat, et ut nimium et parum expetat. Qui autem honoris cupiditate modum superat, ambitiosus, qui deserit, contemptor honoris appellatur, medius nomine caret: atque etiam affectiones ipsæ carent nomine, præterquam ambitiosi, cujus vitiositas ambitio nominatur: hinc extremi de medio loco concertant ac litigant. Atque adeo nos ipsi eum, qui medius est, nunc ambitiosum, nunc honoris contemptorem appellamus: et aliquando ambitiosum, aliquando honoris contempto-

ἔστι δὲ ὅτε τὸν ἀφιλότιμον. Διὰ τίνα δ᾽ αἰτίαν τοῦτο ποιοῦμεν, ἐν τοῖς ἑξῆς ῥηθήσεται· νῦν δὲ περὶ τῶν λοιπῶν λέγωμεν κατὰ τὸν ὑφηγημένον τρόπον. Ἔστι δὲ καὶ περὶ ὀργὴν ὑπερβολὴ καὶ ἔλλειψις, καὶ μεσότης· [r] σχεδὸν δὲ ἀνωνύμων ὄντων αὐτῶν, τὸν μέσον πρᾶον λέγοντες, τὴν μεσότητα πρᾳότητα καλέσομεν· τῶν δ᾽ ἄκρων, ὁ μὲν ὑπερβάλλων ὀργίλος ἔστω, ἡ δὲ [s] κακία ὀργιλότης· ὁ δὲ ἐλλείπων ἀόργητός τις, ἡ δ᾽ ἔλλειψις ἀοργησία. Εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς μεσότητες ἔχουσαι μέν τινα [t] ὁμοιότητα πρὸς ἀλλήλας, διαφέρουσι δὲ ἀλλήλων· πᾶσαι μὲν γάρ εἰσι περὶ λόγων καὶ πράξεων κοινωνίαν· διαφέρουσι δὲ, ὅτι ἡ μέν ἐστι περὶ τὸ ἀληθὲς τὸ ἐν αὐτοῖς, αἱ δὲ περὶ τὸ ἡδύ· τούτου δὲ τὸ μὲν ἐν παιδιᾷ, τὸ δὲ ἐν πᾶσι τοῖς κατὰ τὸν βίον. Ῥητέον οὖν καὶ περὶ τούτων, ἵνα μᾶλλον κατίδωμεν, ὅτι ἐν πᾶσιν ἡ μεσότης ἐπαινετὸν, τὰ δ᾽ ἄκρα οὔτε ὀρθὰ, οὔτε ἐπαινετὰ, ἀλλὰ ψεκτά. Ἔστι μὲν οὖν καὶ τούτων

[r] Lib. iv. cap. 5. [s] Κακία pro ἔλλειψις NC. [t] Κοινωνίαν pro ὁμοιότητα NC. habet. Sic legisse videtur Andronicus, qui παραφράζει per αἳ κατά τι μὲν κοινωνοῦσιν: *quæ aliquid commune inter se habent.*

rem laudamus. Quod quamobrem faciamus, in iis, quæ deinceps sequentur, explicabimus: nunc vero eo, quo cœpimus, modo de cæteris dicamus. Est autem etiam in ira nimium, parum, mediocritas: sed cum ea fere nomine vacent, medium clementem ac lenem, mediocritatem clementiam ac lenitatem nominabimus: extremorum vero is, qui modum superat, iracundus, vitiumque iracundia dicatur: qui deserit, lentus quidam, et vitium lentitudo appelletur. Jam vero sunt et tres aliæ mediocritates, quæ tametsi similitudine quadam inter se conveniant, differunt tamen: omnes enim in sermonum et actionum communitate versantur: sed hoc differunt, quod una in veritate ea, quæ in eis ipsis rebus inest, vertitur, aliæ duæ in earum jucunditate positæ sunt: atque hujus quidem jucunditatis altera pars in joco, altera in iis omnibus, quæ in hac vita quotidiana usu venire solent, cernitur. Quamobrem de his quoque nobis pauca dicenda sunt, ut in omnibus rebus mediocritatem esse laudandam, extrema autem neque recta, neque laudanda, immo vero vituperanda, planius intelligamus. Tametsi

τὰ πλείω ἀνώνυμα· πειρατέον δ᾿, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, [u] αὐτοὺς ὀνοματοποιεῖν, σαφηνείας ἕνεκεν, καὶ τοῦ εὐπαρακολουθήτου. [1] Περὶ μὲν οὖν τὸ ἀληθὲς, ὁ μὲν μέσος [x] ἀληθής τις, καὶ ἡ μεσότης ἀλήθεια λεγέσθω· ἡ δὲ προσποίησις, ἡ μὲν ἐπὶ τὸ μεῖζον, ἀλαζονεία, καὶ ὁ ἔχων αὐτὴν ἀλαζών· ἡ δὲ ἐπὶ τὸ ἔλαττον, εἰρωνεία, καὶ εἴρων. [2] Περὶ δὲ τὸ ἡδὺ, τὸ μὲν ἐν παιδιᾷ, ὁ μὲν μέσος εὐτράπελος, καὶ ἡ διάθεσις εὐτραπελία· ἡ δ᾿ ὑπερβολὴ βωμολοχία, καὶ ὁ ἔχων αὐτὴν βωμολόχος· ὁ δ᾿ ἐλλείπων ἄγροικός τις, καὶ ἡ ἕξις ἀγροικία. [3] Περὶ δὲ τὸ λοιπὸν ἡδὺ, τὸ ἐν τῷ βίῳ, ὁ μὲν ὡς δεῖ ἡδὺς ὢν, φίλος, καὶ ἡ μεσότης φιλία· ὁ δ᾿ ὑπερβάλλων, [y] εἰ μὲν οὐδενὸς ἕνεκα, ἄρεσκος, εἰ δ᾿ ὠφελείας τῆς αὑτοῦ, κόλαξ· ὁ δ᾿ ἐλλείπων καὶ ἐν πᾶσιν ἀηδὴς, δυσερίς τις καὶ δύσκολος. [4] Εἰσὶ δὲ καὶ ἐν

[u] Αὐταῖς CCC. ἐν αὐταῖς Andr. [1] Lib. iv. cap. 7. [x] Ἀληθής ἐστι El. [2] Vide lib. iv. cap. 8. [3] Vide lib. iv. cap. 6. [y] Ὁ μὲν οὐδ. ἕνεκα ἄρεσκος, ὁ δ᾿ ὠφ. N C. ita etiam alii, teste Casaubono. [4] Vide lib. iv. cap. 9.

igitur permulta sint ex his, quæ careant nomine: danda tamen opera est, ut eorum, quemadmodum et aliorum, nomina fingamus, tum perspicuitatis gratia, tum ut aptior, ac facilior sit ad consequendum series orationis. In veritate igitur is, qui mediocritatem tuetur ac retinet, verax quidam, et mediocritas veritas appelletur; simulatio autem quæ rem auget, et majorem facit, arrogantia, et qui ea affectus est, arrogans: ea vero, quæ de se detrahit, reique veritatem extenuat, dissimulatio, et qui ea uti solet, dissimulator vocetur. In jucunditate porro ea, quæ in joco cernitur, is, qui mediocritatem et modum servat, facetus aut urbanus, et affectio urbanitas nominetur: nimium, scurrilis dicacitas, et qui ea affectus est, scurra: qui modum deserit, rusticus quidam seu agrestis atque insulsus, et habitus, rusticitas atque insulsitas. In altera autem jucunditate ea, quæ in vitæ communione locum habet, is qui se ita jucundum præstat, ut debet, amicus, et mediocritas amicitia nominetur: qui modum superat, si nullo suo commodo adductus, placendi studiosus, seu blandus; sin suæ utilitatis causa, assentator: qui deserit, seseque omnibus in rebus insuavem atque acerbum præbet, is pugnax quidam in contentionibus, difficilisque nominetur. Atque etiam in affectibus, iisque rebus, quæ ad affectus perti-

τοῖς πάθεσι, καὶ ἐν τοῖς περὶ τὰ πάθη, μεσότητες· ἡ γὰρ αἰδὼς ἀρετὴ μὲν οὐκ ἔστιν, ἐπαινεῖται δὲ καὶ ὁ αἰδήμων· καὶ γὰρ ἐν τούτοις, [z] ὁ μὲν λέγεται μέσος, ὁ δ' ὑπερβάλλων, ὡς καταπλὴξ, ὁ πάντα αἰδούμενος· ὁ δ' ἐλλείπων, ἢ ὁ μηδὲ ὅλως, ἀναίσχυντος, ὁ δὲ μέσος αἰδήμων. Νέμεσις δὲ μεσότης φθόνου καὶ ἐπιχαιρεκακίας· εἰσὶ δὲ περὶ λύπην καὶ ἡδονὴν τὰς ἐπὶ τοῖς συμβαίνουσι τοῖς πέλας γινομένας· ὁ μὲν γὰρ νεμεσητικὸς λυπεῖται ἐπὶ τοῖς [a] ἀναξίως εὖ πράττουσιν· ὁ δὲ φθονερὸς ὑπερβάλλων τοῦτον, ἐπὶ πᾶσι λυπεῖται· ὁ δ' ἐπιχαιρέκακος τοσοῦτον ἐλλείπει τοῦ λυπεῖσθαι, ὥστε καὶ χαίρειν.

[1] Ἀλλὰ [b] περὶ μὲν τούτων καὶ ἄλλοθι καιρὸς ἔσται· περὶ δὲ δικαιοσύνης, ἐπεὶ οὐχ ἁπλῶς λέγεται, μετὰ ταῦτα διελόμενοι, περὶ ἑκατέρας [c] ἐροῦμεν, πῶς μεσότητές εἰσιν· [d] ὁμοίως δὲ καὶ περὶ τῶν λογικῶν ἀρετῶν.

[z] Ὁ μὲν λέγεται ὑπερβάλλων fortasse rectius; præsertim cum statim subnectat ὁ δὲ μέσος αἰδήμων. *Zuing.* [a] Ἀναξίως N C. [1] Eud. lib. iii. cap. 7. [b] Περὶ μὲν οὖν τούτων Cam. Bas. Vet. Interp. et alii. [c] Sc. in libro v. [d] Sc. in initio libri vi.

nent, mediocritates insunt: verecundia enim non est illa quidem virtus, veruntamen laudatur etiam is, qui verecundus est: his enim in rebus alius dicitur medius, alius qui modum superat, tanquam obstupefactus, et pudore consternatus, qui omni in re verecundatur: qui autem modum deserit, quemque nihil omnino pudet, impudens, medius autem ille pudens, ac verecundus. Indignatio vero mediocritas est inter invidentiam et malevolentiam alienis malis lætantem interjecta: versantur autem in molestiis ac voluptatibus ob ea commoda susceptis, quæ alteri obtigerunt: nam qui ad indignandum propensus est, is dolet eorum rebus secundis, qui eis indigni sunt: invidus hunc superans, rebus omnium secundis contabescit: at malevolus alienis malis lætans ex incommodis aliorum non modo molestia ac dolore non afficitur, verum etiam voluptate perfunditur. Sed de his quidem alibi suo loco ac tempore dicemus: de justitia autem, quoniam non simpliciter nec uno modo dicitur, deinceps divisione ejus in duas partes facta, quemadmodum ambæ sint mediocritates, ostendemus: itemque de virtutibus iis, quæ rationem attingunt, disseremus.

ΚΕΦ. η'.

[1]ΤΡΙΩΝ δὲ διαθέσεων οὐσῶν, δύο μὲν [e]κακιῶν, τῆς μὲν καθ' ὑπερβολὴν, τῆς δὲ κατ' ἔλλειψιν, μιᾶς δὲ ἀρετῆς τῆς μεσότητος, πᾶσαι πάσαις ἀντίκεινταί πως· αἱ μὲν γὰρ ἄκραι καὶ τῇ μέσῃ, καὶ ἀλλήλαις ἐναντίαι εἰσὶν, ἡ δὲ μέση ταῖς ἄκραις. Ὥσπερ γὰρ τὸ ἴσον πρὸς μὲν τὸ ἔλαττον, μεῖζον, πρὸς δὲ τὸ μεῖζον, ἔλαττον· οὕτως αἱ μέσαι ἕξεις πρὸς μὲν τὰς ἐλλείψεις ὑπερβάλλουσι, πρὸς δὲ τὰς ὑπερβολὰς ἐλλείπουσιν, ἔν τε τοῖς πάθεσι, καὶ ταῖς πράξεσιν· ὁ γὰρ ἀνδρεῖος πρὸς μὲν τὸν δειλὸν θρασὺς φαίνεται, πρὸς δὲ τὸν θρασὺν δειλός. Ὁμοίως δὲ καὶ ὁ σώφρων πρὸς μὲν τὸν ἀναίσθητον ἀκόλαστος, πρὸς δὲ τὸν ἀκόλαστον ἀναίσθητος· ὁ δ' ἐλευθέριος πρὸς μὲν τὸν ἀνελεύθερον ἄσωτος, πρὸς δὲ τὸν ἄσωτον ἀνελεύθερος· διὸ καὶ ἀπωθοῦνται [f]τὸν μέσον οἱ ἄκροι, ἑκάτερος πρὸς ἑκάτερον, καὶ καλοῦσι τὸν ἀνδρεῖον, ὁ μὲν δειλὸς θρασὺν, ὁ δὲ θρασὺς δειλόν· καὶ ἐπὶ τῶν ἄλλων ἀνάλογον. Οὕτω δ' ἀντι-

[1] Magn. Moral. lib. i. cap. 9. [e] Κακῶν pro κακιῶν habet Cam. [f] Τὸ μέσον Cam. Bas. Ven. 1. et 2.

CAP. VIII.

CUM sint autem affectiones tres, nempe duo vitia, quorum alterum modum superat, deserit alterum, una virtus, quæ mediocritas est, omnes inter se quodammodo pugnant: nam extremæ et cum media, et inter se pugnant, et cum extremis media. Quemadmodum enim si id, quod æquale est, cum eo, quod minus est, comparetur, majus est, si cum majore, minus: sic medii habitus, si cum iis, qui modum deserunt, comparentur, superant, si cum iis, qui superant, deserunt, tum in affectibus, tum in actionibus: fortis enim ad ignavum audax, ad audacem ignavus ac timidus videtur. Similiterque temperans ad eum, quem sensus expertem diximus, intemperans, ad intemperantem sensus expers habetur: liberalis autem si cum illiberali conferatur, prodigus, si cum prodigo, illiberalis existimatur: idcirco et medium uterque extremorum alter ad alterum propulsat, fortemque timidus audacem, audax timidum nominat: et ita æqua proportione se res habet in aliis. Cum hæc autem ita

κειμένων ἀλλήλοις τούτων, [g] πλείων ἐναντιότης ἐστὶ τοῖς ἄκροις πρὸς ἄλληλα, ἢ πρὸς τὸ μέσον· ποῤῥωτέρω γὰρ ταῦτα [h] ἀφέστηκεν ἀλλήλων, ἢ τοῦ μέσου· ὥσπερ τὸ μέγα τοῦ μικροῦ, καὶ τὸ μικρὸν τοῦ μεγάλου, ἢ ἄμφω τοῦ ἴσου. Ἔτι πρὸς μὲν τὸ μέσον ἐνίοις ἄκροις ὁμοιότης τις φαίνεται, ὡς τῇ θρασύτητι πρὸς τὴν ἀνδρίαν, καὶ τῇ ἀσωτίᾳ πρὸς τὴν ἐλευθεριότητα· τοῖς δὲ ἄκροις πρὸς ἄλληλα πλείστη ἀνομοιότης· τὰ δὲ πλεῖστον ἀπέχοντα ἀλλήλων ἐναντία ὁρίζονται· ὥστε καὶ μᾶλλον ἐναντία τὰ πλεῖον ἀπέχοντα. Πρὸς δὲ τὸ μέσον [i] ἀντίκειται ἐφ᾽ ὧν μὲν μᾶλλον ἡ ἔλλειψις, ἐφ᾽ ὧν δὲ ἡ ὑπερβολή· οἷον ἀνδρίᾳ μὲν οὐχ ἡ θρασύτης ὑπερβολὴ οὖσα, ἀλλ᾽ ἡ δειλία ἔλλειψις οὖσα· τῇ δὲ σωφροσύνῃ οὐχ ἡ ἀναισθησία ἔνδεια οὖσα, ἀλλ᾽ ἡ ἀκολασία ὑπερβολὴ οὖσα. Διὰ δύο δ᾽ αἰτίας τοῦτο συμβαίνει· μίαν μὲν τὴν ἐξ αὐτοῦ τοῦ πράγματος· τῷ γὰρ ἐγγύτερον εἶναι καὶ ὁμοιότερον τὸ ἕτερον ἄκρον τῷ μέσῳ, οὐ τοῦτο, ἀλλὰ τοὐναντίον ἀντιτίθεμεν μᾶλλον· οἷον ἐπεὶ ὁμοιότερον

[g] Πλείστη N C. et alii. [h] Ἀφεστήκασιν El. [i] Ἀντίκεινται El. et Aurel.

pugnent inter se, tum major extremorum inter se, quam cum medio, pugna est: quandoquidem longius abest alterum ab altero, quam utrumque a medio: quemadmodum magnum a parvo, et parvum a magno longius remotum est, quam utrumque ab æquali. Præterea vero quibusdam extremis cum medio similitudo quædam intercedere videtur, ut audaciæ cum fortitudine, profusioni cum liberalitate: extremis autem maxima esse inter se dissimilitudo: at ea, quæ plurimum distant inter se, definiuntur esse contraria: itaque etiam magis contraria sunt, quæ longius inter se disjuncta sunt. Cum medio autem parum in nonnullis magis pugnat, in quibusdam nimium: ut fortitudini non audacia, quæ modum superat, sed ignavia, quæ deserit, maxime adversatur: at cum temperantia non immanitas illa in voluptatibus aspernandis sensus expers, quæ modum deserit, sed intemperantia, quæ superat, maxime pugnat. Quod quidem duabus de causis accidit; quarum altera ex ipsa re ducitur: nam quia propius abest alterum extremum a medio, eique similius est, idcirco non hoc, sed contrarium potius illi opponimus: verbi gratia,

εἶναι δοκεῖ τῇ ἀνδρίᾳ ἡ θρασύτης καὶ ἐγγύτερον, ἀνομοιότερον δὲ ἡ δειλία, ταύτην μᾶλλον ἀντιτίθεμεν· τὰ γὰρ ἀπέχοντα πλεῖον τοῦ μέσου ἐναντιώτερα δοκεῖ εἶναι. Μία μὲν οὖν αἰτία αὕτη ἐξ αὐτοῦ τοῦ πράγματος· ἑτέρα δὲ ἐξ ἡμῶν αὐτῶν· πρὸς ἃ γὰρ αὐτοὶ μᾶλλον πεφύκαμέν πως, ταῦτα μᾶλλον ἐναντία τῷ μέσῳ φαίνεται· οἷον αὐτοὶ μᾶλλον πεφύκαμεν πρὸς τὰς ἡδονὰς, διὸ εὐκατάφοροί ἐσμεν [k] μᾶλλον πρὸς ἀκολασίαν, ἢ πρὸς κοσμιότητα. Ταῦτ᾽ οὖν μᾶλλον ἐναντία λέγομεν, [l] πρὸς ἃ ἡ ἐπίδοσις μᾶλλον γίνεται· καὶ διὰ τοῦτο ἡ ἀκολασία ὑπερβολὴ οὖσα ἐναντιωτέρα ἐστὶ τῇ σωφροσύνῃ.

ΚΕΦ. θ'.

ΟΤΙ μὲν οὖν ἐστιν ἡ ἀρετὴ ἡ ἠθικὴ μεσότης, καὶ πῶς, καὶ ὅτι μεσότης δύο κακιῶν, τῆς μὲν καθ᾽ ὑπερβολὴν, τῆς δὲ κατ᾽ ἔλλειψιν, καὶ ὅτι τοιαύτη ἐστὶ διὰ τὸ στοχαστικὴ τοῦ μέσου εἶναι τοῦ ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσιν, ἱκανῶς εἴρηται.

[k] Μᾶλλον abest a nostris MSS. Ven. 1. et 2. [l] Ἡ οὖν ἐπίδοσις γίνεται μᾶλλον πρὸς ἃ πεφύκαμεν· πρὸς ἃ δὲ μᾶλλον ἐπιδίδομεν, ταῦτα καὶ μᾶλλον ἐναντία. Magn. Moral. lib. i. cap. 9.

quoniam fortitudini similior et propior esse videtur audacia, dissimilior ignavia, propterea hanc potius, quam illam, ei opponimus: quæ enim longius absunt a medio, videntur esse magis contraria. Atque hæc quidem causa ex ipsa re trahitur: altera est, quæ a nobis ipsis ducitur: nam ad quæ vitia procliviores sumus natura, ea medio magis contraria videntur esse: ut quia nos ad voluptates natura finxit proniores, idcirco ad intemperantiam facilius quam ad temperantiam impellimur ac prolabimur. Quapropter hæc magis contraria dicuntur, ad quæ progressio magis fieri solet: atque ideo intemperantia, quæ nimius habitus est, temperantiæ contraria magis est, quam alterum extremum.

CAP. IX.

VIRTUTEM igitur eam, quæ moralis appellatur, medium seu mediocritatem esse, et quomodo sit mediocritas, ac duorum vitiorum esse mediocritatem, quæ sunt nimium, et parum, talem denique eo esse, quod eam mediocritatem, quæ in affectibus atque actionibus inest, sibi propositam habeat, tanquam signum, satis demonstratum

Διὸ ϗ ἔργον ἐστὶ σπουδαῖον εἶναι· ἐν ἑκάστῳ γὰρ τὸ μέσον λαβεῖν, ἔργον· οἷον κύκλου τὸ μέσον οὐ παντὸς, ἀλλὰ τοῦ εἰδότος· οὕτω δὲ καὶ τὸ μὲν ὀργισθῆναι παντὸς ϗ ῥᾴδιον, καὶ τὸ δοῦναι ἀργύριον καὶ δαπανῆσαι· τὸ δὲ ᾧ, καὶ ὅσον, καὶ ὅτε, καὶ οὗ ἕνεκα, καὶ ὡς, [m] *οὐκ ἔτι παντὸς, οὐδὲ ῥᾴδιον·* [n] *ὅπερ ἐστὶ τὸ εὖ, καὶ σπάνιον,* [o] *καὶ ἐπαινετὸν,* [p] *καὶ καλόν. Διὸ δεῖ τὸν στοχαζόμενον τοῦ μέσου, πρῶτον μὲν ἀποχωρεῖν τοῦ μᾶλλον ἐναντίου, καθάπερ καὶ ἡ* [q] Καλυψὼ *παρήνει τὸ,*

[r] ——*τοῦ μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε*
Νῆα.——

τῶν γὰρ ἄκρων τὸ μέν ἐστιν ἁμαρτωλότερον, τὸ δὲ ἧττον. Ἐπεὶ

[m] *Οὐκ ἔστι παντὸς* Ven. 1. 2. et Bas. [n] *Διόπερ* C C C. Ven. 1. 2. et Bas. ita et Casaub. qui dicit quosdam codd. *ὅπερ* legere, corrupto loco ob finem loci præcedentis. Sed, cum tanti Viri venia, *ὅπερ* omnino retinendum esse sentio, cum in optimis codd. occurrat, optime cum præcedentibus conveniat, et ab Andronici paraphrasi confirmetur, quæ hujusmodi est: *τὸ δὲ ὡς δεῖ, καὶ ὅτε δεῖ, καὶ πρὸς τίνα, καὶ ὅσον καὶ τίνος ἕνεκα, ὅπερ ἐστὶ τὸ μέσον, καὶ τὸ εὖ, καὶ σπάνιον καὶ ἐπαινετὸν, καὶ καλὸν, τοῦτο δὲ οὐ ῥᾴδιον, οὐδὲ τοῦ βουλομένου παντός.* [o] Ὃ ϗ *ἐπαινετὸν* N C. [p] Ὃ ϗ *καλὸν* Ven. 1. 2. et Bas. [q] *Κίρκη* pro *Καλυψὼ* habet C C C. ex errore librarii Aristotelem errantem male corrigentis: quæ enim sequuntur nec a Calypsone, ut memoria lapsus ait Philosophus, neque a Circe, sed ab Ulysse (instructo tamen prius a Circe) jam inter Scyllam Charybdimque navigaturo, gubernatorem hortante ut Charybdis fumum fluctumque fugiat, ac potius navem Scyllam versus dirigat, quod minus periculi ab ea impendebat: ita enim admonuerat Circe hisce verbis:

Ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος, ὦκα
Νῆα παρὲξ ἐλάαν.— Ὀδ. *μ'*. v. 108.

[r] *Ὡς τοῦ* C C C Bas. Ven. 1. et 2. *τούτου* in vulg. editt. Homeri: versus est Ὀδ. *μ'*. v. 219.

esse arbitror. Quocirca etiam difficile atque operosum est virtute esse præditum: magni enim negotii est in unaquaque re medium consequi: ut circuli punctum medium reperire non cujuslibet, sed scientis atque intelligentis hominis est: itemque irasci, et pecuniam donare, et sumptum facere, cujuslibet hominis est, et facile: irasci vero, et pecuniam donare, cui, et quantum, et quo tempore, et cujus rei causa, et quomodo irascendum ac donandum est, neque cujuslibet hominis, neque facile est: quod rectum, et rarum, et laudabile, et honestum est. Oportet igitur eum, qui medium veluti collineando petit, primum omnium se ab eo, quod magis contrarium est, longissime removere, quemadmodum et suadebat Calypso,

Tu procul a fumo et fluctu prohibeto carinam:

extremorum enim alterum majus peccatum est, alterum

οὖν τοῦ μέσου τυχεῖν ἄκρως χαλεπὸν, [a] κατὰ τὸν δεύτερον, φασὶ, πλοῦν, τὰ ἐλάχιστα ληπτέον τῶν κακῶν· τοῦτο δ' ἔσται μάλιστα τοῦτον τὸν τρόπον, ὃν ἐλέγομεν. Σκοπεῖν δὲ δεῖ πρὸς ἃ καὶ αὐτοὶ εὐκατάφοροί ἐσμεν· ἄλλοι γὰρ πρὸς ἄλλα πεφύκαμεν· τοῦτο δ' ἔσται γνώριμον ἐκ τῆς ἡδονῆς καὶ τῆς λύπης τῆς γινομένης περὶ ἡμᾶς. Εἰς τοὐναντίον δ' ἑαυτοὺς ἀφέλκειν δεῖ· πολὺ γὰρ ἀπαγαγόντες τοῦ ἁμαρτάνειν, εἰς τὸ μέσον ἥξομεν· ὅπερ οἱ τὰ διεστραμμένα τῶν ξύλων ὀρθοῦντες ποιοῦσιν. Ἐν παντὶ δὲ μάλιστα φυλακτέον τὸ ἡδὺ, καὶ τὴν ἡδονήν· οὐ γὰρ ἀδέκαστοι κρίνομεν αὐτήν. Ὅπερ οὖν [t] οἱ δημογέροντες ἔπαθον πρὸς τὴν Ἑλένην, τοῦτο δεῖ παθεῖν καὶ ἡμᾶς πρὸς τὴν ἡδονὴν, καὶ ἐν πᾶσι τὴν ἐκείνων ἐπιλέγειν φωνήν· οὕτω γὰρ αὐτὴν ἀποπεμπόμενοι ἧττον ἁμαρτησόμεθα. Ταῦτ' οὖν ποιοῦντες, ὡς ἐν

[a] Secunda navigatio non sic accipienda est, ut prosperam significet: sed si prima navigatione destituimur, utendum esse secunda: si velis non possumus, utamur remigio. *Gruch.*

[t] Ὅπερ οὖν οἱ δημογέροντες τῶν Τρώων πρὸς τὴν Ἑλένην ἔπαθον, καλὴν μὲν εἰπόντες αὐτὴν, καὶ τοῦ κάλλους θαυμάσαντες, ψηφισάμενοι δὲ καὶ οὕτως ἔχουσαν ἀποπέμψαι πρὸς τοὺς Ἕλληνας· τοῦτο δεῖ παθεῖν καὶ ἡμᾶς πρὸς τὴν ἡδονήν. *Quemadmodum ergo proceres illi Homerici de Helena sentiebant, quam ut pulchram esse concedebant, immo propter formæ elegantiam admirabantur, ita ablegandam tamen esse ad Græcos judicabant, quamvis talis esset: eodem modo nobis de voluptate sentiendum est.* Andr. Vide Hom. Iliad. lib. γ΄. v. 156.

minus. Quoniam igitur medium assequi summæ difficultatis est, secunda (ut aiunt) navigatione, minima de malis: hoc autem hac ratione continget maxime, quam ostendebamus. Videndum est autem, ad quæ vitia simus etiam ipsi proniores: alii enim ad alia procliviores sumus natura: quod quidem ex ea voluptate et ea ægritudine, qua afficimur, facile cognosci poterit. Sed nos ipsos ab ea in contrariam partem oportet abstrahere: nam cum longissime nos a peccato removerimus, ad id, quod medium est, veniemus: quod sane faciunt ii, qui ligna distorta dirigunt. In omni autem negotio quicquid jucundum est, ipsamque adeo voluptatem, summo studio vitare oportet: ejus enim non incorrupti judices sumus. Quocirca quemadmodum erga Helenam senes illi fuerunt animati, sic et nos oportet in voluptatem animatos esse, rebusque omnibus illorum vocem subjicere: nam cum eam ita amandabimus missamque faciemus, levius peccabimus. His igitur faciendis (ut eorum, quæ dixi, summam faciam) mediocritatem facilli-

κεφαλαίῳ εἰπεῖν, μάλιστα δυνησόμεθα τοῦ μέσου τυγχάνειν. Χαλεπὸν δὲ ἴσως τοῦτο, καὶ μάλιστ' ἐν τοῖς καθ' ἕκαστον· οὐ γὰρ ῥᾴδιον διορίσαι, πῶς, καὶ τίσι, καὶ ἐπὶ ποίοις, καὶ πόσον χρόνον ὀργιστέον· καὶ γὰρ ἡμεῖς ὁτὲ μὲν τοὺς ἐλλείποντας ἐπαινοῦμεν, καὶ πρᾴους φαμέν· ὁτὲ δὲ τοὺς χαλεπαίνοντας, [u] καὶ ἀνδρώδεις ἀποκαλοῦμεν· ἀλλ' ὁ μὲν μικρὸν τοῦ εὖ παρεκβαίνων, οὐ ψέγεται, οὔτ' ἐπὶ τὸ μᾶλλον, οὔτ' ἐπὶ τὸ ἧττον· ὁ δὲ πλέον· οὗτος γὰρ οὐ λανθάνει. Ὁ δὲ μέχρι τίνος καὶ ἐπὶ πόσον ψεκτὸς, οὐ ῥᾴδιον τῷ λόγῳ [x] ἀφορίσαι· οὐδὲ γὰρ ἄλλο οὐδὲν τῶν αἰσθητῶν· τὰ δὲ τοιαῦτα ἐν τοῖς καθ' ἕκαστα, καὶ ἐν τῇ αἰσθήσει ἡ κρίσις. Τὸ μὲν ἄρα τοσοῦτον [y] δῆλοι, ὅτι ἡ μέση ἕξις ἐν πᾶσιν ἐπαινετή· ἀποκλίνειν δὲ δεῖ, ποτὲ μὲν ἐπὶ τὴν ὑπερβολὴν, ποτὲ δὲ ἐπὶ τὴν ἔλλειψιν· οὕτω γὰρ ῥᾷστα τοῦ μέσου καὶ τοῦ εὖ τευξόμεθα.

[u] Καὶ abest a N C. El. et quibusdam impressis: Andron. vero nobiscum legit.
[x] Sc. καθόλου, *in genere*. [y] Δῆλον lege ut infra lib. iv. cap. 5. ἀλλὰ τό γε τοσοῦτον δῆλον, ὅτι ἡ μὲν μέση. *Casaub.* δῆλον etiam quidam codd. MSS. apud Turnebum; quæ quidem scriptura est planior.

me assequemur. Est tamen et hæc ratio fortasse, difficilis et laboriosa, præsertim in rebus singularibus: neque enim facile est distinguere, quonam modo, quibus hominibus, quibus de causis, et quamdiu sit irascendum: nos enim interdum eos homines, qui parum irascuntur, laudamus, et lenes appellamus: interdum eos, qui graviter succensent, animoque virili hos esse dicimus. At qui paulum a perfectione deflectit, sive modum aliquantulum superet, sive aliquantulum deserat, non vituperatur: sed is tantum, qui longius, quam par sit, ab eo discedit: hic enim non ignoratur, neque obscurus est. Quatenus autem, et quantum irascatur is, qui vituperabilis est, non est facile oratione definire; ut neque aliud quidquam eorum, quæ sensibus subjecta sunt: quæ sunt autem hujusmodi, in rebus singularibus posita sunt, ac de iis judicat sensus. Hoc igitur quod hactenus a nobis dictum est, ostendit ac declarat mediocrem habitum in omnibus esse laudabilem: declinandum est autem nunc ad nimium, nunc ad id, quod est parum: sic enim id, quod medium et perfectum est, facillime consequemur.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Γ'.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. III.

ΚΕΦ. α'.

ΤΗΣ[1] ἀρετῆς [a]δὴ περὶ πάθη τε καὶ πράξεις οὔσης, καὶ [b]ἐν μὲν τοῖς ἑκουσίοις ἐπαίνων καὶ ψόγων γινομένων, ἐν δὲ τοῖς ἀκουσίοις συγγνώμης, ἐνίοτε δὲ καὶ ἐλέου, τὸ ἑκούσιον καὶ ἀκούσιον ἀναγκαῖον ἴσως διορίσαι τοῖς περὶ [c]ἀρετῆς ἐπισκοποῦσι. Χρήσιμον δὲ καὶ τοῖς νομοθετοῦσι πρός τε τὰς τιμὰς καὶ τὰς κολάσεις. Δοκεῖ δὲ ἀκούσια εἶναι τὰ βίᾳ ἢ δι' ἄγνοιαν

[1] Magn. Moral. lib. i. cap. 3. et Eud. lib. ii. cap. 7.
[a] Δὲ N C. Ven. 1. et 2.
[b] Ἐπὶ τοῖς ἑκουσ. et paulo post ἐπὶ δὲ τοῖς ἀκουσ. El.
[c] Ἀρετὴν N C. Ven. 1. et 2.

CAP. I.

CUM igitur virtus in affectibus et actionibus versetur, cumque in iis rebus, quas sponte nostra suscipimus, laudes et vituperationes locum habeant, iis autem, quas inviti facimus, venia atque etiam interdum misericordia tribuatur, necesse est fortasse iis qui virtutis vim naturamque quærunt, id, quod sponte, et id quod invite fit definire, ac distinguere. Atque hæc oratio latoribus legum quoque, tum ad honores bene meritis de republica decernendos, tum ad supplicia in improbos constituenda, utilis est futura. Ea igitur suscipere dicimur inviti, quæ aut vi coacti, aut

γινόμενα· βίαιον δὲ, οὗ ἡ ἀρχὴ ἔξωθεν, τοιαύτη οὖσα, ἐν ᾗ μηδὲν συμβάλλεται ὁ πράττων, ἢ ὁ πάσχων· οἷον εἰ πνεῦμα [d]κομίσαιτό ποι, ἢ ἄνθρωποι κύριοι ὄντες. Ὅσα δὲ διὰ φόβον μειζόνων κακῶν πράττεται, ἢ διὰ καλόν τι· οἷον εἰ τύραννος προστάττοι αἰσχρόν τι πρᾶξαι, κύριος ὢν γονέων καὶ τέκνων, καὶ [e]πράξαντος μὲν, σώζοιντο, μὴ πράξαντος δὲ, ἀποθνήσκοιεν· ἀμφισβήτησιν ἔχει πότερον ἀκούσιά ἐστιν, ἢ ἑκούσια. Τοιοῦτον δέ τι συμβαίνει καὶ περὶ τὰς ἐν τοῖς χειμῶσιν ἐκβολάς· ἁπλῶς μὲν γὰρ οὐδεὶς ἀποβάλλεται ἑκὼν, ἐπὶ σωτηρίᾳ δὲ αὑτοῦ καὶ τῶν λοιπῶν ἅπαντες οἱ νοῦν ἔχοντες. Μικταὶ μὲν οὖν εἰσιν αἱ τοιαῦται πράξεις· ἐοίκασι δὲ μᾶλλον ἑκουσίοις· αἱρεταὶ γάρ εἰσι τότε ὅτε πράττονται· τὸ δὲ τέλος τῆς πράξεως κατὰ τὸν καιρόν ἐστι. Καὶ τὸ ἑκούσιον δὴ καὶ τὸ ἀκούσιον, ὅτε πράττει, λεκτέον· πράττει δὲ ἑκών· καὶ γὰρ ἡ ἀρχὴ τοῦ κινεῖν τὰ ὀργανικὰ μέρη ἐν ταῖς τοιαύταις

[d] Κομίσαι El. et Cam. [e] Πράξαντες μὲν σώζοιντο, μὴ πράξαντες δὲ ἀποθνήσκοιεν nostri MSS. et alii: minus recte, ut videtur: nobiscum facit Andr.

per inscientiam aguntur: est autem id violentum, cujus principium extra est, atque ejusmodi, ut nihil adjumenti afferat is, qui agit, aut qui patitur: ut si quo ventus detulerit, aut ii homines, quorum sub potestate sumus. Quæcunque vero majorum malorum metu, vel honesti alicujus causa aguntur (verbi gratia, si quis tyrannus, cujus in manu, parentum et liberorum vita posita sit, alicui ut turpe quippiam faciat imperet, ita ut illi, si agat, salvi sint, si non agat, moriantur) utrum hæc sponte an invite fiant, ambigi potest. Eademque de jacturis, quæ tempestate in mari coorta fieri solent, controversia esse potest: simpliciter enim et absolute nemo sua sponte rerum suarum jacturam facit, sed suæ ac cæterorum salutis causa omnes faciunt, qui modo sanæ mentis sint. Mixtæ igitur sunt tales actiones: sed tamen eis, quæ sponte aguntur, similiores esse videntur: sunt enim optabiles et eligendæ tum cum aguntur: actionis autem finis secundum opportunitatem temporis est. Sponte quinetiam agi aliquid, vel invite dicendum est, tum cum agitur: at sponte agit: in eo enim est partium movendarum, earum, quæ instrumentorum locum obtinent in hujusmodi actionibus, princi-

πράξεσιν ἐν αὐτῷ ἐστιν· ὧν δ' ἐν αὐτῷ ἡ ἀρχὴ, ἐπ' αὐτῷ καὶ τὸ πράττειν καὶ μή. Ἑκούσια δὴ τὰ τοιαῦτα· ἁπλῶς δ' ἴσως ἀκούσια· οὐδεὶς γὰρ ἂν ἕλοιτο καθ' αὑτὸ τῶν τοιούτων οὐδέν. Ἐπὶ ταῖς πράξεσι δὲ ταῖς τοιαύταις ἐνίοτε καὶ ἐπαινοῦνται, ὅταν αἰσχρόν τι ἢ λυπηρὸν ὑπομένωσιν ἀντὶ μεγάλων καὶ καλῶν· ἂν δ' ἀνάπαλιν, ψέγονται· τὰ γὰρ αἴσχισθ' ὑπομεῖναι ἐπὶ μηδενὶ καλῷ ἢ μετρίῳ, [f]φαύλου. Ἐπ' ἐνίοις δ' ἔπαινος μὲν οὐ γίνεται, συγγνώμη δὲ, ὅταν διὰ τοιαῦτα πράξῃ τις ἃ μὴ δεῖ, ἃ καὶ τὴν ἀνθρωπίνην φύσιν ὑπερτείνει, καὶ μηδεὶς ἂν [g]ὑπομεῖναι. Ἔνια δ' ἴσως οὐκ ἔστιν ἀναγκασθῆναι, ἀλλὰ μᾶλλον [h]ἀποθανετέον, παθόντα τὰ δεινότατα· [i]καὶ γὰρ τὸν Εὐριπίδου Ἀλκμαίωνα γελοῖα φαίνεται τὰ ἀναγκάσαντα μητροκτονῆσαι. Ἔστι δὲ χαλεπὸν ἐνίοτε [k]τὸ κρῖναι ποῖον ἀντὶ ποίου αἱρετέον, καὶ τί ἀντὶ τίνος [l]ὑπομενετέον· ἔτι δὲ χαλεπώ-

[f] Φαῦλον Ven. 1. et Bas. [g] Ὑπομείνειε Bas. [h] Ἀποθανατέον nostri MSS. Cam. et Bas. [i] Cum tragœdia illa ab Euripide scripta de Alcmæone, qui matrem suam interfecit, ad nos non pervenerit, ignorantur prorsus illa, a quibus ut tantum facinus patraret adductus erat. Vide Vict. et Zuing. [k] Διακρῖναι C C C. et Andr. [l] Γρ. ὑπομενητέον.

pium: quarum autem rerum in aliquo principia insunt, earum quoque agendarum, vel non agendarum, penes eum potestas est. Hæc igitur talia sponte aguntur: simpliciter autem fortassis invite: nemo enim quicquam tale ipsum propter se optaverit. Jam vero in talibus actionibus homines interdum laudibus efferuntur, cum magnarum atque honestarum rerum causa turpitudinem, aut molestiam aliquam subierint ac pertulerint: quod si aliter faciant, vituperantur: nam res turpissimas nullius honestæ rei, aut mediocris gratia sufferre, improbi hominis est. Sunt deinde quædam alia, propter quæ laus quidem nulla tribuitur, sed venia datur duntaxat, cum ea quis egerit, quæ non sint agenda, iis rebus compulsus, quæ humanam naturam superant, quasque nemo perferre queat. Sunt autem fortasse nonnulla ejusmodi, ut nulla vi aut necessitate coacti ea agere debeamus, potiusque nobis mors sit oppetenda, gravissimique cruciatus perferendi: etenim ridicula videntur ea, quæ Alcmæonem Euripidis, ut matrem interficeret, impulerunt. Difficile est autem interdum quid cui anteponendum sit, quidque pro quo perferendum, judicare:

τερον τὸ ἐμμεῖναι τοῖς γνωσθεῖσιν· ὡς γὰρ ἐπὶ τὸ πολύ ἐστι τὰ μὲν προσδοκώμενα λυπηρὰ, [m] τὰ δ᾽ ἀναγκαζόμενα αἰσχρά· ὅθεν ἔπαινοι καὶ ψόγοι γίνονται περὶ τοὺς ἀναγκασθέντας, ἢ μή. Τὰ δὴ ποῖα φατέον βίαια; ἢ ἁπλῶς μὲν, ὁπότ᾽ ἂν ἡ αἰτία ἐν τοῖς ἐκτὸς ᾖ, καὶ ὁ πράττων μηδὲν συμβάλληται; ἃ δὲ καθ᾽ αὑτὰ μὲν ἀκούσιά ἐστι, νῦν δὲ καὶ ἀντὶ τῶνδε αἱρετὰ, καὶ ἡ ἀρχὴ ἐν τῷ πράττοντι, καθ᾽ αὑτὰ μὲν ἀκούσιά ἐστι, νῦν δὲ καὶ ἀντὶ τῶνδε ἑκούσια· μᾶλλον δὲ ἔοικεν ἑκουσίοις· [n] αἱ γὰρ πράξεις ἐν τοῖς καθ᾽ ἕκαστα· ταῦτα δὲ ἑκούσια. Ποῖα δ᾽ ἀντὶ ποίων αἱρετέον, οὐ ῥᾴδιον ἀποδοῦναι· πολλαὶ γὰρ διαφοραί εἰσιν ἐν τοῖς καθ᾽ ἕκαστα. Εἰ δέ τις τὰ ἡδέα καὶ τὰ [o] καλὰ φαίη βίαια εἶναι· [p] ἀναγκάζειν γὰρ, ἔξω ὄντα· πάντα ἂν εἴη

[m] Ita Casaub. et Turneb. ex suis codd. MSS. ἃ δ᾽ ἀναγκάζονται Argyr. ἃ ἀναγκαζόμεθα ποιεῖν Andr. quarum omnium lectionum una et eadem sententia est, atque ad hunc locum accommodata: vulgata autem lectio τὰ ἀναγκάζοντα, ut annotavit Lambinus, corrupta et inepta est. [n] Αἱ γὰρ πράξεις ἀεὶ ἐν τοῖς μερικοῖς γίνονται, ἐν οἷς ἀεὶ καὶ ὁ καιρὸς, καὶ ὁ τόπος, καὶ ἡ αἰτία· ταῦτα δὲ ἑκουσίους τὰς τοιαύτας πράξεις ποιοῦσι. *Andr.* [o] Λυπηρὰ pro καλὰ Zuing. Utrumque delendum volunt Lambinus et Muret. quos videas. Nobiscum facit Andr. Vide Vict. qui τὰ καλὰ vult dici *formosa*, non *honesta*. [p] Ἀνάγκη Ven. 1. 2. et Bas. ὅτι αὐτὰ κινεῖ καὶ ἀναγκάζει ποιεῖν τοὺς ποιοῦντας τῷ κάλλει καὶ τῇ ἡδονῇ, ἔξωθεν ὄντα. *Andr.*

difficilius vero etiam est in eo, quod decretum sit, perstare ac perseverare; fere enim ea quidem quæ expectantur, molesta sunt, ea autem, ad quæ impelluntur homines, turpia: hinc laudes et vituperationes eos, qui ad agendum necessitate coacti fuerunt, consequuntur, aut non consequuntur. Quænam igitur violenta sunt dicenda? an simpliciter et proprie, cum causa in eis est, quæ sunt extra, et is qui agit nihil operæ ad actionem confert? quæ autem per se quidem invite suscepta sunt, sed hoc tempore, et in horum locum optabilia, quorum denique principium est in eo, qui agit, ea per se quidem invite suscepta sunt, verum hoc puncto temporis, et in horum locum sponte suscepta: iis tamen, quæ sponte suscipiuntur, sunt similiora: nam in rebus singularibus versantur actiones: at res singulares sponte aguntur. Quæ autem quibus optabiliora sint non est facile verbis ostendere: multæ enim sunt in rebus singularibus differentiæ. Quod si quis dicat ea quæ jucunda sunt esse violenta (cogere enim, cum extra sint) hac ratione erunt omnia violenta: horum enim

οὕτω βίαια· τούτων γὰρ χάριν πάντα πάντες πράττουσι· [q] καὶ οἱ μὲν βίᾳ, καὶ ἄκοντες, [r] λυπηρῶς· οἱ δὲ [s] διὰ τὸ ἡδὺ, μεθ' ἡδονῆς. [t] Γελοῖον δὴ τὸ αἰτιᾶσθαι τὰ ἐκτὸς, ἀλλὰ μὴ αὐτὸν, εὐθήρατον ὄντα ὑπὸ τῶν τοιούτων, καὶ τῶν μὲν καλῶν ἑαυτὸν, τῶν δὲ αἰσχρῶν τὰ ἡδέα. Ἔοικε [u] δὴ τὸ βίαιον εἶναι, οὗ ἔξωθεν ἡ ἀρχὴ, μηδὲν συμβαλλομένου τοῦ βιασθέντος. Τὸ δὲ δι' ἄγνοιαν, [x] οὐχ ἑκούσιον μὲν ἅπαν ἐστίν· ἀκούσιον δὲ τὸ ἐπίλυπον καὶ ἐν μεταμελείᾳ· ὁ γὰρ δι' ἄγνοιαν πράξας ὁτιοῦν, μηδὲν δὲ δυσχεραίνων ἐπὶ τῇ πράξει, ἑκὼν μὲν οὐ πέπραχεν, ὅ γε μὴ ᾔδει· οὐδ' αὖ ἄκων, μὴ λυπούμενός γε. Τοῦ δὴ δι' ἄγνοιαν, ὁ μὲν ἐν μεταμελείᾳ ἄκων δοκεῖ· ὁ δὲ μὴ μεταμελόμενος, ἐπεὶ

[q] Καὶ οἱ μὲν βίᾳ &c. argumentum esse a superiore diversum volunt Muret. Lamb. et plurimi alii interpretes: a quibus dissentiunt Victorius et Andron. qui solummodo confirmationem ejus quod jam erat dictum esse censent. Andr. sic explicat: Πάντα γὰρ ὅσα πράττομεν, ἕνεκα τοῦ νομίζειν, ὅτι καλὰ, ἢ ἡδέα πράττομεν· καὶ μέν τινα λυπούμενοι πράττομεν, ὅσα ποιοῦμεν ἔξωθεν βιαζόμενοι, τινὰ δὲ μεθ' ἡδονῆς, ὅσα ἑκόντες αὐτοὶ ποιοῦμεν, τοῦ ἡδέος ἕνεκα. Πάντα δὲ ἕνεκά τινος καλοῦ ἢ ἡδέος ποιοῦμεν· καὶ γὰρ ἃ λυπηρὰ ποιοῦμεν ἀναγκαζόμενοι, τῆς ἡδονῆς ἕνεκα ποιοῦμεν· ποιοῦμεν γὰρ ἵνα φύγωμεν τὰ λυπηρότερα· τοῦτο δὲ τὴν ἡδονήν ἐστι διώκειν· διὰ τοῦτο οὐ δεῖ τὰ καλὰ καὶ ἡδέα βίαια λέγειν. [r] Λυπηρὸν Ven. 1. 2. et Bas. [s] Διὰ τὸ ἡδὺ τὸ καλὸν, μεθ. ἡδ. Ven. 1. 2. et Bas. διὰ τὸ ἡδὺ ἢ τὸ καλὸν N C. [t] Γελοῖον δὲ N C. et Vet. Interp. ἄλλως τε καὶ γελοῖόν ἐστιν αἴτια νομίζειν τῶν πράξεων τὰ ἔξωθεν καλὰ καὶ ἡδέα, καὶ μὴ ἑαυτὸν ὑπὸ τούτων ῥᾳδίως ἁλισκόμενον. *Andr.* γελοῖον δὴ &c. tertium esse argumentum, καὶ τῶν μὲν καλῶν &c. quartum, et ἔοικε δὴ τὸ &c. quintum ad probandum τὰ ἡδέα μὴ βίαια εἶναι volunt Muret. et Aquinas, quos videsis. [u] Δὲ N C. Ven. 2. [x] Eud. lib. ii. cap. 7. 8. et 9.

gratia agunt omnes omnia: et qui vi aliqua coacti, atque inviti agunt, moleste ferunt: qui autem jucundo ad agendum invitantur, cum voluptate et jucunde agunt. Ridiculum igitur fuerit ea, quæ extra sunt, accusare, non seipsum potius, qui a talibus rebus facile capiatur, et rerum quidem honestarum in se ipsum, turpium in jucunda, causam conferre. Violentum igitur id esse videtur, cujus principium extra est, cum id, cui vis affertur, nullam operam conferat. Quod autem fit per inscientiam, fit omne illud quidem non sponte: invite autem id sane fieri dicendum, quod subsequitur dolor, cujusque eum, qui egit, pœnitet: nam qui per inscientiam quidlibet egerit, neque ex ea actione dolore afficiatur, sponte ille quidem non egit, utpote quod nesciebat: neque rursum invitus, quippe qui dolore non afficiatur. Eorum igitur, qui per inscientiam agunt, is, quem facti pœnitet, invitus egisse videtur: quem vero non pœnitet, quoniam alius est ab illo, egisse non

ἕτερος, ἔστω οὐχ ἑκών· ἐπεὶ γὰρ διαφέρει, βέλτιον ὄνομα [x] ἔχει ἴδιον. Ἕτερον δὲ ἔοικε καὶ τὸ δι' ἄγνοιαν πράττειν [y] τοῦ ἀγνοοῦντα ποιεῖν· ὁ γὰρ μεθύων, ἢ ὀργιζόμενος, οὐ δοκεῖ δι' ἄγνοιαν πράττειν, ἀλλὰ διά τι τῶν εἰρημένων· οὐκ εἰδὼς δὲ, ἀλλ' ἀγνοῶν. Ἀγνοεῖ μὲν οὖν πᾶς ὁ μοχθηρὸς, ἃ δεῖ πράττειν, καὶ ὧν [z] δὴ ἀφεκτέον· καὶ διὰ τὴν τοιαύτην ἁμαρτίαν ἄδικοι καὶ ὅλως κακοὶ γίνονται. Τὸ δὲ ἀκούσιον βούλεται λέγεσθαι, οὐκ εἴ τις ἀγνοεῖ τὸ συμφέρον· οὐ γὰρ ἡ ἐν τῇ προαιρέσει ἄγνοια αἰτία τοῦ ἀκουσίου, ἀλλὰ τῆς μοχθηρίας· [a] οὐδ' ἡ καθόλου· ψέγονται γὰρ διά γε ταύτην· ἀλλ' ἡ καθ' ἕκαστα, ἐν οἷς καὶ περὶ ἃ ἡ πρᾶξις· ἐν τούτοις γὰρ καὶ ἔλεος, καὶ συγγνώμη· ὁ γὰρ τούτων τι ἀγνοῶν ἀκουσίως πράττει. Ἴσως οὖν οὐ χεῖρον διορίσαι αὐτὰ, τίνα, καὶ πόσα ἐστί· τίς τε δὴ, καὶ τί, καὶ περὶ τί, ἢ ἐν τίνι πράττει. ἐνίοτε δὲ καὶ τίνι, οἷον ὀργάνῳ, καὶ ἕνεκα

[x] Ἔχει C C C. et Bas. [y] Γρ. ἀγνοοῦντες. [z] Δὴ N C. et El. non agnoscunt.
[a] Οὐ γὰρ τὸ καθόλου περὶ τῆς μέθης ἀγνοεῖν ὅτι πονηρὸν, αἴτιον γίνεται τοῦ ἀκουσίου, ἀλλὰ τὸ ἀγνοῆσαι μερικῶς τήνδε τὴν μέθοδον· οἷον, φέρε εἰπεῖν, οὐκ εἰδότα μέχρι πόσου πιόντας ἔνι μεθύειν. *Nec enim si aliquis in genere ignorat malam esse ebrietatem, hoc inviti causa erit: sed quod sigillatim non constat nobis hæc ratio: ut, exempli gratia, si ignoremus quatenus bibendum sit ut inebriemur.* Andr.

sponte dicatur: satius est enim hunc, quandoquidem differt ab altero, nomen proprium habere. Aliud est autem per inscientiam agere, quam inscientem: ebrius enim, aut iratus agere per inscientiam non videtur, sed propter aliquid eorum, quæ dicta sunt: nec sciens vero, sed insciens, atque ignorans. Ignorat igitur sane improbus omnis, quænam sint agenda, et a quibus sit abstinendum: propterque hoc adeo peccatum homines efficiuntur injusti, et (ut semel dicam) mali. Actum autem ab invito dici debet, non si quis, quod expedit, nesciat: non enim ea inscientia, quæ in consilio versatur, causa est cur id quod agitur actum esse invite dicatur, sed improbitatis: neque rerum universarum inscientia; quoniam hæc vitio datur: sed rerum singularium, in quibus omnis actio versatur: in his enim venia et misericordia locum habent; et qui harum aliquam ignorat, invitus agit. Non erit igitur fortassis incommodum, quæ, et quot eæ sint, distinguere: sunt ergo hæ, quis, et quid agat, et in qua re versetur, aut insit actio: interdum vero et quo, veluti instrumento, et cujus

τίνος, οἷον σωτηρίας, καὶ πῶς, οἷον ἠρέμα, ἢ σφόδρα. Ἅπαντα μὲν οὖν ταῦτα οὐδεὶς ἂν ἀγνοήσειε, μὴ μαινόμενος· δῆλον δὲ ὡς οὐδὲ τὸν πράττοντα· πῶς γὰρ ἑαυτόν γε; ὃ δὲ πράττει, ἀγνοήσειεν ἄν τις· οἷον λέγοντές φασιν ἐκπεσεῖν [b] αὐτοὺς, ἢ οὐκ εἰδέναι ὅτι ἀπόῤῥητα ἦν, ὥσπερ [c] Αἰσχύλος τὰ μυστικά· ἢ δεῖξαι βουλόμενος, ἀφεῖναι, ὡς ὁ τὸν καταπέλτην. Οἰηθείη δ' ἄν τις καὶ τὸν υἱὸν πολέμιον εἶναι, ὥσπερ [d] ἡ Μερόπη· καὶ ἐσφαιρῶσθαι τὸ [e] λελογχωμένον δόρυ, ἢ τὸν λίθον κίσσηριν εἶναι, καὶ ἐπὶ σωτηρίᾳ παίσας, ἀποκτεῖναι ἄν, καὶ [f] δεῖξαι βουλόμενος, ὥσπερ οἱ [g] ἀκροχειριζόμενοι, πατάξειεν ἄν. Περὶ πάντα δὴ ταῦτα τῆς ἀγνοίας οὔσης, ἐν οἷς ἡ πρᾶξις, ὁ τούτων τι ἀγνοήσας, ἄκων δοκεῖ πεπραχέναι, καὶ μάλιστα ἐν τοῖς

[b] Αὐτοῖς Lamb. Vide Victorium. [c] Hujus Æschyli causæ meminit Clemens Alexandr. in II. Stromate hisce verbis: *Αἰσχύλος, τὰ μυστήρια ἐπὶ σκηνῆς ἐξειπὼν, ἐν Ἀρείῳ πάγῳ κριθεὶς, οὕτως ἀφείθη, ἐπιδείξας αὐτὸν μὴ μεμυημένον. Æschylus, qui in scena effatus mysteria, in Areopago dicta causa fuit absolutus, cum ostendisset se non esse mysteriis initiatum:* propter eaque ignorasse ea quæ dixerat esse mysteria, quæ modo initiatis nota esse possent. [d] Merope Cresphontem a se natum rata hostem esse, atque filium quem amiserat, interfecisse, sublata jam securi obtruncare aggrediebatur, fecissetque profecto, nisi ab alio, cui veritas ejus facti non ignota erat, fuisset inhibita. Vide Plutarchum περὶ σαρκοφαγίας λόγῳ β'. ad finem. [e] Γρ. λελογχευμένον. [f] Θίξαι pro δεῖξαι Turneb. [g] Ἀκροχειρίζειν est luctæ pars, cum primoribus tantum digitis insertis roboris faciunt periculum. Alter alteri δεῖξαι βουλόμενος, *ostendere volens*, monstrareque exercitationis rationem, forte graviter percutit, quem erudire studebat.

rei causa, verbi gratia, salutis, et quomodo, ut leniter, an vehementer. Hæc igitur omnia nemo ignoraverit, si modo non insaniat: perspicuum vero est neque eum, qui agit, ei ignotum fore: qui enim seipsum ignoret? sed accidere potest ut quis, quid agat, ignoret: ut ii, qui aliquid arcani enunciant, aiunt sibi ex ore excidisse, aut se nescivisse res esse tacendas ac reconditas, ut Æschylus mysteria: aut cum ostendere vellet quispiam, de manibus emisit, ut is, qui catapultam. Fieri autem potest ut aliquis etiam filium hostem esse existimet, ut Merope: et hastam sphæræ in modum esse obtusam, quæ mucronem habeat acutum, aut lapidem esse pumicem, et ut interficiat, qui salutis causa verberabat, et ut pulset is, qui ostendere, aut tangere volebat, ut pugiles qui summis manibus dimicant. Cum in his igitur omnibus inscientia versetur, in quibus actio consistit, is, qui eorum aliquid ignoravit, invitus fecisse videtur, ac multo quidem maxime in iis quæ

κυριωτάτοις· κυριώτατα δ' εἶναι δοκεῖ, ἐν οἷς ἡ πρᾶξις, καὶ οὗ ἕνεκα. Τοῦ δὴ κατὰ τὴν τοιαύτην ἄγνοιαν ἀκουσίου λεγομένου, ἔτι δεῖ τὴν πρᾶξιν λυπηρὰν εἶναι, καὶ ἐν μεταμελείᾳ. Ὄντος δ' ἀκουσίου τοῦ βιαίου καὶ δι' ἄγνοιαν, τὸ ἑκούσιον δόξειεν ἂν εἶναι, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, εἰδότι τὰ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις· ἴσως γὰρ οὐ καλῶς λέγεται τὸ ἀκούσια εἶναι τὰ [h]διὰ θυμὸν ἢ δι' ἐπιθυμίαν. Πρῶτον μὲν γὰρ οὐδὲν ἔτι τῶν ἄλλων ζώων ἑκουσίως πράξει, οὐδ' οἱ παῖδες· εἶτα πότερον οὐδὲν ἑκουσίως πράττομεν τῶν δι' ἐπιθυμίαν, ἢ θυμόν; ἢ τὰ καλὰ μὲν ἑκουσίως, τὰ δ' αἰσχρὰ ἀκουσίως; ἢ γελοῖον, ἑνός γε αἰτίου ὄντος; Ἄτοπον δὲ ἴσως τὸ [i]ἀκούσια φάναι, ὧν δεῖ ὀρέγεσθαι· δεῖ δὲ καὶ ὀργίζεσθαι ἐπί τισι, καὶ ἐπιθυμεῖν τινων· οἷον ὑγιείας καὶ μαθήσεως· δοκεῖ δὲ τὰ μὲν ἀκούσια λυπηρὰ εἶναι, τὰ δὲ κατ' ἐπιθυμίαν ἡδέα. [k]Ἔτι δὲ τί διαφέρει τῷ

h Ἢ διὰ θυμὸν Ven. 1. 2. et Bas. i Ἑκούσια pro ἀκούσια ponit Bas. in margine: sed ἀκούσια tueri potest clausula hujus capitis. *Sylb.* k Ἔτι δὲ τί διαφέρει, τῷ ἀκούσια εἶναι, τῶν κατὰ λογισμὸν, τὰ κατὰ θυμὸν ἁμαρτηθέντα; ita legendum

principem locum obtinent: ea autem principem locum videntur obtinere, in quibus et actio consistit, et id, cujus gratia actio suscipitur. Cum igitur ex tali inscientia invite factum nominetur, tum præterea actionem molestam esse oportet, ejusque illum qui agit pœnitere. Quoniam autem id invite factum dicitur, quod est violentum, et quod per inscientiam admissum est, sponte factum esse videri possit id, cujus principium est in eo qui agit, res singulares, eas, in quibus actio consistit, non ignorante: fortasse enim non recte illud dicitur, ea esse invite facta, quæ vel ira, vel cupiditate hortante fiunt. Nam primum si hoc ita erit, nulla præterea aliarum animantium sponte aget, ac ne pueri quidem: deinde nihilne eorum quæ ira, vel cupiditate incitati agimus, sponte agimus? an vero honesta sponte, turpia inviti? an hoc ridiculum est, cum præsertim una sit utrorumque causa? Absurdum vero fortasse etiam fuerit ea invite facta dicere, quæ sunt appetenda: atqui et ob aliquas causas irascendum est, et quædam sunt cupienda, ut bona valetudo, et doctrina: jam vero quæ invite fiunt, molestiam, quæ ex cupiditate vero voluptatem videntur afferre. Præterea quamobrem ea peccata, quæ ira

ἀκούσια εἶναι τὰ κατὰ λογισμὸν ἢ θυμὸν ἁμαρτηθέντα; φευκτὰ μὲν γὰρ ἄμφω· δοκεῖ δὲ οὐχ ἧττον ἀνθρωπικὰ εἶναι τὰ ἄλογα πάθη· [l]αἱ δὲ πράξεις τοῦ ἀνθρώπου ἀπὸ θυμοῦ καὶ ἐπιθυμίας. Ἄτοπον δὴ τὸ τιθέναι ἀκούσια ταῦτα.

ΚΕΦ. β'.

ΔΙΩΡΙΣΜΕΝΩΝ δὲ τοῦ τε ἑκουσίου καὶ τοῦ ἀκουσίου, περὶ προαιρέσεως ἕπεται διελθεῖν· [m]οἰκειότατον γὰρ εἶναι δοκεῖ τῇ ἀρετῇ, καὶ μᾶλλον τὰ ἤθη κρίνειν τῶν πράξεων. Ἡ προαίρεσις [n]δὴ ἑκούσιον μὲν φαίνεται, οὐ ταὐτὸν δὲ, ἀλλ' ἐπὶ πλέον τὸ ἑκούσιον· τοῦ μὲν γὰρ ἑκουσίου καὶ παῖδες καὶ τὰ ἄλλα ζῶα κοινωνεῖ, προαιρέσεως δ' οὔ· [o]καὶ τὰ ἐξαίφνης ἑκούσια μὲν λέγομεν, κατὰ προαίρεσιν δ' οὔ. Οἱ δὲ λέγοντες αὐτὴν,

arbitratur Lambinus: quæ quidem lectio est clarior: vulgarem tamen omnino retinendam sentio. Hunc locum quam optime illustrat Andr. *ὅτι εἰ ἀκούσια ἦν τὰ κατὰ θυμὸν ἁμαρτηθέντα, διέφερεν ἂν τῶν ἀπὸ τοῦ λογισμοῦ ἁμαρτανομένων κατὰ τὴν ἑκουσίου καὶ ἀκουσίου διαφοράν· διαφέρει δὲ οὐδέν· καὶ γὰρ ταῦτα ὁμοίως ἐκείνοις φευκτὰ, ὃ τοῦ ἑκουσίου ἐστί· καὶ ψόγων ἄξια οὐδὲν ἧττον· ὅπερ οὐκ ἂν ἦν, εἰ διέφερεν ὡς ἑκούσιον ἀκουσίου.*
[l] *Ὥστε καὶ αἱ* El. Vet. Interp. et C C C. in marg. alii *ὅτι καὶ αἱ.* Nobiscum legit Andr. [m] *Ἡ γὰρ προαίρεσις οἰκείως ἔχει πρὸς τὴν ἀρετὴν, καὶ τῷ ταύτης κανόνι δυνησόμεθα κρίνειν τὰ ἤθη, καὶ τὰς πράξεις. Quæ quidem proprium quid cum virtute habet, ea quippe tanquam norma mores distinguere discimus atque actiones.* Andr. [n] Δὲ N C. C C C. et Bas. [o] *Καὶ τὰ ἐξαίφ.* &c. hanc sententiam in contextu non habet Bas. in margine tamen ponit verbis paulum diversis, *καὶ τὰ μὲν αἰφνίδια ἑκούσια εἶναι λέγομεν, κατὰ προαίρεσιν δ' οὔ.*

commissa sunt, ab iis, quæ ratione peccantur, eo differant, quod invite facta sint? utraque enim sunt fugienda: neque[1] vero affectus rationis expertes, minus humani videntur esse: actiones autem hominis tum ab ira, tum a cupiditate nascuntur. Absurdum igitur fuerit hæc in iis, quæ invite fiunt, numerare.

CAP. II.

DISTINCTIS igitur iis, quæ sponte, et quæ invite fiunt, sequitur ut de consilio dicamus: nam et virtuti conjunctissima res est, et ab eo magis, quam ab actionibus, mores dijudicari videntur. Ac videtur sane consilium esse quiddam sponte susceptum; non tamen est idem, sed id, quod sponte fit, latius patet: ejus enim, quod sponte fit, et pueri sunt participes, et reliqua animalia, sed non consilii: tum repentina sponte quidem nostra suscipi dicuntur, consulto autem nequaquam. Qui autem dicunt consilium esse cupiditatem,

ἐπιθυμίαν, ἢ θυμὸν, ἢ βούλησιν, ἤ τινα δόξαν, οὐκ ἐοίκασιν ὀρθῶς λέγειν· οὐ γὰρ κοινὸν ἡ προαίρεσις καὶ τῶν ἀλόγων· ἐπιθυμία δὲ καὶ θυμός· καὶ ὁ ἀκρατὴς ἐπιθυμῶν μὲν πράττει, προαιρούμενος δὲ οὔ· ὁ ἐγκρατὴς δ' ἀνάπαλιν προαιρούμενος μὲν, ἐπιθυμῶν δ' οὔ. Καὶ προαιρέσει μὲν ἐπιθυμία ἐναντιοῦται, ἐπιθυμία δ' ἐπιθυμία οὔ· καὶ ἡ μὲν ἐπιθυμία ἡδέος καὶ [p] ἐπιλύπου, ἡ προαίρεσις δ' οὔτε λυπηροῦ, οὔθ' ἡδέος. Θυμὸς δ' ἔτι ἧττον· ἥκιστα γὰρ τὰ διὰ θυμὸν κατὰ προαίρεσιν εἶναι δοκεῖ. Ἀλλὰ μὴν οὐδὲ βούλησίς γε, καίπερ σύνεγγυς [q] φαινόμενον· προαίρεσις μὲν γὰρ οὐκ ἔστι τῶν ἀδυνάτων, καὶ εἴ τις φαίη προαιρεῖσθαι, δοκοίη ἂν ἠλίθιος εἶναι· βούλησις δ' ἐστὶ τῶν ἀδυνάτων, οἷον ἀθανασίας. Καὶ ἡ μὲν βούλησίς ἐστι καὶ περὶ τὰ μηδαμῶς δι' [r] αὐτοῦ πραχθέντα ἄν· οἷον ὑποκριτήν τινα νικᾷν, ἢ ἀθλητήν· προαιρεῖται δὲ τὰ τοιαῦτα οὐδεὶς,

[p] Καὶ ἐπίλυπος, ἡ προαίρεσις δ' οὔτε λυπηρὰ liber quidam antiquus: receptæ tamen lectionis, quæ non inelegans est, nec sententiam variat, alibi vestigia non inveni. *Vict.* Ἔτι ἡ μὲν ἐπιθυμία λυπηρά ἐστι, καὶ τὸ ἡδὺ ἀεὶ ἀντικείμενον ἔχει· πρὸς αὐτὸ γὰρ ἀεὶ φέρεται· ἡ δὲ προαίρεσις οὔτε λυπηρά ἐστιν, οὔτε τὸ ἡδὺ ἀντικείμενον ἔχει. *Andr.*
[q] Γρ. φαινομένη. [r] Γρ. δι' αὐτὸν et δι' αὐτόν.

aut iram, aut voluntatem, aut opinionem aliquam, non satis recte dicere videntur: consilium enim non est eorum commune, quæ sunt rationis expertia; cupiditas autem et ira maxime: præterea incontinens a cupiditate quidem impulsus agit, sed non consilio capto; continens contra consilio capto, non cupiditate impulsus. Et consilio contraria est cupiditas, cupiditati autem cupiditas nequaquam: tum cupiditas et jucundi est, et cum molestia conjuncta, consilium neque jucundi, neque cum molestia conjunctum. Multo autem minus ira est: nam quæ per iram fiunt consilio minime consentanea esse videntur. Neque vero voluntas est, etiamsi ei finitimum esse videatur: consilium enim non est eorum, quæ fieri non possunt, et si quis dicat se talium rerum agendarum consilium cepisse, stultus esse videatur: voluntas autem etiam eorum est, quæ contingere nemini possunt: verbi gratia, immortalitatis. Præterea voluntas etiam ad ea pertinet, quæ nullo modo is qui vult per se agere possit: ut si quis velit histrionem illum, vel athletam superiorem discedere: at nemo talium rerum consilium capit, sed earum duntaxat,

ἀλλ᾽ ὅσα οἴεται ἂν γενέσθαι δι᾽ αὐτοῦ. Ἔτι δ᾽ ἡ μὲν βούλησις τοῦ τέλους ἐστὶ μᾶλλον, ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος· οἷον ὑγιαίνειν βουλόμεθα, προαιρούμεθα δὲ δι᾽ ὧν ὑγιανοῦμεν· καὶ εὐδαιμονεῖν βουλόμεθα μὲν, καί φαμεν· προαιρούμεθα δὲ λέγειν οὐχ ἁρμόζει· ὅλως γὰρ ἔοικεν ἡ προαίρεσις περὶ τὰ ἐφ᾽ ἡμῖν εἶναι. Οὐδὲ δὴ δόξα ἂν εἴη· ἡ μὲν γὰρ δόξα δοκεῖ περὶ πάντα εἶναι, καὶ οὐδὲν ἧττον περὶ τὰ ἀΐδια καὶ τὰ ἀδύνατα, ἢ τὰ ἐφ᾽ ἡμῖν· καὶ τῷ ψευδεῖ καὶ ἀληθεῖ διαιρεῖται, οὐ τῷ κακῷ καὶ ἀγαθῷ· ἡ δὲ προαίρεσις τούτοις μᾶλλον. Ὅλως μὲν οὖν δόξῃ ταὐτὸν ἴσως οὐδὲ λέγει οὐδείς· ἀλλ᾽ οὐδέ τινι· τῷ γὰρ προαιρεῖσθαι τἀγαθὰ ἢ τὰ κακὰ, ποιοί τινές ἐσμεν· τῷ δὲ δοξάζειν, οὔ. Καὶ προαιρούμεθα μὲν λαβεῖν ἢ φυγεῖν, ἤ τι τῶν τοιούτων· δοξάζομεν δὲ τί ἐστιν ἢ τίνι συμφέρει, ἢ πῶς· λαβεῖν δὲ ἢ φυγεῖν οὐ πάνυ δοξάζομεν. Καὶ ἡ μὲν προαίρεσις ἐπαινεῖται τῷ εἶναι οὗ δεῖ μᾶλλον, * ἢ τῷ ὀρθῶς· ἡ δὲ δόξα τῷ

* Non me latet interpretes non eodem modo accepisse locum illum ἢ τῷ ὀρθῶς: quæ dissensio nata est ex gemina vi notioneque particulæ ἢ; nunc enim valet

quas per se effici posse arbitratur. Præterea voluntas est ultimi ac finis, consilium autem eorum, quæ ad finem conferunt: verbi gratia, bene valere volumus, consilium autem capimus eas res adhibere, quibus bene valeamus: et beati esse volumus, atque hoc nos velle dicimus; sed consilium nobis captum esse ut beati simus, neque dicimus, neque convenit ita loqui: omnino enim consilium ad eas res pertinet, quæ sunt in nostra potestate. Neque vero erit opinio: ad omnia enim pertinere videtur opinio, nec minus ad ea, quæ æterna sunt, quæque a nobis fieri non possunt, quam quæ in nobis sita sunt: præterea vero et falso dividitur ac distinguitur opinio, non bono ac malo: at consilium his potius, quam illis. Idem igitur quod universam opinionem esse consilium fortasse ne dicere quidem quisquam conabitur: at neque idem quod quandam opinionem: nam eo quod consilium nobis captum sit ut bona vel mala sequamur, cujusdammodi sumus: sed eo, quod opinemur, non item. Et consilium capimus vel adipiscendi, vel fugiendi, vel tale quiddam faciendi: opinamur autem quid sit, aut cui conducat, aut quemadmodum: adipisci certe, aut fugere non admodum opina-

ἀληθῶς. Καὶ προαιρούμεθα μὲν ἃ μάλιστα ἴσμεν ἀγαθὰ ὄντα· δοξάζομεν δὲ ἃ οὐ πάνυ ἴσμεν. Δοκοῦσί τε οὐχ οἱ αὐτοὶ προαιρεῖσθαι τὰ ἄριστα καὶ δοξάζειν, ἀλλ' ἔνιοι δοξάζειν μὲν ἄμεινον, διὰ κακίαν δ' αἱρεῖσθαι οὐχ ἃ δεῖ. Εἰ δὲ προγίνεται δόξα τῆς προαιρέσεως, ἢ παρακολουθεῖ, οὐδὲν διαφέρει· οὐ τοῦτο γὰρ σκοποῦμεν, ἀλλ' εἰ ταὐτόν ἐστι δόξῃ τινί. Τί οὖν ἢ ποῖόν τί ἐστιν, ἐπειδὴ τῶν [t]εἰρημένων οὐθέν ἐστιν; Ἑκούσιον μὲν δὴ φαίνεται· τὸ δ' ἑκούσιον οὐ πᾶν προαιρετὸν, ἀλλ' ἆρά γε τὸ προβεβουλευμένον· ἡ γὰρ προαίρεσις μετὰ λόγου καὶ διανοίας· ὑποσημαίνειν δ' ἔοικε καὶ τοὔνομα, ὡς ὂν πρὸ ἑτέρων αἱρετόν.

vel, nunc vero *quam*, quo sensu hic ipsam sumendam arbitror; ut dixerit noster doctor consuetudinem esse de *electione* dicere, eam fuisse illius rei, cujus decebat, potius quam rectam ipsam appellari: ut judico enim, argumentatur hic quoque a more loquendi. *Victor*. [v] Adverbium μᾶλλον hoc loco τὸ ἢ ad hunc sensum, quo interpretatur Vict. determinare videtur. Andronici paraphrasis ἢ τῷ ὀρθῶς omittit. "Ἔτι ἡ μὲν προαίρεσις ἐπαινεῖται ὅταν προαιρώμεθα ἃ δεῖ· ἡ δὲ δόξα ἐπαινεῖται ὅταν δοξάσωμεν τὰ ἀληθῆ. [t] Προειρημένων El.

mur. Et consilium eo laudatur quod ejus rei sit, quæ agenda est, vel quod recte consilium captum sit: at opinio, quod vere quis opinetur. Præterea consilium capimus earum rerum agendarum, quas maxime exploratum habemus esse bonas: sed ea opinamur, quæ non admodum nobis nota, nec explorata sunt. Postremo non iidem videntur de rebus optimis consilium capere, atque opinari, sed nonnulli melius quidem opinari, verum animi vitio corrupti ea neque sequi, neque sumere, quæ sequi ac sumere oportet. Utrum vero opinio consilium antecedat, an subsequatur, nihil refert: non enim nobis propositum est hoc considerare, sed utrum idem sit quod aliqua opinio. Quænam igitur, aut qualis res est, quandoquidem nihil est eorum, quæ supra dicta sunt? Et sane videtur quiddam esse, quod sponte fiat: verum non quicquid sponte fit, de eo consilium captum est, sed id utique, de quo prius consultatum est: consilium enim cum ratione et cogitatione conjunctum est: quod quidem nomine ipso significatur: Προαιρετὸν enim dicitur tanquam præ cæteris optabile, et sumendum.

ΚΕΦ. γ'.

ΒΟΥΛΕΥΟΝΤΑΙ δὲ πότερα περὶ πάντων, καὶ πᾶν βουλευτόν ἐστιν, ἢ περὶ ἐνίων οὐκ ἔστι βουλή; λεκτέον δ' ἴσως βουλευτὸν, οὐχ ὑπὲρ οὗ ἄν τις βουλεύσαιτο ἠλίθιος, ἢ μαινόμενος, ἀλλ' [u]ὑπὲρ ὧν ὁ νοῦν ἔχων. Περὶ δὲ τῶν ἀϊδίων οὐδεὶς βουλεύεται, οἷον περὶ [x]τοῦ κόσμου, ἢ τῆς [y]διαμέτρου καὶ τῆς πλεύρας, ὅτι ἀσύμμετροι· ἀλλ' οὐδὲ περὶ τῶν ἐν κινήσει, ἀεὶ δὲ κατὰ τὰ αὐτὰ γινομένων, εἴτ' ἐξ ἀνάγκης, εἴτε φύσει, ἢ διά τινα ἄλλην αἰτίαν, οἷον [z]τροπῶν, καὶ ἀνατολῶν· οὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως, οἷον αὐχμῶν καὶ ὄμβρων· οὐδὲ περὶ τῶν ἀπὸ τύχης, οἷον θησαυροῦ εὑρέσεως· ἀλλ' οὐδὲ περὶ τῶν ἀνθρωπικῶν πάντων, οἷον πῶς ἂν Σκύθαι ἄριστα πολιτεύοιντο, οὐδεὶς Λακεδαιμονίων βουλεύεται· οὐ γὰρ γένοιτ' ἂν τούτων δι' ἡμῶν οὐθέν. Βουλευόμεθα δὲ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν· ταῦτα

[u] Γρ. ὑπὲρ οὗ. [x] Aristoteles et alii magni nominis philosophi mundum esse æternum judicârunt, quem creatum fuisse dicit Sacra Scriptura. [y] Οὐδεὶς βουλεύεται περὶ τῶν ἀδυνάτων ἄλλως εἶναι, οἷον περὶ τῆς πλεύρας τοῦ τετραγώνου καὶ τῆς διαμέτρου, ποιῆσαι λόγον τινὰ ἔχειν πρὸς ἀλλήλας, ὃν ἀριθμὸς πρὸς ἀριθμόν. *Nemo deliberat de iis quæ habere se aliter non possunt, sicut de quadrati latere et diametro; ut si quis vellet efficere ut eandem inter se rationem habeant, quam numerus ad numerum.* Andr. [z] Περὶ τροπῶν Ven. 1. 2. et Bas.

CAP. III.

SED utrum consultant de omnibus rebus homines, omniaque in consultationem cadunt, an de quibusdam consultari non debet? ac fortasse id quidem in consultationem venire dicendum est, non de quo stolidus aliquis, aut insanus consultaverit, sed de quo is, qui mentis est compos. De rebus æternis autem consultat nemo: ut de mundo, aut de diametro et latere, quoniam nulla dimensione inter se convenire possunt: neque vero de iis, quæ cum perpetuo moveantur, eodem semper modo fiunt, sive necessitate, sive natura, sive propter aliquam causam; ut de solis conversionibus, atque ortibus: nec de iis, quæ alias aliter fiunt, ut de siccitatibus, et imbribus: neque de iis, quæ fortüito eveniunt, ut de thesauri inventione: immo ne de omnibus quidem rebus humanis; verbi gratia, quemadmodum Scythæ optime suam rempublicam administrare possint, nemo Lacedæmoniorum consultat: nihil enim horum per nos effici queat. At de iis consultamus, quæ cum sub actionem cadant,

δὲ καὶ ἔστι λοιπά· αἴτια γὰρ δοκοῦσιν εἶναι, φύσις, καὶ ἀνάγκη, καὶ τύχη· ἔτι δὲ νοῦς καὶ [a]πᾶν τὸ δι' ἀνθρώπου. Τῶν δ' ἀνθρώπων ἕκαστοι βουλεύονται περὶ τῶν δι' αὐτῶν πρακτῶν. Καὶ περὶ μὲν τὰς [b]ἀκριβεῖς καὶ αὐτάρκεις τῶν ἐπιστημῶν οὐκ ἔστι βουλή· οἷον περὶ γραμμάτων· [c]οὐ γὰρ διστάζομεν πῶς [1]γραπτέον. Ἀλλ' ὅσα γίνεται δι' ἡμῶν, μὴ ὡσαύτως δὲ ἀεὶ, περὶ τούτων βουλευόμεθα· οἷον περὶ τῶν κατὰ ἰατρικὴν, [d]καὶ χρηματιστικὴν, καὶ περὶ κυβερνητικὴν μᾶλλον ἢ γυμναστικὴν, ὅσῳ ἧττον διηκρίβωται. Καὶ ἔτι περὶ τῶν λοιπῶν ὁμοίως· μᾶλλον δὲ καὶ περὶ τὰς τέχνας [e]ἢ τὰς ἐπιστήμας· μᾶλλον γὰρ περὶ αὐτὰς διστάζομεν. Τὸ βουλεύεσθαι δὲ ἐν τοῖς ὡς [f]ἐπιπολὺ, ἀδήλοις δὲ πῶς ἀποβήσεται, καὶ ἐν οἷς ἀδιόριστον. Συμ-

[a] Per πᾶν τὸ δι' ἀνθρώπου intelligit voluntatem et affectus, quibus homines ad agendum impelluntur. Hæc perioche, ut annotavit Lambinus, a quibusdam perperam vertitur, *quicquid ab homine geri potest.* Qui enim, ut inquit ille, fieri potest, ut quicquam ab homine gestum causa sit, cum sit effectum. [b] Ἀκριβεῖς καὶ αὐτάρκεις λέγει τὰς ἀποδεικτικάς· οἷα ἐστὶν ἡ γεωμετρία· αὐτάρκεις δέ εἰσιν αἱ μὴ δεόμεναι βοηθείας ἔξωθεν, ἀλλ' ὡρισμέναι καὶ ἑαυταῖς αὐταρκοῦσαι. *Eustrat.* [c] Ὅτι ἐγνωσμένον ἐστὶν ἀκριβῶς, καὶ ὡρισμένα εἰσὶ τὰ σημεῖα. *Andr.* [1] Magn. Moral. lib. i. cap. 18. [d] Ἢ χρηματιστικὴν Cam. Aurel. et Andr. [e] Ἢ τὰς δόξας pro ἢ τὰς ἐπιστήμας legerunt quidam, ut testatur Eustratius. Vide Eustrat. et Vict. [f] Γρ. ἐπὶ τὸ πολύ.

tum in nostra potestate sunt: hæc autem etiam sunt reliqua: etenim rerum omnium causæ videntur esse, natura, necessitas, fortuna: adde præterea mentem, et quicquid per hominem agit. Singuli autem homines de iis consultant ac deliberant, quæ ab ipsis agi possunt. Neque vero in scientiis exquisitis, suaque vi contentis, consultationi locus est: verbi gratia, de literis non consultamus: non enim quomodo scribendum sit ambigimus. Sed de iis, quæ, tametsi opera nostra fiant, non tamen semper eodem modo fiunt: ut de iis, quæ ad medicinam, et ad artem pecuniæ quærendæ pertinent; et in arte gubernandarum navium potius, quam in ratione corporum exercendorum dubitare solemus, quanto minus illa, quam hæc enucleatis et exquisitis præceptionibus absoluta est. Et præterea item de reliquis: magis autem in artibus, quam in scientiis consultationi locus est: in eis enim sæpius ambigere solemus. Consultandi autem ratio in iis locum habet, quæ plerumque usu veniunt, cum eorum exitus incertus sit, et in quibus nihil est definiti. Porro ad res magnas conside-

βύλους δὲ παραλαμβάνομεν εἰς τὰ μεγάλα, ἀπιστοῦντες ἡμῖν αὐτοῖς ὡς οὐχ ἱκανοῖς διαγνῶναι. Βουλευόμεθα δὲ οὐ περὶ τῶν τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη· οὔτε γὰρ ἰατρὸς βουλεύεται εἰ ὑγιάσει, οὔτε ῥήτωρ εἰ πείσει, οὔτε πολιτικὸς εἰ εὐνομίαν ποιήσει, οὐδὲ τῶν λοιπῶν οὐδεὶς περὶ τοῦ τέλους· ἀλλὰ θέμενοι [g]τέλος τι, πῶς καὶ διὰ τίνων ἔσται σκοποῦσι. Καὶ διὰ πλειόνων μὲν φαινομένου γίνεσθαι, διὰ τίνος ῥᾷστα καὶ κάλλιστα ἐπισκοποῦσι· δι' ἑνὸς δὲ ἐπιτελουμένου, πῶς διὰ τούτου [h]ἔσται, κἀκεῖνο διὰ τίνος, ἕως ἂν ἔλθωσιν ἐπὶ τὸ πρῶτον αἴτιον, ὃ ἐν τῇ εὑρέσει ἔσχατόν ἐστιν· ὁ γὰρ βουλευόμενος ἔοικε ζητεῖν καὶ ἀναλύειν τὸν εἰρημένον τρόπον, ὥσπερ διάγραμμα. Φαίνεται δὲ ἡ μὲν ζήτησις οὐ πᾶσα εἶναι βούλευσις, οἷον αἱ μαθηματικαί· ἡ δὲ βούλευσις πᾶσα ζήτησις· [i]καὶ τὸ ἔσχατον

[g] Τέλος, τὸ πῶς El. [h] Ἔσται abest a N C. et Vet. Interp. rectius, ut videtur.
[i] Ὁ ἔσχατον εὑρίσκεται ἀναλύοντι, τοῦτο ἔργον πρῶτον γίνεται τῷ βουλευομένῳ· καθάπερ ὁ μαθηματικὸς, πρὸς ὃ ἔσχατον ἀφίξεται ἀναλύων, τοῦτο ὑποτιθεὶς καὶ ἀπὸ τούτου διὰ τῶν ἄλλων ἰθύνων, ἀποδείκνυσι τὸ προκείμενον. *Quod postremum in resolutione invenitur, hoc primum deliberanti opus est: quemadmodum ad quod ultima resolutione pervenit mathematicus, hoc supposito, ab eo transit ad reliqua, atque ita confirmat hoc de quo agitur.* Andr.

randas alios in consilium adhibemus, nobis ipsis diffidentes, quasi minus ad eas dispiciendas ac dijudicandas idoneis. Consultamus autem non de finibus, sed de iis quæ ad fines pertinent: neque enim aut medicus, an sanaturus sit, consultat, aut orator, an persuasurus, aut vir ad rempublicam administrandam aptus, an bonis legibus civitatem temperaturus, neque alii denique artifices de fine deliberant: sed omnes proposito sibi certo aliquo fine, quemadmodum, et quibus rebus eum possint assequi, cogitant. Ac si pluribus modis, ac rationibus id quod volunt, confici posse videatur, qua facillime et optime confici possit, inspiciunt: sin autem una ratione commode possit absolvi, qua via ad illam perveniant, et qua ad hanc, eo usque dum ad primam causam pervenerint, quæ inventione est ultima: qui consultat enim, inquirere ac retexere veluti descriptionem quandam mathematicam videtur, quemadmodum dictum est. Sed illud certe apparet non omnem quæstionem esse consultationem, ut sunt quæstiones mathematicæ; consultationem vero omnem esse quæstionem: illud etiam planum est, quod est retexenti postremum,

ἐν τῇ ἀναλύσει, πρῶτον εἶναι ἐν τῇ γενέσει. Κἂν μὲν ἀδυνάτῳ ἐντύχωσιν, ἀφίστανται· οἷον εἰ χρημάτων δεῖ, ταῦτα δὲ μὴ οἷόν τε πορισθῆναι· ἐὰν δὲ δυνατὸν φαίνηται, ἐγχειροῦσι πράττειν. Δυνατὰ δὲ, ἃ δι' ἡμῶν γένοιτο ἄν· τὰ γὰρ διὰ τῶν φίλων δι' ἡμῶν πως ἐστίν· ἡ γὰρ ἀρχὴ ἐν ἡμῖν. Ζητεῖται δὲ ὁτὲ μὲν τὰ ὄργανα, ὁτὲ δὲ ἡ χρεία αὐτῶν, ὁμοίως δὲ καὶ ἐν τοῖς λοιποῖς· ὁτὲ μὲν δι' οὗ, ὁτὲ δὲ πῶς, ἢ διὰ τίνος. Ἔοικε [k] δὴ, καθάπερ εἴρηται, ἄνθρωπος εἶναι ἀρχὴ τῶν πράξεων· ἡ δὲ βουλὴ περὶ τῶν αὐτῷ πρακτῶν· αἱ δὲ πράξεις ἄλλων ἕνεκα. Οὐκ ἂν οὖν εἴη βουλευτὸν τὸ τέλος, ἀλλὰ τὰ πρὸς τὰ τέλη· οὐδὲ δὴ τὰ καθ' ἕκαστα· οἷον εἰ ἄρτος τοῦτο, ἢ [l] πέπεπται, ἢ [m] πεποίωται ὡς δεῖ· αἰσθήσεως γὰρ ταῦτα· εἰ δὲ ἀεὶ [n] βουλεύσεται, εἰς ἄπειρον ἥξει. Βουλευτὸν δὲ καὶ προαιρετὸν τὸ αὐτὸ, πλὴν ἀφωρισμένον ἤδη τὸ προαιρετόν· τὸ γὰρ ἐκ τῆς

[k] Δὲ Ven. 1. 2. et Vet. Interp. [l] Πέπτεται Ven. 1. 2. et Bas. ἢ πέπεπται El. et Argyr. non habent. [m] Πεποίηται Andr. et Bas. ἢ πεποίωται Cam. omittit. Eorum in Vet. Interp. nullum reperiri vestigium falso affirmat Lambinus. [n] Γρ. βουλεύεται.

id esse agenti primum. Quod si ii, qui acturi sunt, in aliquid inciderint, quod fieri nequeat, tum ab eo desistunt: veluti si pecunia sit opus, ejusque expediendæ nulla ratio inveniri possit: sin autem fieri posse videatur, tum ad agendum aggrediuntur. Fieri autem posse dicuntur ea, quæ nostra opera effici possunt: nam quæ amicorum studio et opera transiguntur, nostra opera quodammodo fieri videntur: principium enim in nobis est. Quæruntur autem aliquando instrumenta, aliquando eorum usus, itemque in reliquis: interdum cujus opera, aliquando quomodo, aut qua via res explicari possit. Ac videtur sane homo, quemadmodum dictum est, actionum esse principium: consultatio autem est iis de rebus, quæ a quoque agi possunt: at actiones aliarum rerum causa suscipiuntur. De fine igitur consultari non potest, sed de iis, quæ ad fines pertinent: neque de rebus singularibus: verbi gratia, sitne hoc panis, aut sitne ita pistus, aut factus, ut oportet; hæc enim sensu judicantur: quod si semper consultaverit, abibit in infinitum. Id autem de quo consultatur et id de quo consilium captum est, eadem sunt inter se, nisi quod definitum jam ac decisum est id, de quo consilium capitur:

βουλῆς προκριθὲν, προαιρετόν ἐστι· παύεται γὰρ ἕκαστος ζητῶν πῶς πράξει, ὅταν εἰς αὐτὸν ἀναγάγῃ τὴν ἀρχὴν, καὶ αὐτοῦ εἰς τὸ ἡγούμενον· τοῦτο γὰρ τὸ προαιρούμενον. Δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν ἀρχαίων πολιτειῶν, [o] ἃς Ὅμηρος ἐμιμεῖτο· οἱ γὰρ βασιλεῖς, ἃ προέλοιντο, [p] ἀνήγγελλον τῷ δήμῳ. Ὄντος δὲ τοῦ προαιρετοῦ, βουλευτοῦ, ὀρεκτοῦ τῶν ἐφ' ἡμῖν, καὶ ἡ προαίρεσις ἂν εἴη βουλευτικὴ ὄρεξις τῶν ἐφ' ἡμῖν· ἐκ τοῦ βουλεύσασθαι γὰρ κρίναντες, ὀρεγόμεθα κατὰ τὴν [q] βούλευσιν. Ἡ μὲν οὖν προαίρεσις τύπῳ εἰρήσθω, [r] καὶ περὶ ποῖά ἐστι, καὶ ὅτι τῶν πρὸς τὰ τέλη.

ΚΕΦ. δ'.

Η ΔΕ βούλησις ὅτι μὲν τοῦ τέλους ἐστὶν, εἴρηται· δοκεῖ δὲ τοῖς μὲν τἀγαθοῦ εἶναι, τοῖς δὲ τοῦ φαινομένου ἀγαθοῦ. Συμβαίνει δὲ, τοῖς μὲν τὸ βουλητὸν τἀγαθὸν λέγουσι, μὴ

[o] Exstat Homeri locus, ad quem respexit, Iliad. β'. in concione Agamemnonis ad Græcos. [p] Γρ. Ἀνήγγελον. [q] Βούλησιν pro βούλευσιν habet Eustrat. [r] Καὶ τί, quæ Zuing. legit post εἰρήσθω, omnino superflua videntur.

quod enim consultatione adhibita reliquis præpositum est, id est, de quo consilium captum est: nam quemadmodum sit quisque acturus tum quærendi finem facit, cum principium ad seipsum, et ad eam sui partem, quæ præest atque imperat, revocarit; hæc enim est, quæ consilium capit. Quod ex veteribus quoque reipublicæ administrandæ formis, quas Homerus imitabatur, perspici potest: nam quibus de rebus reges consilium ceperant, eas populo renunciabant. Quoniam autem id, de quo consilium capitur, sub deliberationem et appetitionem cadit, cum sit ex numero earum rerum, quæ in nobis sitæ sunt: consilium erit earum rerum, quæ in nostra potestate sunt, appetitio ex consultatione proveniens: nam posteaquam consultatione adhibita judicavimus, tum ei consultationi convenienter appetimus. Ac consilium quidem quid sit, quibusque in rebus versetur, earum denique rerum esse, quæ ad fines pertinent, sic a nobis veluti adumbrando expositum sit.

CAP. IV.

ULTIMI autem seu finis esse voluntatem, dictum est: sed alii ejus esse, quod bonum est, alii ejus, quod videtur bonum, existimant. Atqui eorum ratione; qui id,

εἶναι βουλητὸν, ὃ βούλεται ὁ μὴ ὀρθῶς αἱρούμενος· εἰ γὰρ ἔσται βουλητὸν, καὶ ἀγαθόν· ἦν δὲ, εἰ οὕτως ἔτυχε, κακόν· τοῖς δ' αὖ τὸ φαινόμενον ἀγαθὸν τὸ βουλητὸν λέγουσι, μὴ εἶναι φύσει βουλητὸν, ἀλλ' ἑκάστῳ τὸ δοκοῦν· ἄλλο δ' [s]ἄλλῳ φαίνεται· καὶ εἰ οὕτως ἔτυχε, τἀναντία. Εἰ δὲ δὴ ταῦτα μὴ ἀρέσκει, [t]ἄρα φατέον ἁπλῶς μὲν καὶ κατ' ἀλήθειαν βουλητὸν εἶναι τἀγαθόν· ἑκάστῳ δὲ, τὸ φαινόμενον. Τῷ μὲν οὖν σπουδαίῳ, τὸ κατ' ἀλήθειαν εἶναι, τῷ δὲ φαύλῳ, τὸ τυχόν· ὥσπερ καὶ ἐπὶ τῶν σωμάτων, τοῖς μὲν εὖ διακειμένοις ὑγιεινά ἐστι τὰ κατ' ἀλήθειαν τοιαῦτα ὄντα, τοῖς δ' ἐπινόσοις ἕτερα. Ὁμοίως δὲ καὶ πικρὰ, καὶ γλυκέα, καὶ θερμὰ, καὶ βαρέα, καὶ τῶν ἄλλων ἕκαστα· ὁ σπουδαῖος γὰρ ἕκαστα κρίνει ὀρθῶς, καὶ ἐν ἑκάστοις τἀληθὲς αὐτῷ φαίνεται· καθ' ἑκάστην γὰρ ἕξιν ἴδιά ἐστι καὶ καλὰ καὶ ἡδέα. Καὶ διαφέρει πλεῖστον ἴσως ὁ σπουδαῖος, τῷ τἀληθὲς ἐν ἑκάστοις ὁρᾶν, ὥσπερ κανὼν καὶ μέ-

[s] Γρ. Ἄλλως. [t] Γρ. ἆρα num?

quod sub voluntatem cadit, dicunt esse verum bonum, evenit ut id, quod vult is, qui minus recte eligit, non cadat sub voluntatem; nam si sub voluntatem cadet, erit et bonum; at erat, si casus ita tulit, malum: eorum autem sententia, qui id quod sub voluntatem cadit, specie duntaxat bonum esse dicunt, nihil erit, quod sub voluntatem cadat natura, sed quod cuique videbitur: atqui aliud alii videtur, et, si casus ita tulerit, etiam contraria. Quod si hæc minus probanda sunt, dicendum est absolute et revera sub voluntatem cadere verum bonum; sed sub cujusque voluntatem cadere id, quod speciem boni habeat. Viro bono igitur id esse voluntati optabile, quod revera bonum est, vitioso autem, quicquid fors obtulerit: ut et corporibus bene quidem constitutis salubria sunt ea, quæ revera talia sunt, morbosis autem et ægris alia. Itemque amara, dulcia, calida, gravia, et cæterorum unumquidque: nam et vere de singulis rebus judicat vir bonus, et ei statim quod in quaque re veri est elucet: ex unoquoque enim habitu propria sibi quisque honesta et jucunda fingit. Atque eo ipso fortasse longe præstat reliquis vir bonus, quod singulis in rebus verum perspicit, quasi

τρον αὐτῶν ὤν· τοῖς πολλοῖς δὲ ἡ ἀπάτη διὰ τὴν ἡδονὴν ἔοικε γίνεσθαι· οὐ γὰρ οὖσα, ἀγαθὸν φαίνεται. Αἱροῦνται οὖν τὸ ἡδὺ, ὡς ἀγαθὸν, τὴν δὲ λύπην, ὡς κακὸν φεύγουσιν.

ΚΕΦ. ε΄.

ΟΝΤΟΣ δὴ βουλητοῦ μὲν τοῦ τέλους, βουλευτῶν δὲ καὶ προαιρετῶν τῶν πρὸς τὸ τέλος, αἱ περὶ ταῦτα πράξεις κατὰ προαίρεσιν εἶεν ἂν, καὶ ἑκούσιοι· αἱ δὲ τῶν ἀρετῶν ἐνέργειαι περὶ ταῦτα. Ἐφ᾽ ἡμῖν [u] δὴ καὶ ἡ ἀρετή· ὁμοίως δὲ καὶ ἡ κακία· ἐν οἷς γὰρ ἐφ᾽ ἡμῖν τὸ πράττειν, καὶ τὸ μὴ πράττειν· καὶ ἐν οἷς τὸ μὴ, καὶ τὸ ναί. Ὥστ᾽ εἰ τὸ πράττειν, καλὸν ὂν, ἐφ᾽ ἡμῖν ἐστι, καὶ τὸ μὴ πράττειν ἐφ᾽ ἡμῖν ἔσται, αἰσχρὸν ὄν· καὶ εἰ τὸ μὴ πράττειν, καλὸν ὂν, ἐφ᾽ ἡμῖν, καὶ τὸ πράττειν, αἰσχρὸν ὂν, ἐφ᾽ ἡμῖν. Εἰ δ᾽ ἐφ᾽ ἡμῖν, [x] τὸ τὰ καλὰ πράττειν, καὶ τὰ αἰσχρὰ, ὁμοίως δὲ καὶ τὸ μὴ πράττειν· τοῦτο δὲ ἦν τὸ ἀγαθοῖς

[u] Δὶ N C. C C C. Mut. et Bas. [x] Ἐφ᾽ ἡμῖν τὰ καλὰ πράττειν Bas. Cam. N C. et C C C. Sed si geminatum articulum nolis, rectius legeris τὸ καλὰ πράττειν.

earum norma sit ac mensura: multitudini autem fucum facere videtur voluptas; quippe quæ, cum bonum non sit, boni speciem præ se ferat. Itaque jucundum sequitur, ut bonum, dolorem autem fugit, ut malum.

CAP. V.

QUONIAM igitur finis sub voluntatem cadit, de iis autem, quæ ad finem pertinent, et consultari et consilium capi potest, consequens est, ut quæ in eis vertuntur actiones, et consilio consentaneæ sint, et sponte obeantur: at functiones et munera virtutum in his vertuntur. Itaque virtus in nostra est potestate; similiter et vitium: quas enim res agere in nobis situm est, easdem non agere possumus: et quas non agere in nobis situm est, earundem quoque agendarum potestas nostra est. Itaque si quid agere, quod honestum sit, in nobis situm est, non agere quoque, cum id non agere turpe sit, in nobis erit situm: et si non agere, quod non agere honestum sit, in nostra potestate est, agere quoque quod actu turpe sit, in nobis erit situm. Quod si honesta et turpia agere nostri arbitrii est, similiterque non agere (hoc autem erat, bonos et ma-

καὶ κακοῖς εἶναι· [y]ἐφ' ἡμῖν ἔσται τὸ ἐπιεικέσι καὶ φαύλοις εἶναι. Τὸ δὲ λέγειν ὡς

[z]Οὐδεὶς ἑκὼν πονηρὸς, οὐδ' ἄκων [a]μάκαρ,

ἔοικε τὸ μὲν ψευδεῖ, τὸ δ' ἀληθεῖ· μακάριος μὲν γὰρ οὐδεὶς ἄκων, ἡ δὲ μοχθηρία ἑκούσιον· ἢ τοῖς γε νῦν εἰρημένοις ἀμφισβητητέον, καὶ τὸν ἄνθρωπον οὐ φατέον ἀρχὴν εἶναι, οὐδὲ γεννητὴν τῶν πράξεων, ὥσπερ καὶ τέκνων. Εἰ δὲ ταῦτα φαίνεται, καὶ μὴ ἔχομεν εἰς ἄλλας ἀρχὰς ἀναγαγεῖν παρὰ τὰς ἐφ' ἡμῖν· ὧν καὶ αἱ ἀρχαὶ ἐφ' ἡμῖν, καὶ αὐτὰ ἐφ' ἡμῖν καὶ

[y] Aristoteles huic contrariam sententiam Socrati attribuit in Magn. Moral. lib. i. cap. 9. *Σωκράτης ἔφη οὐκ ἐφ' ἡμῖν γενέσθαι τὸ σπουδαίους εἶναι ἢ φαύλους· εἰ γάρ τις, φησὶν, ἐρωτήσειεν ὁντινοῦν, πότερον ἂν βούλοιτο δίκαιος εἶναι ἢ ἄδικος, οὐθεὶς ἂν λέγοιτο τὴν ἀδικίαν· δῆλον ὡς εἰ φαῦλοί τινές εἰσιν, οὐκ ἂν ἑκόντες εἶησαν φαῦλοι· ὥστε δῆλον ὅτι οὐδὲ σπουδαῖοι.* [z] Trajici alicujus veteris senarius est, quo, ut puto, significaret, quisquis auctor ipsius est, neminem, cui eligendi potestas sit, laboriosam, et asperam vitam colere, et neminem invitum beatum esse, atque affluere iis omnibus, quæ ad vitam commode agendam pertinent. Sed Philosophi quidam, cum statuerent omnes improbos miseros esse, omnes virtute præditos felices, iidemque judicarent virtutem quidem sponte coli, sed vitiosum esse neminem nisi invitum, abusi sunt hoc versiculo ad confirmandam sententiam suam, et *πονηρὸ* interpretati sunt, non *eum, qui dure, ac laboriose viveret*, sed *improbum*, et *vitiosum*; quod eadem vox, aut accentu mutato, ut vulgo putant, aut eodem accentu, ut judicat Thomas Magister, et hoc et illud significet. *Beatum* quoque acceperunt, non divitem, et facilem agentem, sed virum bonum et ex virtute agentem. Citatur autem hic ipse versus hoc sensu, *ἐν τῷ περὶ δικαίου τῶν Πλάτωνος νοθευομένων.* Et sane hanc sententiam tueri videtur Plato in Clitophonte, et lib. ix. de Legibus. *Muret.* [a] *Μακάριος* nostri MSS. Andr. Ven. 1. 2. Cam. et Bas. de qua lectione hæc habet Victorius: Vereor ne *μάκαρ* legi debeat: carminis enim ratio videtur hoc poscere, quod in extremo nunc claudicat. Sed etiam in sermone *περὶ δικαίου*, qui falso putatur Platoni tributus, ubi hic antiqui poetæ senarius adducitur, ita legitur, *παίω ποιητῇ, ὅς τις εἶπεν, οὐδεὶς ἑκὼν πονηρὸς, οὐδ' ἄκων μάκαρ.* Aliquis fortasse versum esse non animadvertens, poetica voce sublata, communem restituit.

los esse) nostri quoque arbitrii erit profecto, ut probi et improbi simus. Jam vero quod dicitur,

Sponte improbus nemo, nec invitus beatus ullus est,

partim falsum, partim verum esse videtur; nam invitus beatus est nemo, vitiositas autem sponte nostra contrahitur: alioquin ea, quæ jam nunc dicta sunt, erunt in dubium et controversiam vocanda, negandumque erit hominem esse principium ac parentem actionum, tanquam et liberorum. Quod si hæc nobis probantur et vera videntur, neque eas possumus ad alia principia capitaque, præterquam ad ea, quæ in nobis insunt, revocare: profecto quarum rerum principia in nobis insunt, eæ res quoque in nobis sitæ sunt, nostraque sponte suscipiun-

ἑκούσια. [b]Τούτοις δ' ἔοικε μαρτυρεῖσθαι καὶ ἰδίᾳ ὑφ' ἑκάστων, καὶ ὑπ' αὐτῶν τῶν νομοθετῶν· κολάζουσι γὰρ καὶ τιμωροῦνται τοὺς δρῶντας μοχθηρὰ, ὅσοι μὴ βίᾳ, ἢ δι' ἄγνοιαν, ἧς μὴ αὐτοὶ αἴτιοι· τοὺς δὲ τὰ καλὰ πράττοντας τιμῶσιν· ὡς τοὺς μὲν [c]προτρέψοντες, τοὺς δὲ κωλύσοντες. Καίτοι πρὸς ὅσα μήτ' ἐφ' ἡμῖν ἐστι, μήθ' ἑκούσια, οὐδεὶς προτρέπεται πράττειν· ὡς οὐδὲν πρὸ ἔργου ὄντος πεισθῆναι μὴ θερμαίνεσθαι, ἢ ἀλγεῖν, ἢ πεινῆν, [d]ἢ ἄλλ' ὁτιοῦν τῶν τοιούτων· οὐθὲν γὰρ ἧττον πεισόμεθα αὐτά. Καὶ γὰρ ἐπ' αὐτῷ τῷ ἀγνοεῖν κολάζουσιν, ἐὰν αἴτιος εἶναι δοκῇ τῆς ἀγνοίας· οἷον τοῖς μεθύουσι διπλᾶ τὰ ἐπιτίμια· ἡ γὰρ ἀρχὴ [e]ἐν αὐτῷ· κύριος γὰρ τοῦ μὴ μεθυσθῆναι· τοῦτο δ' αἴτιον τῆς ἀγνοίας. Καὶ τοὺς ἀγνοοῦντάς τι τῶν ἐν τοῖς νόμοις, ἃ δεῖ ἐπίστασθαι, καὶ μὴ χαλεπά ἐστι, κολάζουσιν· ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις, ὅσα δι' ἀμέλειαν

[b] Ita nostri MSS. Cam. et Bas. vulgo τοιούτοις scribitur. [c] Προτρέψοντες, τοὺς δὲ κωλύοντες N C. [d] Ἢ ἄλλ' ὁτιοῦν τῶν τοιούτων, ὧν οὐκ ἐσμὲν αὐτοὶ κύριοι, *vel quid tale, quod in potestate non est nostra.* Andr. [e] Γρ. ἐν αὐτοῖς· κύριοι.

tur. Testimonio sunt his cum ea, quæ privatim a singulis, tum ea, quæ publice a latoribus legum fieri solent: eos enim, qui res flagitiosas atque improbas admittunt, castigant supplicioque afficiunt, si modo non per vim, aut per inscientiam, quæ ipsorum culpa contracta non sit, admiserint; eos autem, qui res honestas et præclaras gerunt, honoribus et præmiis ornant: quasi hos excitaturi, illos a maleficio deterrituri. Atqui ad eas actiones excitat nemo, quæ neque in nobis positæ sunt, neque sponte nostra obeuntur: perinde quasi nihil profuturum sit persuasum nobis esse, ut ne vel caleamus, vel doleamus, vel esuriamus, vel aliquid aliud tale: nihilo enim minus ea perferemus. Nam etiam propterea quod quippiam ignoratum sit, castigant latores legum, si quis sibi ipse suæ inscientiæ causa esse videatur: verbi gratia, in ebrios duplex pœna constituta est: principium enim in ipsis est; nam situm in eis erat, ne ebrii fierent: ebrietas autem causa inscientiæ est. Præterea in eos, qui aliquid ignorant eorum, quæ legibus sancita sunt, quæ et scienda, neque cognitu difficilia sint, animadvertunt: itemque fit in cæteris, quæ negligentia sua videntur ignorare, cum liceat ipsis non ignorare: poterant

ἀγνοεῖν δοκοῦσιν, ὡς ἐπ᾽ αὐτοῖς ὂν τὸ μὴ ἀγνοεῖν· τοῦ γὰρ ἐπιμεληθῆναι κύριοι. Ἀλλ᾽ ἴσως τοιοῦτός τίς ἐστιν, ὥστε μὴ ἐπιμεληθῆναι· ἀλλὰ τοῦ τοιούτους γενέσθαι αὐτοὶ αἴτιοι, ζῶντες ἀνειμένως· καὶ τοῦ ἀδίκους ἢ ἀκολάστους εἶναι, οἱ μὲν κακουργοῦντες, οἱ δὲ ἐν πότοις καὶ τοῖς τοιούτοις διάγοντες· αἱ γὰρ περὶ ἕκαστα ἐνέργειαι τοιούτους ποιοῦσι. Τοῦτο δὲ δῆλον ἐκ τῶν μελετώντων πρὸς ἡντιναοῦν ἀγωνίαν ἢ πρᾶξιν· διατελοῦσι γὰρ ἐνεργοῦντες. Τὸ μὲν οὖν ἀγνοεῖν ὅτι ἐκ τοῦ ἐνεργεῖν περὶ ἕκαστα αἱ ἕξεις γίνονται, κομιδῇ ἀναισθήτου. Ἔτι δ᾽ ἄλογον τὸν ἀδικοῦντα μὴ βούλεσθαι ἄδικον εἶναι, ἢ τὸν ἀκολασταίνοντα ἀκόλαστον. Εἰ δὲ μὴ ἀγνοῶν τις πράττει, ἐξ ὧν ἔσται ἄδικος, ἑκὼν ἄδικος ἂν εἴη· οὐ μὴν ἐάν γε βούληται, ἄδικος ὢν παύσεται, καὶ ἔσται δίκαιος· οὐδὲ γὰρ ὁ νοσῶν ὑγιής, καὶ εἰ οὕτως ἔτυχεν, [f] ἑκὼν νοσεῖ, ἀκρατῶς βιοτεύων, καὶ ἀπειθῶν τοῖς ἰατροῖς. Τότε μὲν οὖν ἐξῆν αὐτῷ μὴ νοσεῖν, προεμένῳ δὲ οὐκ

[f] Γρ. ἑκὼν ποιεῖ.

enim sibi, ut diligentiam adhiberent, imperare. Sed ejusmodi est aliquis fortasse, ut diligentiam adhibere non possit: verum cur tales extiterint, causam ipsi sustinent, quippe qui negligenter ac dissolute vivant: et cur injusti atque intemperantes sint, causa in ipsis consistit; utpote quorum alteri in maleficiis, alteri in compotationibus, et id genus nequitiis ætatem consumant: nam quales sunt in quaque re collocatæ actiones, tales eos, qui agunt, efficiunt. Quod ex iis perspicuum esse potest, qui se in quovis certamine, aut actione exercent: nunquam enim certare, atque agere intermittunt. Ignorare igitur e studiis et actionibus in quaque re positis habitus gigni, hominis est sensu fere carentis. Præterea hoc ipsum a ratione alienum est, eum, qui injuste alterum lædat, injustum, et qui intemperanter vivat, intemperantem effici nolle. Si quis igitur sciens eas res agat, quibus evadat injustus, sponte sua profecto efficiatur injustus: neque si velit tamen, esse desinat injustus, et justus sit: nam ne æger quidem sanus ac validus sit, cum voluerit, etiamsi forte sponte sua ægrotet, quippe qui et incontinenter vivat, et medicorum præceptum consiliumque aspernetur. Tunc igitur ei integrum erat in morbum non incidere, at posteaquam sese

ἔτι· ὥσπερ οὐδ' ἀφέντι λίθον, ἔτι αὐτὸν δυνατὸν ἀναλαβεῖν· ἀλλ' ὅμως ἐπ' αὐτῷ [g] τὸ βαλεῖν καὶ ῥίψαι· ἡ γὰρ ἀρχὴ ἐπ' αὐτῷ· οὕτω δὲ καὶ τῷ ἀδίκῳ καὶ τῷ ἀκολάστῳ ἐξ ἀρχῆς μὲν ἐξῆν τοιούτοις μὴ γενέσθαι· διὸ ἑκόντες εἰσί· γενομένοις δὲ οὐκέτι ἔξεστι μὴ εἶναι. Οὐ μόνον δὲ αἱ τῆς ψυχῆς κακίαι ἑκούσιοί εἰσιν, ἀλλ' ἐνίοις καὶ αἱ τοῦ σώματος, οἷς καὶ ἐπιτιμῶμεν· τοῖς μὲν γὰρ διὰ φύσιν αἰσχροῖς οὐδεὶς ἐπιτιμᾷ· τοῖς δὲ δι' ἀγυμνασίαν, καὶ ἀμέλειαν. Ὁμοίως δὲ καὶ περὶ ἀσθένειαν, καὶ [h] αἶσχος, καὶ πήρωσιν· οὐδεὶς γὰρ ἂν ὀνειδίσειε τυφλῷ φύσει, ἢ ἐκ νόσου, ἢ ἐκ πληγῆς, ἀλλὰ μᾶλλον ἐλεήσαι· τῷ δ' ἐξ οἰνοφλυγίας, ἢ ἄλλης ἀκολασίας, πᾶς ἂν ἐπιτιμήσαι. Τῶν δὴ περὶ τὸ σῶμα κακιῶν αἱ μὲν ἐφ' ἡμῖν ἐπιτιμῶνται· αἱ δὲ μὴ ἐφ' ἡμῖν, οὔ. Εἰ δ' οὕτω, καὶ ἐπὶ τῶν ἄλλων αἱ ἐπιτιμώμεναι τῶν κακιῶν ἐφ' ἡμῖν ἂν εἶεν. Εἰ δέ τις λέγοι ὅτι

[g] Λαβεῖν pro βαλεῖν N C. C C C. Cam. et Bas. in margine. Vide Victorium.
[h] Αἶσχος non expressit Argyr. quod quidem superfluum videtur.

effudit ac projecit, id jam desiit esse integrum: quemadmodum nec is, qui lapidem misit, retrahere eum jam potest: erat tamen in ejus potestate, lapidem e manu emittere et projicere; principium enim in ipso est: sic et injusto atque intemperanti homini ab initio licebat talibus non esse: idcirco sua voluntate tales sunt: posteaquam vero tales facti sunt, non possunt non esse. Non solum autem animi vitia sponte contrahuntur, sed in nonnullis etiam corporis, quos etiam reprehendere solemus: nam qui sunt deformes natura, eos reprehendit nemo; sed eos demum, qui propterea quod exercitationes corporis prætermittunt, et valetudinem non curant, id mali contraxerunt. Similis est imbecillitatis, deformitatis, et debilitatis ratio: nemo enim cæcitatem ei, qui vel natura, vel morbo, vel ictu aliquo cæcus fit, probri loco objiciat, quin ejus misereatur potius; sed qui ex ebriositate, aut aliqua alia intemperantia cæcitatem contraxerit, eum nemo est qui non reprehensione dignum duxerit. Quæ ergo vitia corporis in nostra potestate sunt, ea reprehenduntur: quæ non sunt, non reprehenduntur. Quod si ita est, in cæteris quoque rebus omnibus ea, quæ reprehenduntur, vitia in nostra potestate esse reperientur. Quod si quis dixerit, id quemque

πάντες ἐφίενται τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας οὐ κύριοι, ἀλλ᾽ ὁποῖός ποθ᾽ ἕκαστός ἐστι, τοιοῦτο καὶ τὸ τέλος φαίνεται αὐτῷ· εἰ μὲν οὖν ἕκαστος ἑαυτῷ τῆς ἕξεώς ἐστί πως αἴτιος, καὶ τῆς [i] φαντασίας ἔσται πως αὐτὸς αἴτιος. Εἰ δὲ μηδεὶς αὑτῷ αἴτιος τοῦ [k] κακὰ ποιεῖν, ἀλλὰ δι᾽ ἄγνοιαν τοῦ τέλους ταῦτα πράττει, διὰ τούτων οἰόμενος αὑτῷ τὸ ἄριστον ἔσεσθαι· ἡ δὲ τοῦ τέλους ἔφεσις οὐκ αὐθαίρετος, ἀλλὰ φῦναι δεῖ, ὥσπερ ὄψιν ἔχοντα, ᾗ κρινεῖ καλῶς, καὶ τὸ κατ᾽ ἀλήθειαν ἀγαθὸν αἱρήσεται· καὶ ἔστιν εὐφυής, ᾧ τοῦτο καλῶς πέφυκε· τὸ γὰρ μέγιστον, καὶ κάλλιστον, καὶ ὃ παρ᾽ ἑτέρου μὴ οἷόν τε λαβεῖν, μηδὲ μαθεῖν, ἀλλ᾽ οἷον ἔφυ, τοιοῦτον ἕξει, καὶ τὸ εὖ καὶ τὸ καλῶς τοῦτο πεφυκέναι, ἡ τελεία καὶ ἀληθινὴ ἂν εἴη εὐφυΐα· εἰ δὴ ταῦτ᾽ ἐστὶν ἀληθῆ, τί μᾶλλον ἡ ἀρετὴ τῆς κακίας ἔσται ἑκούσιον; ἀμφοῖν γὰρ ὁμοίως, τῷ ἀγαθῷ καὶ τῷ κακῷ,

[i] Cicero *τὰ φαντάσματα visa*, et *τὴν φαντασίαν visionem* appellat: quam distinctionem nos in his libris vertendis perpetuo servavimus. Nam Cicero quidem *φαντασίαν* nunc *visum*, nunc *visionem* nominat. *Lamb.* [k] Κακοποιεῖν El. et quidam codd. apud Camerarium.

expetere, quod sibi videatur bonum, verum non in cujusque potestate visionem esse sitam, sed qualis quisque sit, talem ei finem videri: immo vero si sibi quisque ingenerandi habitus quodammodo causa est, erit et visionis profecto sibi ipse quodammodo causa. Sin autem flagitii admittendi sibi causa est nemo, sed ignoratione finis in flagitio quisque versatur, existimans hoc genere vitæ se maximo bono potiturum: et si appetitionem finis nemo sibi suo arbitratu adoptare potest, sed ita natus quisque sit oportet, ut quasi aciem mentis habeat, qua et recte judicare, et id quod vere bonum est, sumere atque optare possit: et si is est bene informatus a natura, cui hoc naturæ beneficio bene constitutum est; (rem enim maximam et pulcherrimam, quamque ab alio neque consequi, neque discere possit, sed qualiscunque a natura facta est, talem obtinebit; eamque bene et pulchre a natura factam, et compositam esse, ea demum perfecta et vera fuerit naturæ bonitas:) si igitur hæc vera sunt, quamobrem virtus magis quam vitium nostra sponte ac voluntate suscipietur? utrique enim, et viro bono, et improbo homini, vel natura, vel quo-

τὸ τέλος φύσει, ἢ ὁπωσδήποτε φαίνεται καὶ κεῖται· τὰ δὲ λοιπὰ πρὸς τοῦτ᾽ ἀναφέροντες, πράττουσιν ὁπωσδήποτε. Εἴτε δὴ τὸ τέλος μὴ φύσει ἑκάστῳ φαίνεται οἱονδήποτε, ἀλλά τι καὶ [l]παρ᾽ αὐτῷ ἐστιν· εἴτε τὸ μὲν τέλος φυσικὸν, [m]τῷ δὲ τὰ λοιπὰ πράττειν ἑκουσίως τὸν σπουδαῖον, ἡ ἀρετὴ ἑκούσιόν ἐστιν, οὐθὲν ἧττον καὶ ἡ κακία ἑκούσιον ἂν εἴη· ὁμοίως γὰρ καὶ τῷ κακῷ ὑπάρχει τὸ [n]δι᾽ αὐτὸν ἐν ταῖς πράξεσι, [o]καὶ εἰ μὴ ἐν τῷ τέλει. Εἰ οὖν, ὥσπερ λέγεται, ἑκούσιοί εἰσιν αἱ ἀρεταί· καὶ γὰρ τῶν ἕξεων συναίτιοί πως αὐτοί ἐσμεν, καὶ τῷ ποιοί τινες εἶναι, τὸ τέλος τοιόνδε τιθέμεθα· καὶ αἱ κακίαι ἑκούσιοι ἂν εἶεν· ὁμοίως γάρ. Κοινῇ μὲν οὖν περὶ τῶν ἀρετῶν [p]εἴρηται ἡμῖν, τό, τε γένος τύπῳ, ὅτι μεσότητές εἰσιν, καὶ ὅτι ἕξεις, ὑφ᾽ ὧν τε γίνονται, καὶ ὅτι τούτων πρακτικαὶ, καὶ καθ᾽ αὑτὰς, καὶ ὅτι ἐφ᾽ ἡμῖν, καὶ ἑκούσιοι, καὶ οὕτως ὡς ἂν ὁ ὀρθὸς λόγος προστάξῃ.

[l] Παρ᾽ αὐτῷ Aurel. et alii: quidam codex apud Lamb. παρ᾽ αὐτοῦ. Vide Lamb.
[m] Ita El. Aurel. Cam. et Bas. alii vero τὸ δέ. [n] Δι᾽ αὐτὸ Ven. 2. Cam. et Bas.
[o] Καὶ ἐν τῷ τέλει Bas. Vet. Interp. Eustrat. et El. hujus tamen inter lineas εἰ μὴ scribitur altera manu. Quidam εἰ μὴ ἐν τῷ τέλει, ut in marg. Bas. alii vero, ut testatur Camer. καὶ μὴ ἐν τῷ τέλει. [p] Εἴρηται ἡμῖν τοῦθ᾽ ὡς ἐν τύπῳ El. in marg. vero γρ. sicut edidimus.

libet alio modo, finis et videtur, et positus est: reliqua vero omnia ad hunc referentes agunt, quoquo modo agant. Sive igitur finis, qualiscunque ille sit, non videtur unicuique natura, sed aliquid etiam est penes eum, qui agit: sive, ut finis naturalis sit, eo tamen quod vir bonus reliquas res sua sponte gerit, virtus sponte suscipitur, nihilominus profecto vitium quoque sponte contrahetur: æque enim in homine malo, ut in bono viro, inest hoc, ut per se agere possit, etiamsi minus insit, ut finem per se videre possit. Si igitur, quemadmodum dicimus, virtutes sponte nostra comparantur (etenim habituum causas ipsi adjuvamus, ex eoque quod sic, vel sic affecti sumus, talem nobis finem proponimus) profecto vitia quoque sponte nostra contrahentur: similis enim utrorumque ratio est. Ac de virtutibus quidem universe a nobis dictum est, earumque genus rudi quadam imagine informatum atque adumbratum est, nimirum esse mediocritates, et habitus, et a quibus rebus gignuntur ii habitus, etiam ad eas res agendas valere, idque per se, et esse in nobis sitos, et nostra

Οὐχ ὁμοίως δὲ αἱ πράξεις ἑκούσιοί εἰσι, καὶ αἱ ἕξεις· τῶν μὲν γὰρ πράξεων ἀπ' ἀρχῆς μέχρι τέλους κύριοί ἐσμεν, εἰδότες τὰ καθ' ἕκαστα· τῶν ἕξεων δὲ τῆς ἀρχῆς· τῶν καθ' ἕκαστα δὲ ἡ πρόσθεσις οὐ γνώριμος, ὥσπερ ἐπὶ τῶν ἀῤῥωστιῶν· ἀλλ' ὅτι ἐφ' ἡμῖν ἦν οὕτως ἢ μὴ οὕτω χρήσασθαι, διὰ τοῦτο ἑκούσιοι. Ἀναλαβόντες δὴ περὶ ἑκάστης εἴπωμεν, τίνες εἰσὶ, καὶ περὶ [q]ποῖα, καὶ πῶς· ἅμα δ' ἔσται δῆλον καὶ πόσαι εἰσί. Καὶ πρῶτον περὶ ἀνδρίας.

ΚΕΦ. ϛ'.

ΟΤΙ μὲν οὖν μεσότης ἐστὶ περὶ φόβους καὶ θάῤῥη, [r]ἤδη καὶ πρότερον εἴρηται. Φοβούμεθα δὲ δηλονότι τὰ φοβερά· ταῦτα δ' ἐστὶν, [s]ὡς ἁπλῶς εἰπεῖν, κακά· διὸ καὶ τὸν φόβον ὁρίζονται προσδοκίαν κακοῦ. [t]Φοβούμεθα οὖν πάντα τὰ κακά· οἷον ἀδοξίαν, πενίαν, νόσον, ἀφιλίαν, θάνατον. Ἀλλ' οὐ περὶ

[q] Καὶ ποῖαι καὶ πῶς Bas. Ven. 1. et 2. [r] Ἤδη φανερὸν γιγίνηται. φοβ. El. et Argyr. φανερὸν γὰρ γιγίνηται, quæ post εἴρηται scribuntur in Ven. 1. 2. et Bas. proculdubio abundant. [s] Ὡς εἰπεῖν, ἁπλῶς κακὰ El. cujus in margine annotatur scribi etiam ut edidimus. [t] Vide Magn. Moral. lib. i. cap. 21. et Eud. lib. iii. cap. 1.

sponte suscipi, et ita, ut recta ratio præscripserit. Sed aliter actiones nostra voluntate suscipi dicuntur, aliter habitus: actionum enim a principio ad extremum domini sumus, cum rerum singularium cognitionem habemus; habituum vero principium duntaxat in nostra potestate est: at rerum singularium accessio nota non est, ut in morbis evenit: verum quia sic, aliterve tractare res singulares nobis licebat, idcirco habitus nostra sponte suscipi dicuntur. De singulis igitur virtutibus disputationem a capite repetitam ordiamur, quæ sint, et qualibus in rebus versentur, et quomodo sint virtutes: eodem vero negotio, quot sint numero virtutes, planum fiet. Ac primum de fortitudine dicamus.

CAP. VI.

FORTITUDINEM igitur esse mediocritatem, quæ in formidine et fiducia vertitur, jam antea diximus. Timemus autem nimirum ea omnia, quæ exterrent; quæ uno verbo mala sunt: itaque et metum definiunt mali expectationem. Ea igitur metuimus omnia, quæ mala sunt: ut infamiam, paupertatem, morbum, solitudinem, vitamque sine amicis, mortem. Non tamen videtur in his

πάντα δοκεῖ ὁ ἀνδρεῖος εἶναι· ἔνια γὰρ καὶ δεῖ φοβεῖσθαι, καὶ καλόν· τὸ δὲ μὴ, αἰσχρὸν, οἷον ἀδοξίαν· ὁ μὲν γὰρ φοβούμενος, ἐπιεικὴς, καὶ αἰδήμων· ὁ δὲ μὴ φοβούμενος, ἀναίσχυντος. Λέγεται δὲ ὑπό τινων ἀνδρεῖος, κατὰ μεταφοράν· ἔχει γὰρ ὅμοιόν τι τῷ ἀνδρείῳ· ἄφοβος γάρ τις καὶ ὁ ἀνδρεῖος. Πενίαν δ' ἴσως οὐ [t] δεῖ φοβεῖσθαι, οὐδὲ νόσον, οὐδ' ὅλως ὅσα μὴ ἀπὸ κακίας, μηδὲ δι' αὐτόν· ἀλλ' οὐδ' ὁ περὶ ταῦτα ἄφοβος, ἀνδρεῖος. Λέγομεν δὲ καὶ τοῦτον καθ' ὁμοιότητα· ἔνιοι γὰρ ἐν τοῖς πολεμικοῖς κινδύνοις δειλοὶ ὄντες, ἐλευθέριοί εἰσι, καὶ πρὸς χρημάτων ἀποβολὴν εὐθαρσῶς ἔχουσιν. Οὐδὲ δὴ εἴ τις ὕβριν περὶ παῖδας καὶ γυναῖκα φοβεῖται, ἢ φθόνον, ἤ τι τῶν τοιούτων, δειλός ἐστιν· οὐδ' εἰ θαῤῥεῖ, μέλλων μαστιγοῦσθαι, ἀνδρεῖος. Περὶ ποῖα οὖν τῶν φοβερῶν ὁ ἀνδρεῖος; ἢ περὶ τὰ μέγιστα; οὐθεὶς γὰρ ὑπομενετικώτερος τῶν δεινῶν. [u] Φοβερώ-

[t] Φοβητέον pro δεῖ φοβεῖσθαι habet El. [u] Natura nihil est tam terribile quam mors: etenim, ut ait Theocritus,

Ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.

Itaque Euripides,

Καλῶς ζῆν κρεῖσσον, ἢ θανεῖν καλῶς.

omnibus vir fortis versari: aliqua enim sunt pertimescenda, eaque et pertimescere honestum; et contemnere turpe est, ut infamiam: nam qui eam metuit, is et probus est, et pudens; qui vero non metuit, impudens. Sed is a nonnullis fortis appellatur, ex quadam translatione sermonis; quoniam quiddam habet forti simile: ab omni enim metu liber et solutus est etiam vir fortis. Paupertatem vero pertimescere fortasse non oportet, neque morbum, neque ea omnia, ut semel dicam, quæ neque a vitio nascuntur, neque culpa nostra contrahuntur: sed neque is, qui in his se a metu vacuum præstiterit, fortis est dicendus. Fortem tamen hunc quoque ex similitudine dicimus: nonnulli enim cum in belli periculis timidi sint, atque ignavi, liberales sunt tamen, et in pecunia amittenda fidenti ac præsenti sunt animo. Neque vero siquis contumeliam in liberos et uxorem extimescit, vel invidiam, vel aliquid ejus generis, timidus est: neque fortis is, qui animo confidit tum, cum se flagellis verberatum iri videat. Quibus ergo in rebus formidolosis vir fortis cernitur? nonne in maximis? nec enim quisquam res horribiles et asperas patientius tolerat. Omnium autem rerum nihil

τατον δ' ὁ θάνατος· ×πέρας γάρ· καὶ οὐδὲν ἔτι τῷ τεθνεῶτι δοκεῖ, οὔτε ἀγαθὸν, οὔτε κακὸν εἶναι. Δόξειε δ' ἂν οὐδὲ περὶ θάνατον τὸν ἐν παντὶ ὁ ἀνδρεῖος εἶναι· οἷον εἰ ἐν θαλάττῃ, ἢ ἐν νόσοις. Ἐν τίσιν οὖν; ἢ ἐν τοῖς καλλίστοις; τοιοῦτοι δὲ οἱ ἐν πολέμῳ· ἐν μεγίστῳ γὰρ καὶ καλλίστῳ κινδύνῳ. Ὁμόλογοι δὲ τούτοις εἰσὶ καὶ αἱ τιμαὶ αἱ ἐν ταῖς πόλεσι, καὶ παρὰ τοῖς μονάρχοις. Κυρίως δὴ λέγοιτ' ἂν ἀνδρεῖος, ὁ περὶ τὸν καλὸν θάνατον ἀδεὴς, καὶ ὅσα θάνατον ἐπιφέρει ὑπόγυια ὄντα· τοιαῦτα δὲ μάλιστα τὰ κατὰ πόλεμον. Οὐ μὴν ἀλλὰ καὶ ἐν θαλάττῃ, καὶ ἐν νόσοις ἀδεὴς ὁ ἀνδρεῖος· οὐχ οὕτω δὲ ὡς οἱ θαλάττιοι· οἱ μὲν γὰρ ἀπεγνώκασι τὴν σωτηρίαν, καὶ τὸν θάνατον τὸν τοιοῦτον δυσχεραίνουσιν· οἱ δὲ εὐέλπιδές εἰσι παρὰ τὴν ἐμπειρίαν· ἅμα δὲ καὶ ἀνδρίζονται ἐν οἷς ἐστιν ἡ ἀλκὴ, ἢ καλὸν τὸ ἀποθανεῖν· ἐν ταῖς τοιαύταις δὲ φθοραῖς οὐθέτερον ὑπάρχει.

Quod tamen ex vulgi sententia, non ex veritate dictum est: nam qui vitæ nimium cupidi sunt, merito vituperantur. *Muret.* × Hoc magis de vulgarium, quam de Aristotelis ipsius sententia dictum est. Ipse enim audierat eum magistrum, ex quo hæc Cicero expressit: *Immo vero hi vivunt, qui ex corporum vinculis, tanquam e carcere evolaverunt: vestra vero, quæ dicitur vita, mors est.* Muret.

horribilius morte est: nam omnium rerum est extremum: nihilque reliquum esse mortuo videtur, neque bonum, neque malum. Sed non in omni mortis genere vir fortis cernitur; ut si quis vel in mari naufragio pereat, vel morbis conficiatur. In quonam igitur? nonne in eo, quod pulcherrimum est? at tale est id, quod in bello oppetitur: in maximo enim et pulcherrimo periculo mors oppetitur. Testantur et comprobant hæc, quæ dicimus, honores ii, qui et in liberis civitatibus, et apud reges, eis, qui in bello ceciderunt, decernuntur. Quocirca fortis proprie dici possit is, qui nec morte honesta, nec iis impendentibus atque instantibus, quæ mortem afferunt, perterretur: cujusmodi sunt ea maxime, quæ in bello accidunt. Veruntamen tum in mari, tum in morbis vir fortis vacuus est ille quidem a metu: sed non ut nautæ: fortes enim cum de salute sua desperant, tum genus hoc mortis ægre ferunt: nautas usus et experientia confirmavit, beneque sperare docuit: simulque illi fortem animum præstant iis in rebus, in quibus aut viribus opus est, aut excedere de vita est honestum: quorum neutrum in his generibus interitus reperitur.

ΚΕΦ. ζ′.

ΤΟ δὲ φοβερὸν οὐ πᾶσι μὲν τὸ αὐτό· λέγομεν δέ τι [y] καὶ ὑπὲρ ἄνθρωπον· τοῦτο [z] μὲν οὖν παντὶ φοβερὸν τῷ νοῦν ἔχοντι. Τὰ δὲ κατ' ἄνθρωπον διαφέρει μεγέθει, καὶ τῷ μᾶλλον καὶ τῷ ἧττον· ὁμοίως δὲ καὶ τὰ θαῤῥαλέα. Ὁ δὲ ἀνδρεῖος, ἀνέκπληκτος ὡς ἄνθρωπος· φοβήσεται μὲν οὖν καὶ τὰ τοιαῦτα· ὡς δεῖ δὲ, καὶ ὡς ὁ λόγος, ὑπομενεῖ, τοῦ καλοῦ ἕνεκα· τοῦτο γὰρ τέλος τῆς ἀρετῆς. Ἔστι δὲ μᾶλλον καὶ ἧττον ταῦτα φοβεῖσθαι, καὶ ἔτι τὰ μὴ φοβερὰ ὡς τοιαῦτα φοβεῖσθαι. Γίνεται δὲ τῶν ἁμαρτιῶν, ἡ μὲν [a] ὅτι οὐ δεῖ, ἡ δὲ, ὅτι οὐχ ὡς δεῖ, ἡ δὲ, ὅτι οὐχ ὅτε, ἤ τι τῶν τοιούτων· ὁμοίως δὲ καὶ περὶ τὰ θαῤῥαλέα. Ὁ μὲν οὖν ἃ δεῖ, καὶ οὗ ἕνεκα, ὑπομένων καὶ φοβούμενος, καὶ ὡς δεῖ, καὶ ὅτε, ὁμοίως δὲ καὶ θαῤῥῶν, ἀνδρεῖος· [b] κατ' ἀξίαν γὰρ, καὶ ὡς ἂν ὁ λόγος, πάσχει καὶ πράττει

[y] Καὶ abest a quibusdam codd. [z] Hujusmodi sunt fulmina violenta, terræmotus, et maris exundationes. [a] Ὅτι οὐ οὐ δεῖ legendum esse censet Gruchius. [b] Καθ' ἕξιν Argyr. et Bas. in marg.

CAP. VII.

HORRIBILE autem non omnibus unum et idem est: estque aliquid, quod hominis constantiam superat, quod omnibus, qui sanæ mentis sunt, terrorem injicit. Quæ autem homini tolerabilia sunt, ea magnitudine differunt, eoque quod alia aliis terribiliora sunt, alia leviora: itemque ea, quæ fiduciam afferunt. Vir autem fortis imperterritus, atque impavidus est, ut homo: proinde hæc talia quoque pertimescet: sed ita, ut oportet, et ut ratio postulat, subibit ac perferet honesti causa: hic enim virtutis finis est. Fieri autem potest, ut hæc quis et magis, et minus, quam debet, extimescat, et præterea ut quæ non sunt formidolosa, perinde ac si talia sint, metuat. Peccata autem committuntur alia quod id agitur quod non oportet; alia quod non ut oportet; alia quod non quo tempore oportet; aut aliquid hujusmodi: idem et de iis, quæ fiduciam afferunt, sentiendum. Qui igitur ea, quæ oportet, et cujus rei causa oportet, et ut oportet perfert et metuit, fortis est; itemque et qui confidit: nam pro rei dignitate, et quo tempore par est, et ut ratio postulat, patitur et agit vir fortis. Omnis autem a-

ὁ ἀνδρεῖος. Τέλος δὲ πάσης ἐνεργείας ἐστὶ τὸ κατὰ . . καὶ τῷ ἀνδρείῳ δὲ ἡ ἀνδρία καλόν· τοιοῦτον δὲ καὶ τὸ τ. . ὁρίζεται γὰρ ἕκαστον τῷ τέλει. Καλοῦ δὴ ἕνεκα ὁ ἀνδρεῖος ὑπομένει καὶ πράττει τὰ κατὰ τὴν ἀνδρίαν. Τῶν δὲ ὑπερβαλλόντων, ὁ μὲν τῇ ἀφοβίᾳ, ἀνώνυμος· εἴρηται δ' ἡμῖν ἐν τοῖς πρότερον, ὅτι πολλά ἐστιν ἀνώνυμα· εἴη δ' ἄν τις μαινόμενος ἢ ἀνάλγητος, εἰ μηθὲν φοβοῖτο, μήτε σεισμὸν, μήτε τὰ κύματα, καθάπερ φασὶ τοὺς [c] Κελτούς· ὁ δὲ τῷ θαῤῥεῖν ὑπερβάλλων περὶ τὰ φοβερὰ, θρασύς· δοκεῖ δὲ καὶ ἀλαζὼν εἶναι ὁ θρασὺς καὶ προσποιητικὸς ἀνδρίας. Ὡς οὖν ἐκεῖνος περὶ τὰ φοβερὰ ἔχει, οὕτως οὗτος βούλεται φαίνεσθαι· ἐν οἷς οὖν δύναται, μιμεῖται. Διὸ καί εἰσιν οἱ πολλοὶ αὐτῶν θρασύδειλοι· ἐν τούτοις γὰρ θρασυνόμενοι, τὰ φοβερὰ οὐχ ὑπομένουσιν. Ὁ δὲ τῷ φοβεῖσθαι ὑπερβάλλων, δειλός· καὶ γὰρ ἃ μὴ δεῖ, καὶ ὡς οὐ δεῖ, καὶ πάντα τὰ τοιαῦτα ἀκολουθεῖ αὐτῷ· ἐλλείπει

[c] Hi Alexandro Magno dicebant se id unum timere ne cœlum rueret, teste Strabone, et Arriano. Eud. lib. iii. cap. 1. Aristoteles de iis hæc habet: Οἱ Κελτοὶ πρὸς τὰ κύματα ὅπλα ἀπαντῶσι λαβόντες. Vide Plutarchum et Ælian. lib. xii. de Varia Historia. cap. 23. et notas Perizonii.

otionis finis est id, quod habitui convenit: at viro forti fortitudo honestum quiddam est: talis igitur est et finis; suo enim quidque fine definitur ac terminatur. Honesti igitur causa vir fortis et suffert, et agit omnia, quæ fortitudini consentanea sunt. Ex iis autem, qui modum superant, is, qui metus vacuitate superat, caret nomine: esse autem multa, quibus imposita nomina non essent, supra diximus: sed appellari poterit vel insanus quidam, vel doloris omnis expers, si nihil metuat, neque terræmotum, neque procellas, quales aiunt esse Celtas: qui autem in eo modum superat, quod in rebus formidolosis præfidat, audax est: atque audax etiam arrogans esse, sibique fortitudinis laudem sumere videtur. Itaque quo ille animo est in rebus formidolosis, eodem vult hic videri: quibuscunque igitur rebus potest, eum imitatur. Ita fit etiam, ut plerique eorum timiditatem habeant cum audacia conjunctam: nam cum in his se jactent, audaciamque ostentent, res formidolosas tamen non perferunt. At qui metuendo modum superat, is ignavus timidusque nominatur: nam et quæ metuenda non sunt, et quemadmodum non sunt, me-

δὲ καὶ τῷ θαῤῥεῖν· ἀλλ' ἐν ταῖς λύπαις ὑπερβάλλων, μᾶλλον καταφανής ἐστι. Δύσελπις δή τις ὁ δειλός· πάντα γὰρ φοβεῖται· ὁ δὲ ἀνδρεῖος ἐναντίος· τὸ γὰρ θαῤῥεῖν, εὐέλπιδος. [d] Περὶ ταῦτα μὲν [e] οὖν ἐστιν, ὅ, τε δειλὸς, καὶ ὁ θρασὺς, καὶ ὁ ἀνδρεῖος· διαφόρως δ' ἔχουσι πρὸς αὐτά· οἱ μὲν γὰρ ὑπερβάλλουσι καὶ ἐλλείπουσιν· ὁ δὲ μέσως ἔχει, καὶ ὡς δεῖ· καὶ οἱ μὲν θρασεῖς, προπετεῖς, καὶ βουλόμενοι [f] πρὸ τῶν κινδύνων, ἐν αὐτοῖς ἀφίστανται· οἱ δ' ἀνδρεῖοι, ἐν τοῖς ἔργοις ὀξεῖς, πρότερον δ' ἡσύχιοι. Καθάπερ οὖν εἴρηται, ἡ ἀνδρία μεσότης ἐστὶ περὶ θαῤῥαλέα καὶ φοβερὰ, ἐν οἷς εἴρηται· καὶ ὅτι καλὸν, αἱρεῖται καὶ ὑπομένει, ἢ ὅτι αἰσχρὸν, τὸ μή. [g] Τὸ δ' ἀποθνή-

[d] Περὶ ταυτὰ, *in iisdem*. Mur. et Lamb. [e] Οὖν deest El. [f] Πρὸ τῶν κινδύνων κινδυνεύειν, ἐν αὐτ. Ven. 1. 2. et Bas. [g] Οὐδ' οἱ φεύγοντες τὸ πονεῖν ὅπερ πολλοὶ ποιοῦσιν, οὐδὲ τῶν τοιούτων οὐδεὶς ἀνδρεῖος, καθάπερ καὶ Ἀγάθων φησὶ,

Φαῦλοι βροτῶν γὰρ, τοῦ πονεῖν ἡσσώμενοι,
Θανεῖν ἐρῶσι. Eud. lib. iii. cap. 1.

Idem venuste expressit Euripides ἐν Ἡρακλεῖ μαινομένῳ, his versibus:

Ταῖς συμφοραῖς γὰρ ὅστις οὐχ ὑφίσταται,
Οὐδ' ἀνδρὸς ἂν δύναιθ' ὑποστῆναι βέλος.

Vide Muret. Variarum Lect. lib. iv. cap. 2. et August. De Civitate Dei lib. i.

Χρὴ πενίην φεύγοντα καὶ εἰς μεγακήτεα πόντον
Ῥίπτειν, καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων. Theogn. ver. 175.

tuit; omniaque ejusdem generis eum comitantur: confidendo quoque modum deserit: sed cum in doloribus ac molestiis modum superat, magis sese indicat ac prodit. Ab omni igitur fere spe derelictus est ignavus; omnia enim pertimescit: fortis vero contra; hominis est enim bona spe freti, beneque sperantis, confidere. In his igitur rebus timidus, audax, et fortis versantur: sed non eodem modo in eas affecti sunt: illi enim modum transeunt, ac deserunt; hic mediocritatem servat, seseque in his ita, ut debet, gerit: atque audaces sane præproperi sunt, ac præcipites, periculumque, antequam in periculo versentur, adire volunt; in ipso autem periculo sunt tardiores, et a sententia desistunt: at viri fortes in factis ipsis acres sunt, et celeres; ante facta, sedati et quieti. Quemadmodum igitur diximus, fortitudo mediocritas est, quæ versatur cum in eis, quæ fiducia complent animos, tum in iis, quæ terrorem afferunt, non omnibus, sed iis, quæ supra diximus: eaque sumit, ac perfert, vel quia perferre honestum, vel quia non perferre turpe est. Sibi autem ipsum

σκειν, φεύγοντα πενίαν, ἢ ἔρωτα, ἤ τι λυπηρὸν, οὐκ ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ· μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα· καὶ οὐχ ὅτι καλὸν, ὑπομένει, ἀλλὰ φεύγων κακόν. Ἔστι μὲν οὖν ἡ ἀνδρία τοιοῦτόν τι.

ΚΕΦ. ή.

ΛΕΓΟΝΤΑΙ δὲ καὶ ἕτεραι κατὰ πέντε τρόπους· πρῶτον μὲν ἡ πολιτική· μάλιστα γὰρ ἔοικε· δοκοῦσι γὰρ ὑπομένειν τοὺς κινδύνους οἱ πολῖται, διὰ τὰ ἐκ τ̃ νόμων ἐπιτίμια, καὶ τὰ ὀνείδη, ϗ διὰ τὰς τιμάς. Καὶ διὰ τοῦτο ἀνδρειότατοι δοκοῦσιν εἶναι, παρ' οἷς οἱ δειλοὶ ἄτιμοι, οἱ δὲ ἀνδρεῖοι ἔντιμοι· τοιούτους δὲ ϗ Ὅμηρος ποιεῖ, οἷον τὸν Διομήδη ϗ τὸν Ἕκτορα·

[h] Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει.

Καὶ Διομήδης·

[i] Ἕκτωρ γάρ ποτε φήσει, ἐνὶ Τρώεσσ' ἀγορεύων,

[h] Priamus et Hecuba filium suum Hectorem precibus sollicitant ne cum Achille congrediatur, sed in urbem se recipiat, ibique Trojanos protegat: at Hector, quid optimum factu sit, secum deliberans, inquit:

Ὤ μοι ἐγὼν, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει. Iliad χ'. ver. 99.

[i] Nestor Diomedem ut fugiat hortatur, quod Hectori divino impetu pugnanti

mortem consciscere, fugientem vel paupertatem, vel amorem, vel ægritudinem aliquam, non est viri fortis, sed ignavi potius; mollis enim animi est res ærumnosas et laboriosas fugere: at ille non ob id quod honestum sit, sed quod malum fugere studeat, mortem subit ac perfert. Ac fortitudo quidem talis quædam res est.

CAP. VIII.

EJUS autem et alii quinque modi feruntur: quorum primus est ejus, quæ civilis appellatur; ad illam enim, quæ vere et proprie fortitudo est, proxime videtur accedere: videntur enim cives pericula subire, cum legitimis pœnis atque ignominiis compulsi, tum honoribus ac præmiis invitati. Atque ob eam causam apud eos maxime viri fortissimi reperiuntur, apud quos et infamia notantur ignavi, et honore afficiuntur viri fortes: ac tales quidem facit Homerus, verbi gratia, Diomedem et Hectorem:

Primus Polydamas turpi me labe notabit.

Et Diomedes:

Namque Hector Trojana inter sic agmina dicet,

Τυδείδης ὑπ' ἐμεῖο.——

Ὡμοίωται δ' αὕτη μάλιστα τῇ πρότερον εἰρημένῃ, ὅτι δι' ἀρετὴν γίνεται· [i] δι' αἰδῶ γὰρ, καὶ διὰ καλοῦ ὄρεξιν, τιμῆς γὰρ, καὶ φυγὴν ὀνείδους, αἰσχροῦ ὄντος. Τάξαι δ' ἄν τις καὶ τοὺς ὑπὸ τῶν ἀρχόντων ἀναγκαζομένους εἰς ταὐτό· χείρους δ', ὅσῳ οὐ δι' αἰδῶ, ἀλλὰ διὰ φόβον αὐτὸ δρῶσι, καὶ φεύγοντες, οὐ τὸ αἰσχρὸν, ἀλλὰ τὸ λυπηρόν· ἀναγκάζουσι γὰρ οἱ κύριοι, ὥσπερ ὁ [k] Ἕκτωρ·

Ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης πτώσσοντα νοήσω,
Οὔ οἱ ἄρκιον ἐσσεῖται φυγέειν κύνας·——

καὶ οἱ [l] προστάττοντες, κἂν ἀναχωρῶσι, τύπτοντες. Τὸ αὐτὸ

nemo resistere posse videretur: at Diomedes id se facturum negat, ne de eo aliquando Hector gloriaretur:

Ἕκτωρ γάρ ποτε φήσει, ἐνὶ Τρώεσσ' ἀγορεύων,
Τυδείδης ὑπ' ἐμεῖο φοβεύμενος ἵκετο νῆας.
Ὥς ποτ' ἀπειλήσει· τότε μοι χάνοι εὐρεῖα χθών. Iliad. Θ'. ver. 148.

Secundum versum integrum ponunt Cam. et Argyr. [i] Vide lib. iv. sub finem.

[k] Iliad. β'. ver. 391. Agamemnon (non Hector) Græcos sic alloquitur:

Ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω
Μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
Ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς.

At Iliad. ό. ver. 348. Hector Trojanos aliis verbis, eodem tamen sensu, affatur:

Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
Αὐτοῦ οἱ θάνατον μητίσσομαι, οὐδέ νυ τόν γε
Γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
Ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.

Vel igitur est erratum μνημονικόν: vel, ut annotavit Sylburgius, librarii, cum a philosopho initium duntaxat Homerici loci citatum esset, ex Iliad. β'. sumpserunt, quod sumere debebant ex Iliad. ό. Solere autem hemistichia etiam imperfecta sæpe citari, satis arguit paulo ante Τυδείδης ὑπ' ἐμεῖο. Sic infra initio lib. viii. Σύν τε δύ' ἐρχομένω, et similia. [l] Γρ. προτάττοντες.

Tydides a me.—

Hæc autem similis videtur ei quæ primo loco a nobis posita est, quoniam ejus effectrix virtus est: pudor enim, et honesti appetitio, videlicet honoris, et dedecoris, quod turpe est, fuga, eam efficiunt. Eundem autem in numerum referre licet eos, qui ab iis, quorum sub imperio sunt, fortes esse coguntur; sed hi eo sunt illis deteriores, quod non pudore adducti, sed metu coacti id faciunt, nec eo quod turpitudinem, sed quod dolorem fugiant: cogunt enim ii, penes quos est potestas, ut Hector:

Quem procul a pugna sese subducere cernam,
Non tamen hic avium atque canum minus esca jacebit:

cogunt etiam ii, qui ordines ducunt, et si retrocedant illi, verberant. Idem faciunt et

δρῶσι καὶ [m] οἱ πρὸ τῶν [n] τάφρων καὶ τῶν τοιούτων [o] παρατάττοντες· πάντες γὰρ [p] ἀναγκάζουσι· δεῖ δ' οὐ δι' ἀνάγκην ἀνδρεῖον εἶναι, ἀλλ' ὅτι καλόν. Δοκεῖ δὲ καὶ ἡ ἐμπειρία ἡ περὶ ἕκαστα, ἀνδρία τις εἶναι· ὅθεν καὶ ὁ [1] Σωκράτης ᾠήθη ἐπιστήμην εἶναι τὴν ἀνδρίαν. Τοιοῦτοι δὲ ἄλλοι μὲν ἐν ἄλλοις· ἐν τοῖς πολεμικοῖς δ' οἱ στρατιῶται· δοκεῖ γὰρ εἶναι πολλὰ [q] κενὰ τοῦ πολέμου, ἃ μάλιστα συνεωράκασιν οὗτοι. Φαίνονται δὴ ἀνδρεῖοι, ὅτι οὐκ ἴσασιν οἱ ἄλλοι [r] οἷά ἐστιν· εἶτα ποιῆσαι ϗ μὴ παθεῖν μάλιστα δύνανται ἐκ τῆς ἐμπειρίας, ϗ φυλάξασθαι, καὶ πατάξαι, δυνάμενοι χρῆσθαι τοῖς ὅπλοις, ϗ τοιαῦτα ἔχοντες, ὁποῖα ἂν εἴη καὶ πρὸς τὸ ποιῆσαι, ϗ πρὸς τὸ μὴ παθεῖν, κράτιστα. Ὥσπερ οὖν ἀνόπλοις ὡπλισμένοι μάχονται, ϗ ἀθληταὶ ἰδιώταις· καὶ γὰρ ἐν τοῖς τοιούτοις ἀγῶσιν

[m] Sic Lacedæmonii, qui contra Messenios pugnaturi, castra ita posuerunt, ut a fronte hostem, a tergo fossam haberent, ne ullus fugæ locus esset. Vide Eustrat. [n] Γρ. τειχῶν. Vet. Interp. utrumque habet. [o] Γρ. προτάττοντες. Vide Lamb. [p] Κἂν μὴ παρῶσι δὲ οἱ στρατηγοὶ τῇ παρατάξει, καὶ ἀναγκάζωσι τοὺς στρατιώτας τοὺς κινδύνους καρτερεῖν, ἀλλὰ φόβον αὐτοῖς ἐνθέντες, δι' ὃν πολλάκις ἐνόησαν λιπόντες τὴν τάξιν, τὸ αὐτὸ δρῶσι· καὶ οὕτω δι' ἀνάγκην ἀνδρεῖοι δοκοῦσιν εἶναι. *Andr.* [1] Vide Platonem in Lachete et Protagora. [q] Καινὰ El. et C C C. (in eorum vero marg. γρ. κενὰ) Ven. 1. et Bas. in cujus marg. est et καινά. Vide Camer. [r] Ἃ pro οἷα C C C.

qui ante fossas, et alias hujus generis munitiones, disponunt; namque omnes hi cogunt: sed par est, honesto excitatum fortem esse, non vi, aut necessitate coactum. Atque etiam usus in quaque re nomen sibi fortitudinis vendicat: ex quo et Socrates fortitudinem scientiam esse putabat. Atque usu periti et exercitati, alii quidem sunt aliis in rebus, sed in bellicis milites: nam multi videntur esse belli terrores inanes, quos hi experiendo maxime perspectos habent et cognitos. Quocirca fortes propterea habentur, quod alii, quales sint terrores illi, non intelligunt: deinde cum adversarios damnis afficere, nulloque ipsi detrimento affici usu et consuetudine maxime possint, tum ictus vitare, et hostem ferire in primis sciunt: quippe qui et armis expeditissime possunt uti, et hujusmodi armis instructi sunt, quæ ad damnum hosti inferendum, et a se propulsandum, maxime valent. Quocirca sic, ut cum inermibus armati, et ut athletæ cum luctandi imperitis, decertant: namque etiam in talibus certaminibus non fortissimus

οὐχ οἱ ἀνδρειότατοι μαχιμώτατοί εἰσιν, ἀλλ' οἱ μάλιστα ἰσχύοντες, κ̀ τὰ σώματα ἄριστα ἔχοντες. Οἱ στρατιῶται δὲ δειλοὶ γίνονται, ὅταν ὑπερτείνῃ ὁ κίνδυνος, καὶ λείπωνται τοῖς πλήθεσι καὶ ταῖς παρασκευαῖς· πρῶτοι γὰρ φεύγουσι· τὰ δὲ πολιτικὰ μένοντα ἀποθνήσκει· ὅπερ κἀπὶ τῷ [s] Ἑρμαίῳ συνέβη· τοῖς μὲν γὰρ αἰσχρὸν τὸ φεύγειν, καὶ ὁ θάνατος τῆς τοιαύτης σωτηρίας αἱρετώτερος· οἱ δὲ καὶ ἐξ ἀρχῆς ἐκινδύνευον, ὡς κρείττους ὄντες· γνόντες δὲ φεύγουσι, τὸν θάνατον μᾶλλον τοῦ αἰσχροῦ φοβούμενοι. Ὁ δ' ἀνδρεῖος οὐ τοιοῦτος. Καὶ τὸν 3
θυμὸν δὲ ἐπὶ τὴν ἀνδρίαν [t] ἐπιφέρουσιν· ἀνδρεῖοι γὰρ εἶναι δοκοῦσι καὶ οἱ διὰ θυμὸν, ὥσπερ τὰ θηρία ἐπὶ τοὺς τρώσαντας, φερόμενοι· ὅτι καὶ οἱ ἀνδρεῖοι θυμοειδεῖς· [u] ἰτητικώτατον γὰρ ὁ θυμὸς πρὸς τοὺς κινδύνους· ὅθεν καὶ Ὅμηρος·

[x] —σθένος ἔμβαλε θυμῷ· καὶ,

[s] Τῷ ἐν Κορώνῃ τῆς Βοιωτίας, quæ scribuntur post Ἑρμαίῳ in N C. Ven. 1. 2. et Bas. proculdubio sunt glossa. Arce Coroneæ, urbis in Bœotia, per proditionem ab Onomarcho occupata, Coronei, una cum auxiliariis ad eos a Bœotorum ducibus missis, in Hermæo, campestri urbis loco, cum hostibus confligunt: auxiliarii statim ab initio pugnæ, cognita Charonis ducis sui morte, terga vertunt: cives vero constanter ad extremum pugnârunt, et omnes interfecti fuerunt. Vide Eustrat. et Diodor. Sicul. lib. xvi. [t] Ἀναφέρουσιν El. et C C C. in marg. [u] Γρ. ἑρμητικώτατον, et κινητικώτατον, mendose: ἰτικώτατον apud Eustrat. Sed vulgata lectio est magis Attica. *Casaub.* [x] Iliad. π'. ver. 529.

quisque pugnacissimus est, sed qui plurimum viribus valet, corporeque est præstantissimo. At vero milites tum ignavi fiunt, cum et periculum majus est, quam ut possint obsistere, et copiis atque apparatu sunt inferiores: primi enim terga vertunt; civiles autem copiæ pugnantes occidunt: id quod in Hermæo contigit: nam et fuga civibus turpis, et mors tali salute optabilior erat: illi vero initio pugnæ sese periculis offerebant, proinde ac si meliores essent; at, cognito periculo, salutem fuga petierunt, mortem pejus turpitudine pertimescentes. Talis autem vir fortis esse non solet. Porro autem iram quoque fortitudini ascribunt; fortes enim videntur esse etiam ii, qui ira concitati tanquam belluæ in eos irruunt, qui vulnerarunt: quoniam fortes sunt etiam iracundi; maximum enim ad pericula adeunda calcar ira admovet: ex quo et Homerus:

—vires addidit ira:

et illud,

[y]—μένος καὶ θυμὸν ἔγειρε· καὶ,
[z]Δριμὺ δ' ἀνὰ ῥῖνας μένος·— καὶ,
[a]—ἔζεσεν αἷμα·

πάντα γὰρ τὰ τοιαῦτα ἔοικε σημαίνειν τὴν τοῦ θυμοῦ ἔγερσιν, καὶ ὁρμήν. Οἱ μὲν οὖν ἀνδρεῖοι διὰ τὸ καλὸν πράττουσιν· ὁ δὲ θυμὸς συνεργεῖ αὐτοῖς· τὰ θηρία δὲ διὰ λύπην· διὰ γὰρ τὸ πληγῆναι ἢ φοβεῖσθαι· ἐπεὶ ἄν γε [b]ἐν ὕλῃ ἢ ἐν ἕλει ᾖ, οὐ προσέρχονται. [c]Οὐ δή ἐστιν ἀνδρία, ὑπ' ἀλγηδόνος καὶ θυμοῦ ἐξελαυνόμενα πρὸς τὸν κίνδυνον ὁρμᾶν; οὐθὲν τῶν δεινῶν προορῶντα· ἐπεὶ οὕτω γε κἂν οἱ ὄνοι ἀνδρεῖοι ἂν εἶεν πεινῶντες· [1]τυπτόμενοι γὰρ οὐκ ἀφίστανται τῆς νομῆς· καὶ οἱ μοιχοὶ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν τολμηρὰ πολλὰ δρῶσιν. [d]Οὐ δή ἐστιν ἀνδρεῖα, τὰ δι' ἀλγηδόνος ἢ θυμοῦ ἐξελαυνόμενα πρὸς τὸν κίνδυνον. [e]Φυσικωτάτη δὲ ἔοικεν ἡ διὰ τὸν θυμὸν εἶναι, καὶ

[y] Iliad. ι'. ver. 510.

[z] Τοῦ δ' ὠρίνετο θυμὸς, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
Δριμὺ μένος προὔτυψε.— Odyss. ω'. ver. 317.

Hæc dicuntur de Ulysse commiseratione commoto, et ab Aristotele ad iram accommodantur: nisi fortasse μνημονικὸν ἁμάρτημα sit. [a] Hæc occurrunt nec in Iliad. nec in Odyss. Vide Zuing. et Gallutium. [b] Vel ὕλῃ, vel ἕλει delendum esse censet Vict. utrumque vero in Andr. et omnibus codd. nostris occurrit. [c] Οὐ δή ἐστιν ἀνδρεῖα διὰ τὸ ἀλγ. Ven. 1. 2. et Bas. cujus in marg. scrib. ἀπ' ἀλγ. Cum iis facit Vet. Interp. nisi quod ὁρμᾶν omittit. οὐ δή ἐστιν ἀνδρεία τὸ διὰ ἀλγ. καὶ θυμοῦ ἐξελαυνόμενον Gruch. οὐ δή ἐστιν ἀνδρεῖα τῷ δι' ἀλγ. vel. διὰ τὸ ὑπ' ἀλγ. Lamb. οὐ δή ἐστιν ἀνδρεία διὰ τὸ ὑπ' ἀλγ. C C C. et N C. qui etiam legit ἐξελαυνόμενον. [1] Vide Iliad. λ'. ver. 557. [d] Ita Casaub. vulgo οὐ δὴ οὖν. [e] Ἡ δὲ φυσικωτάτη

—bilem concivit et iram:

et,

Acris per nares subiit furor:

et,

—toto fervebat corpore sanguis:

hæc enim omnia celeritatem, atque impetum animi concitati significare videntur. Fortes igitur honesti causa res omnes gerunt, eosque ira adjuvat: bestiæ autem dolore affectæ: nam vel quod ictæ fuerunt, vel quod metuunt; nam si sint in silva, aut palude, neminem aggrediuntur. Non igitur eo fortitudo dicenda est, quod dolore et ira incitatæ periculum adeant, nihil eorum, quæ gravia et periculosa sunt, providentes: nam isto quidem modo asinos fortes dicere licebit, cum esuriunt: quoniam ne verberibus quidem a pastu demoventur: et adulteri cupiditate inflammati multa faciunt audacius. Non igitur fortia sunt ea, quæ dolore vel ira elata sese in discrimen offerunt. Videtur autem ea fortitudo maxi-

προσλαβοῦσα προαίρεσιν, καὶ τὸ οὗ ἕνεκα, ἀνδρία εἶναι. Καὶ
οἱ ἄνθρωποι δὴ ὀργιζόμενοι μὲν ἀλγοῦσι, τιμωρούμενοι δ'
ἥδονται· οἱ δὲ διὰ ταῦτα, μάχιμοι μὲν, οὐκ ἀνδρεῖοι δέ· οὐ
γὰρ διὰ τὸ καλὸν, οὐδ' ὡς ὁ λόγος, ἀλλὰ διὰ τὸ πάθος·
[f]παραπλήσιον δ' ἔχουσί τι. Οὐδὲ [g]δὴ οἱ εὐέλπιδες ὄντες, 4
ἀνδρεῖοι· διὰ γὰρ τὸ πολλάκις καὶ πολλοὺς νενικηκέναι, θαῤ-
ῥοῦσιν ἐν τοῖς κινδύνοις· παρόμοιοι δὲ, ὅτι ἄμφω θαῤῥαλέοι·
ἀλλ' οἱ μὲν ἀνδρεῖοι διὰ τὰ προειρημένα θαῤῥαλέοι· οἱ δὲ διὰ
τὸ οἴεσθαι [h]κρείττους εἶναι, καὶ μηδὲν ἀντιπαθεῖν. Τοιοῦτον δὲ
ποιοῦσι καὶ οἱ μεθυσκόμενοι· εὐέλπιδες γὰρ γίνονται· ὅταν δὲ
αὐτοῖς μὴ συμβῇ τοιαῦτα, φεύγουσιν· ἀνδρείου δ' ἦν τὰ φο-
βερὰ ἀνθρώπῳ ὄντα καὶ [i]φαινόμενα ὑπομένειν, ὅτι καλόν· καὶ
αἰσχρὸν, τὸ μή. Διὸ καὶ [k]ἀνδρειοτέρου δοκεῖ εἶναι, τὸ ἐν τοῖς
αἰφνιδίοις φόβοις ἄφοβον καὶ ἀτάραχον εἶναι, ἢ ἐν τοῖς προ-

καὶ ἡ κυρίως ἀνδρία ἐκείνη ἐστὶν, ὅταν κινώμεθα μὲν διὰ τοῦ θυμοῦ, μετὰ προαιρέσεως δὲ, καὶ ἕνεκα τοῦ ἀγαθοῦ. Andr. [f] Παραπλήσιον δ' ἔχουσί τι οἱ κατ' εὐελπιστίαν. οὐδὲ δὴ οἱ εὐελπ. N C. Ven. 1. 2. et Bas. [g] Γρ. δέ. [h] Γρ. κρατίστους. [i] Μὴ φαινόμενα El. C C C. et Vet. Interp. [k] Γρ. ἀνδρειότερον.

me naturalis esse, quam ira excitavit, et si consilium, idque cujus causa res fit, assumpserit, vere fortitudo poterit appellari. Præterea homines cum irascuntur, dolore, cum injuriam acceptam ulciscuntur, voluptate afficiuntur: at qui his causis impulsi periculum adeunt, pugnaces illi quidem, sed non fortes appellandi sunt: non enim propter honestum, neque ita, ut ratio monet, id faciunt, sed perturbatione concitati: verum simile quiddam habent. Sed nec ii, qui bona spe freti sunt, fortes sunt habendi: nam propterea quod et sæpius, et multos vicerunt, in periculis fidunt: eo autem sunt similes, quod utrique fiducia præditi sunt: veruntamen fortes propter eas causas, quas diximus, fidunt; hi quia animum induxerunt se viribus esse omnium præstantissimos, nihilque incommodi vicissim accepturos. Ac tale quiddam faciunt etiam ii qui ebrii facti sunt: nam bona spe eriguntur: cum vero alia, quam speraverunt, eis evenerint, diffugiunt: erat autem viri fortis, quæ formidolosa homini et sunt et videntur, ea ob eam causam perferre, quia et perferre honestum sit, et non perferre turpe. Itaque viri fortioris esse videtur, in repentinis terroribus sese imperterritum, mini-

δήλοις· ἀπὸ ἕξεως γὰρ μᾶλλον, ἢ καὶ ὅτι ἧττον ἐκ παρασκευῆς· τὰ προφανῆ μὲν γὰρ, κἂν ἐκ λογισμοῦ καὶ λόγου τις προέλοιτο· τὰ δ' ἐξαίφνης, κατὰ τὴν ἕξιν. Ἀνδρεῖοι δὲ φαίνονται καὶ οἱ ἀγνοοῦντες, καί εἰσιν οὐ πόῤῥω τῶν εὐελπίδων· χείρους δ' ὅσῳ [l]ἀξίωμα οὐδὲν ἔχουσιν· ἐκεῖνοι δέ· διὸ καὶ μένουσί τινα χρόνον· οἱ δ' ἠπατημένοι, ἐὰν γνῶσιν ὅτι ἕτερον, ἢ ὑποπτεύσωσι, φεύγουσιν· ὅπερ οἱ [m]Ἀργεῖοι ἔπαθον περιπεσόντες τοῖς Λάκωσιν, ὡς Σικυωνίοις. Οἵ τε δὴ ἀνδρεῖοι εἴρηνται ποῖοί τινες, καὶ οἱ δοκοῦντες ἀνδρεῖοι.

ΚΕΦ. θ'.

ΠΕΡΙ θάῤῥη δὲ καὶ φόβους ἡ ἀνδρία οὖσα, οὐχ ὁμοίως περὶ ἄμφω ἐστὶν, ἀλλὰ μᾶλλον περὶ τὰ φοβερά· ὁ γὰρ ἐν τούτοις ἀτάραχος, καὶ περὶ ταῦθ' ὡς δεῖ ἔχων, ἀνδρεῖος μᾶλλον, ἢ ὁ περὶ τὰ θαῤῥαλέα. Τῷ δὴ τὰ λυπηρὰ ὑπομένειν, ὡς

[l] Ἀξίωμα hoc in loco *præconceptum mali evincendi opinionem*, vel *voluntatem internam* verti vult Zuing. Huic favet Eustrat. οὐδὲν ἀξίωμα ἔχουσιν, οὐ γὰρ εἰδότες ὑπερορῶσι. Vide Zuing. [m] Vide Xenoph. lib. iv. Ἑλληνικῶν.

meque perturbatum præbere, quam in provisis: vel quia hæc animi constantia magis ab animi habitu proficiscitur; vel etiam quia minus præparationis habet: nam quæ multo ante prospecta sunt, in iis quivis animi agitatione et ratione consilium ceperit; at in repentinis, habitu. Fortes porro videntur ii quoque, qui periculum ignorant: nec longe absunt ab iis, qui bona spe ad audendum provehuntur: hoc quidem certe sunt deteriores, quod nihil splendoris, nihilque dignitatis in his elucet; in illis vero plurimum: itaque illi aliquantulum temporis permanent in incepto: hi autem decepti et in errorem inducti, statim ut aliud esse, quam putaverint, cognoverunt, fugiunt: quod Argivis accidit, qui in Lacedæmonios pro Sicyoniis inciderunt. Ac vere fortes quidem, et ii, qui similitudinem fortium gerunt, quales sint, diximus.

CAP. IX.

SED cum in fiducia, metuque versetur fortitudo, non tamen peræque in utroque, sed in rebus formidolosis magis cernitur: nam qui in his omni animi motu ac perturbatione vacat, quique in eis ita affectus est animo, ut debet, is fortior eo est, qui in iis rebus, quæ fiduciam afferunt, constantiam retinet. Ex

εἴρηται, ἀνδρεῖοι λέγονται· διὸ καὶ ἐπίλυπον ἡ ἀνδρία, καὶ δικαίως ἐπαινεῖται· χαλεπώτερον γὰρ τὰ λυπηρὰ ὑπομένειν, ἢ τῶν ἡδέων ἀπέχεσθαι. Οὐ μὴν ἀλλὰ δόξειεν ἂν εἶναι τὸ κατὰ τὴν ἀνδρίαν τέλος ἡδύ· ὑπὸ τῶν [n] κύκλῳ δὲ ἀφανίζεσθαι· οἷον καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι γίνεται· τοῖς γὰρ πύκταις τὸ μὲν τέλος ἡδὺ, οὗ ἕνεκα, ὁ στέφανος καὶ αἱ τιμαί· τὸ δὲ τύπτεσθαι ἀλγεινὸν, εἴ περ [o] σάρκινοι, καὶ λυπηρὸν, καὶ πᾶς ὁ πόνος· διὰ δὲ τὸ πολλὰ ταῦτ' εἶναι, μικρὸν ὂν τὸ οὗ ἕνεκα, οὐδὲν ἡδὺ φαίνεται ἔχειν. [p] Εἰ δὴ τοιοῦτόν ἐστι καὶ τὸ περὶ τὴν ἀνδρίαν, ὁ μὲν θάνατος καὶ τὰ τραύματα λυπηρὰ τῷ ἀνδρείῳ καὶ ἄκοντι ἔσται· [q] ὑπομενεῖ δὲ αὐτὰ, ὅτι καλὸν, ἢ ὅτι αἰσχρὸν, τὸ μή. Καὶ ὅσῳ ἂν μᾶλλον τὴν ἀρετὴν ἔχῃ πᾶσαν, καὶ εὐδαιμονέστερος ᾖ, μᾶλλον ἐπὶ τῷ θανάτῳ [r] λυπήσεται· τῷ τοιούτῳ γὰρ μάλιστα ζῆν ἄξιον, καὶ οὗτος μεγίστων ἀγαθῶν ἀποστερεῖται εἰδώς· λυπηρὸν δὲ τοῦτο· ἀλλ' οὐδὲν

[n] Ab iis scilicet, quæ ad finem tendunt. [o] Γρ. σάρκιναι. [p] Εἰ δὲ δὴ El. et CCC. [q] Ita Mur. et Argyr. vulgo ὑπομένει. [r] Λυπηθήσεται Aurel. λυπηρὸν ἔσται NC. et quidam cod. apud Vict.

eo igitur fortes appellantur, ut supra a nobis dictum est, quod res molestas atque asperas fortiter ferant. Itaque etiam doloris et molestiæ plena res est fortitudo, eaque jure laudatur: difficilius enim est res molestas toleranter pati, quam sese a jucundis abstinere. Verum tamen fortitudinis finis possit videri jucundus, sed ab iis rebus, quæ circumstant, obscurari ac pene deleri: cujusmodi quiddam in ludis gymnicis accidit; pugilibus enim finis ipse, cujus causa decertant, jucundus est, ut corona, et honores: at plagæ et verbera, omnis denique labor, cum ex carne constent, dolore, molestiaque eos afficit: quoniam autem ea, quæ circumstant molesta, multa sunt, finis, qui tenuis et exiguus est, nihil jucunditatis in se inclusum habere videtur. Quod si talis quoque est fortitudinis ratio, et natura; mors et vulnera forti viro molestiam etiam invito sunt allatura: ea tamen omnia subibit ac perferet, quia et perferre honestum, et non perferre turpe est. Atque idem quo virtutibus omnibus instructior fuerit, et quo beatior, eo molestius mortem feret: nam cum vir talis vita sit dignissimus, tum sciens ac prudens maximis bonis spo-

ἧττον ἀνδρεῖος· ἴσως δὲ καὶ μᾶλλον, ὅτι τὸ ἐν τῷ πολέμῳ καλὸν ἀντ' ἐκείνων αἱρεῖται. [s] Οὐδὲ δὴ ἐν ἁπάσαις ταῖς ἀρεταῖς τὸ ἡδέως ἐνεργεῖν ὑπάρχει, πλὴν ἐφ' ὅσον τοῦ τέλους ἐφάπτεται. Στρατιώτας δὲ οὐδὲν ἴσως κωλύει, μὴ τοὺς τοιούτους, κρατίστους εἶναι, ἀλλὰ τοὺς ἧττον μὲν ἀνδρείους, ἄλλο δ' ἀγαθὸν μηδὲν ἔχοντας· [t] ἕτοιμοι γὰρ οὗτοι πρὸς τοὺς κινδύνους, καὶ τὸν βίον πρὸς μικρὰ κέρδη καταλλάττονται. Περὶ μὲν οὖν ἀνδρίας, ἐπὶ τοσοῦτον εἰρήσθω· τί δ' ἐστὶν, οὐ χαλεπὸν τύπῳ γε περιλαβεῖν ἐκ τῶν εἰρημένων.

ΚΕΦ. ι'.

[1] ΜΕΤΑ δὲ ταύτην, περὶ σωφροσύνης λέγωμεν· δοκοῦσι γὰρ τῶν ἀλόγων μερῶν αὗται εἶναι αἱ ἀρεταί. Ὅτι μὲν οὖν μεσότης ἐστὶ περὶ ἡδονὰς ἡ σωφροσύνη, εἴρηται ἡμῖν· ἧττον γὰρ καὶ οὐχ ὁμοίως ἐστὶ περὶ τὰς λύπας· [u] ἐν τούτοις δὲ καὶ ἡ

[s] Οὐ δὴ ἐν nostri MSS. ἐπεὶ καὶ ἐν πάσαις ταῖς ἄλλαις ἀρεταῖς οὐδεμία ἐνέργεια μεθ' ἡδονῆς ἐστι καθ' ἑαυτήν· ἀλλὰ μόνον διότι πρὸς τὸ τέλος ἀγαθὸν ἄγει, ἡδεῖα δοκεῖ τῷ ἐνεργοῦντι. Andr. [t] Ἑτοιμότεροι γὰρ οὗτοι πρὸς τοὺς κινδύνους, καὶ τὸν βίον μικρῶν ἕνεκα κερδῶν προδιδόασιν· οἱ γὰρ κυρίως ἀνδρεῖοι, φρόνιμοι ὄντες καὶ τὰ ἄλλα σπουδαῖοι, χαίρουσι μὲν τῷ βίῳ ἑαυτῶν ἀγαθῷ ὄντι, προΐενται δὲ αὐτὸν οὐ πάνυ ῥᾳδίως. Andr. [1] Magn. Moral. lib. i. cap. 22. et Eud. lib. iii. cap. 2. [u] Ἐν ταῖς αὐταῖς C C C. et El. cujus ad oram γρ. ἐν τούτοις.

liatur: at hoc molestum: nihilominus tamen sese virum fortem præstat; atque eo fortasse magis, quod illis omnibus id, quod in bello honestum est, anteponit. Non igitur hoc in omnibus virtutibus inest, ut earum muneribus liceat jucunde perfungi, nisi quoad finem attingunt. Nihil autem prohibet fortasse, minus præstantes esse milites eos qui vere fortes sunt, iis qui et minus fortes sunt, et nihil aliud boni habent: hi enim ad pericula subeunda parati sunt, vitamque cum parvo quæstu paciscuntur et commutant. Ac de fortitudine quidem hactenus: quid sit autem, non est difficile ex iis, quæ dicta sunt, rudi quadam forma descripta atque adumbrata cognoscere.

CAP. X.

SEQUITUR jam, ut de temperantia disseramus: hæ namque virtutes earum animi partium videntur esse, quæ sunt rationis expertes. Temperantiam igitur mediocritatem esse, quæ versatur in voluptatibus, jam a nobis dictum est: minus enim, nec eodem modo in doloribus versatur: in his autem intempe-

ἀκολασία φαίνεται. Περὶ ποίας οὖν τῶν ἡδονῶν, νῦν ἀφορίσωμεν. Διῃρήσθωσαν δὲ αἱ ψυχικαὶ καὶ αἱ σωματικαί· οἷον φιλοτιμία, φιλομάθεια· ἑκάτερος γὰρ τούτων χαίρει, οὗ φιλητικός ἐστιν, οὐθὲν πάσχοντος τοῦ σώματος, ἀλλὰ μᾶλλον τῆς διανοίας· οἱ δὲ περὶ τὰς τοιαύτας ἡδονὰς, οὔτε σώφρονες, οὔτε ἀκόλαστοι λέγονται. Ὁμοίως δὲ οὐδ᾽ οἱ περὶ τὰς ἄλλας, ὅσαι μὴ σωματικαί εἰσι· τοὺς γὰρ φιλομύθους, καὶ [x] διηγητικοὺς, καὶ περὶ τῶν [y] τυχόντων κατατρίβοντας τὰς ἡμέρας, ἀδολέσχους, ἀκολάστους δ᾽ οὐ λέγομεν· οὐδὲ τοὺς λυπουμένους ἐπὶ χρήμασιν, ἢ φίλοις. Περὶ δὲ τὰς σωματικὰς εἴη ἂν ἡ σωφροσύνη· οὐ πάσας δὲ οὐδὲ ταύτας· οἱ γὰρ χαίροντες [1] τοῖς διὰ τῆς ὄψεως, οἷον [z] χρώμασι, καὶ σχήμασι, καὶ γραφῇ, οὔτε σώφρονες, οὔτε ἀκόλαστοι λέγονται· καίτοι δόξειεν ἂν εἶναι, καὶ ὡς δεῖ χαίρειν [a] καὶ τούτοις, καὶ καθ᾽ ὑπερβολὴν καὶ ἔλλειψιν. Ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ τὴν ἀκοήν· τοὺς γὰρ ὑπερβεβλη-

[x] Διηγηματικοὺς Ven. 1. 2. Bas. et Cam. [y] Τοιούτων pro τυχόντων El. [1] Vide Aristot. lib. ii. de Anima. [z] Γρ. χρώματι, καὶ σχήματι. [a] Καὶ deest NC.

rantia quoque vertitur. Nunc igitur quibus in voluptatibus versetur, facta earum distinctione, explicemus. Ac primum constituatur hæc voluptatum partitio, ut aliæ sint animi, aliæ corporis: ut honoris cupiditas, et discendi studium: uterque enim horum eo delectatur, cujus amore et studio tenetur, cum corpus nihil afficiatur, sed mens potius: qui autem hujusmodi voluptatibus dediti sunt, nec temperantes, nec intemperantes nominantur. Itemque neque ii, qui in aliis occupati sunt, quæ ad corpus non pertinent: nam qui fabellarum cupiditate, studioque rerum narrandarum ducuntur, et qui in rebus, quas casus obtulerit, totos dies conterunt, eos loquaces, nugaces, et non intemperantes dicere solemus: ne eos quidem, qui ex pecuniarum jactura, vel amicorum obitu, majorem dolorem capiunt. In corporis autem voluptatibus temperantia vertatur necesse est: sed ne in his quidem omnibus: nam qui delectantur iis rebus, quæ aspectu sentiuntur, ut coloribus, figuris, pictura, nec temperantes appellantur, nec intemperantes: atqui fieri posse videtur, ut etiam his rebus et ita ut oportet, et supra atque infra modum delectemur. Idemque de iis, quæ ad auditum pertinent, senti-

μένως χαίροντας μέλεσιν ἢ ὑποκρίσει, οὐδεὶς ἀκολάστους λέγει, οὐδὲ τοὺς ὡς δεῖ, σώφρονας· οὐδὲ τοὺς περὶ τὴν ὀσμὴν, πλὴν κατὰ συμβεβηκός· τοὺς γὰρ χαίροντας μήλων, ἢ ῥόδων, ἢ θυμιαμάτων ὀσμαῖς, οὐ λέγομεν ἀκολάστους· ἀλλὰ μᾶλλον τοὺς μύρων καὶ ὄψων· χαίρουσι γὰρ τούτοις οἱ ἀκόλαστοι, ὅτι διὰ τούτων ἀνάμνησις γίνεται αὐτοῖς τῶν [b] ἐπιθυμητῶν. Ἴδοι δ' ἄν τις καὶ τοὺς ἄλλους, ὅταν πεινῶσι, χαίροντας ταῖς τῶν βρωμάτων ὀσμαῖς· τὸ δὲ τοιούτοις χαίρειν, ἀκολάστου· [c] τούτῳ γὰρ ἐπιθυμητὰ ταῦτα. Οὐκ ἔστι δὲ [d] οὐδὲ τοῖς ἄλλοις ζώοις κατὰ ταύτας τὰς αἰσθήσεις ἡδονὴ, πλὴν κατὰ συμβεβηκός· οὐδὲ γὰρ ταῖς ὀσμαῖς τῶν λαγωῶν αἱ κύνες χαίρουσιν, ἀλλὰ τῇ βρώσει· τὴν δ' αἴσθησιν ἡ ὀσμὴ ἐποίησεν. Οὐδὲ ὁ λέων τῇ φωνῇ τοῦ βοὸς, ἀλλὰ τῇ ἐδωδῇ· ὅτι δὲ ἐγγύς ἐστι, διὰ τῆς φωνῆς ᾔσθετο, καὶ χαίρειν δὴ ταύτῃ φαίνεται· ὁμοίως δὲ οὐδ' ἰδὼν ἢ [1] εὑρὼν ἔλαφον, ἢ ἄγριον αἶγα, ἀλλ' ὅτι βορὰν ἕξει.

[b] Ἐπιθυμιῶν N C. Ven. 1. 2. et Bas. ἐπιθυμημάτων C C C. ad oram vero γρ. ἐπιθυμιῶν. [c] Τούτων γὰρ ἐπιθυμήματα C C C. Ven. 1. 2. et Bas. [d] Οὐδὲ ἐν τοῖς Vet. Interp. et C C C. cujus inter lineas γρ. οὐδὲ τοῖς. [1] Vide Iliad. γ'. ver. 24.

endum: neque enim quisquam eos, qui supra modum cantilenis, vel histrionum gestu lætantur, intemperantes, aut eos, qui intra modum, temperantes appellat: nec eos, qui iis rebus, quæ sub odoratum cadunt, delectantur, nisi ex eventu: non enim eos, qui malorum, aut rosarum, aut suffimentorum capiuntur odoribus, intemperantes dicimus; sed eos potius qui unguentorum, et obsoniorum: his enim gaudent intemperantes, propterea quod eis hæc ipsa earum rerum, quas concupiscere solent, memoriam refricant. Cernere autem licet etiam alios, cum esuriunt, ex ciborum odore capere voluptatem: talibus autem rebus delectari, hominis est intemperantis; nam intemperans hæc concupiscere solet. Jam vero his ipsis sensibus ne cætera quidem animalia percipiunt voluptatem, nisi ex eventu: nam neque leporum odore delectantur canes, sed cibo: sensum porro odor commovit, atque excitavit. Neque leo bovis voce, sed esca; ex voce autem eum propinquum esse sensit, quo fit ut hac delectari videatur: similiter autem, nec cervo viso, capreave reperta lætatur; sed quia se nactum esse videt, quod edat.

Περὶ τὰς τοιαύτας δὴ ἡδονὰς ἡ σωφροσύνη, καὶ ἡ ἀκολασία ἐστὶν, ὧν καὶ τὰ λοιπὰ ζῶα κοινωνεῖ· ὅθεν ἀνδραποδώδεις καὶ θηριώδεις φαίνονται· αὗται δ' εἰσὶν ἁφὴ καὶ γεῦσις. Φαίνονται δὴ καὶ τῇ γεύσει ἐπὶ μικρὸν, ἢ οὐδὲν χρῆσθαι· τῆς γὰρ γεύσεώς ἐστιν ἡ κρίσις τῶν [e] χυλῶν· ὅπερ ποιοῦσιν οἱ τοὺς οἴνους δοκιμάζοντες, καὶ τὰ ὄψα ἀρτύοντες· οὐ πάνυ δὲ χαίρουσι τούτοις, ἢ οὐχ, οἵγε ἀκόλαστοι, ἀλλὰ τῇ ἀπολαύσει, ἣ γίνεται πᾶσα δι' ἁφῆς καὶ ἐν σιτίοις, καὶ ἐν ποτοῖς, καὶ ἐν τοῖς ἀφροδισίοις λεγομένοις. Διὸ καὶ ηὔξατό τις Φιλόξενος [f] ὁ Ἐρύξιος, ὀψοφάγος ὢν, τὸν [g] φάρυγγα αὐτῷ μακρότερον γεράνου γενέσθαι, ὡς ἡδόμενος [h] τῇ ἁφῇ, κοινοτάτη δὴ τῶν αἰσθήσεων, καθ' ἣν ἡ ἀκολασία· καὶ δόξειεν ἂν δικαίως ἐπονείδιστος εἶναι, ὅτι

[e] Χυμῶν C.C.C. ad oram, et Camer. [f] Ἐρίξιος quidam legunt sine articulo, ut sit nom. casus. Sed legendum esse cum artic. ut sit gen. cas. patet ex Eud. lib. iii. cap. 2. et Athenæi lib. i. cap. 6. ubi idem Philoxeni votum memoratur, et ille appellatur ὁ Ἐρύξιδος. ιδος vero et ιος esse communes termin. ejusmodi nominum satis notum est. Hæc propria nomina glossam esse judicant Lamb. et Vict. Cum vero in optimis codd. occurrant, et ex locis jam citatis appareat de Philoxeno hic verba fieri, ea retinuimus. [g] Τὸν φάρυγγα videtur posuisse pro τοῦ οἰσοφάγου: nam φάρυγξ est proprie canalis ille a faucibus ad pulmones pertinens, per quem spiritum ducimus et emittimus, quem medici τραχεῖαν ἀρτηρίαν vocant, Latini gutturem aut guttur, idque manifesto docet Aristot. in libb. De Partibus Animal. *Mur.* [h] Τῇ ἁφῇ· ἡ δὲ ἁφὴ κοινοτάτη δὴ τῶν αἰσθ. Ven. 1. 2. et Bas.

Vertuntur igitur temperantia et intemperantia in hujusmodi voluptatibus omnibus, quæ nobis sunt etiam cum reliquis animantibus communes: ex quo serviles eas et belluinas esse judicare licet: hæ autem sunt tactus et gustatus voluptates. Ac videntur sane etiam gustatu parum admodum, aut prorsus nihil intemperantes uti: de saporibus enim proprie, suoque jure gustatus judicat: quod faciunt ii, qui vina explorant, et obsonia condiunt: non admodum autem, aut nihil plane saporibus delectantur intemperantes, sed ipsa perceptione alimenti, quam profecto totam tactus efficit, cum in esculentis et poculentis, tum in iis rebus, quæ Venereæ appellantur. Quapropter Philoxenus quidam, Eryxidis filius, cum esset obsoniorum gurges, atque heluo, collum sibi gruis collo longius optavit, ut qui tactu maximam capiebat voluptatem: omnium igitur sensuum maxime communis est is sensus, in quo sita intemperantia est; meritoque ut turpis et flagitiosa, maledicti loco

οὐχ ᾗ ἄνθρωποί ἐσμεν ὑπάρχει, ἀλλ' ᾗ ζῶα. Τὸ δὴ τοιούτοις χαίρειν καὶ μάλιστα ἀγαπᾷν, θηριῶδες· καὶ γὰρ αἱ ἐλευθεριώταται τῶν διὰ τῆς ἁφῆς ἡδονῶν, ἀφῄρηνται, [1] οἷον αἱ ἐν τοῖς γυμνασίοις διὰ τρίψεως καὶ τῆς θερμασίας γινόμεναι· οὐ γὰρ περὶ πᾶν τὸ σῶμα ἡ τοῦ ἀκολάστου ἁφὴ, ἀλλὰ περί τινα μέρη.

ΚΕΦ. ια'.

ΤΩΝ δ' ἐπιθυμιῶν αἱ μὲν κοιναὶ δοκοῦσιν εἶναι, αἱ δ' ἴδιοι καὶ ἐπίθετοι· οἷον ἡ μὲν τῆς τροφῆς, φυσική· πᾶς γὰρ ἐπιθυμεῖ, ὅταν ἐνδεὴς ᾖ, ξηρᾶς ἢ ὑγρᾶς τροφῆς, ὁτὲ δ' ἀμφοῖν· [1] καὶ εὐνῆς, φησὶν Ὅμηρος, ὁ νέος καὶ ἀκμάζων· τὸ δὲ τοιᾶσδε, ἢ τοιᾶσδε, οὐκ ἔτι πᾶς, οὐδὲ τῶν αὐτῶν. Διὸ φαίνεται ἡμέτερον εἶναι· οὐ μὴν ἀλλ' ἔχει γέ τι καὶ φυσικόν·

[1] Probl. Sect. xxxvii. 3. 5. 6. et 7.

[1] Respicit hic ad verba ista Thetidis ad Achillem, Iliad. ω'. ver 129.

—μεμνημένος οὐδέ τι σίτου,
Οὔτ' εὐνῆς;—

Ita Philosophus verbum tantum ex eo loco sumpsit, quo uno tanquam signo agnosci posse locum sententiamque putavit: nam quod adjunxit, ὁ νέος καὶ ἀκμάζων, his verbis mentem Poetæ declaravit: valetque tanquam Aristoteles dixisset, omnem hominem, qui ejus ætatis esset, ac firmum vegetumque corpus haberet. *Vict.* Var. lect. lib. xviii. cap. 2.

objicienda videatur, propterea quia inest in nobis, non qua homines, sed qua animalia sumus. His igitur talibus delectari, eaque vehementius amare, belluarum est: nam exceptæ sane sunt omnium, quæ tactu percipiuntur, liberalissimæ voluptates, cujusmodi sunt eæ, quæ in gymnasiis fricatione et calefactione gignuntur; non enim intemperantis hominis tactus per totum corpus pertinet, sed quibusdam partibus circumscribitur.

CAP. XI.

CUPIDITATUM autem aliæ communes esse videntur, aliæ propriæ et ascitæ: ut cibi cupiditas, naturalis est; omnes enim, cum indigent, alimentum vel siccum, vel humidum appetunt, aliquando utrumque: lectumque jugalem (ut ait Homerus) adolescens, et qui floret ætate: at hoc vel illud alimentum, non jam omnes, neque eadem omnes desiderant. Itaque hoc proprie nostrum videtur esse: veruntamen habet quiddam etiam a natura

ἕτερα γὰρ ἑτέροις ἐστὶν ἡδέα, καὶ ἔνιά [k]τισιν ἡδίω τῶν τυχόντων. Ἐν μὲν οὖν ταῖς φυσικαῖς ἐπιθυμίαις ὀλίγοι ἁμαρτάνουσι· καὶ ἐφ' ἕν, ἐπὶ τὸ πλεῖον· τὸ γὰρ ἐσθίειν τὰ τυχόντα, ἢ πίνειν, ἕως ἂν ὑπερπλησθῇ, ὑπερβάλλειν ἐστὶ τὸ κατὰ φύσιν τῷ πλήθει· ἀναπλήρωσις γὰρ τῆς ἐνδείας, ἡ φυσικὴ ἐπιθυμία. Διὸ λέγονται οὗτοι γαστρίμαργοι, ὡς παρὰ τὸ δέον πληροῦντες αὐτήν· τοιοῦτοι δὲ γίνονται οἱ λίαν ἀνδραποδώδεις. Περὶ δὲ τὰς ἰδίας τῶν ἡδονῶν, πολλοὶ καὶ πολλαχῶς ἁμαρτάνουσι· τῶν γὰρ φιλοτοιούτων λεγομένων, ἢ τῷ χαίρειν οἷς μὴ δεῖ, [l]ἢ τῷ μᾶλλον, ἢ ὡς οἱ πολλοὶ, ἢ μὴ ὡς δεῖ, [m]ἢ μὴ ᾧ δεῖ· κατὰ πάντα δ' οἱ ἀκόλαστοι ὑπερβάλλουσι· καὶ γὰρ χαίρουσιν ἐνίοις οἷς οὐ δεῖ· μισητὰ γάρ· [n]καὶ εἴ τισι δεῖ χαίρειν τῶν τοιούτων, [o]μᾶλλον ἢ δεῖ, καὶ ὡς οἱ πολλοὶ χαίρουσιν. Ἡ μὲν οὖν περὶ τὰς

[k] Πᾶσιν pro τισὶν Ven. 1. 2. et Bas. [l] Ἢ τῷ μᾶλλον, ἢ ὡς οἱ πολλοί: hæc ita accepisse videntur Andronicus et Eustratius, ut unum significent, hoc modo, *aut quod magis, quam ut multitudo.* ἢ ante ὡς omittit Argyr. Vide Lamb. [m] Ἢ μὴ ᾧ δεῖ desunt Vet. Interp. et Argyr. [n] Γρ. κἂν ἐπί τισι. [o] Πλέον ἢ προσήκει, καὶ οὐχ ὡς οἱ πολλοί. Andr. μᾶλλον ἢ δεῖ, καὶ ἢ ὡς οἱ πολ. C C C. μᾶλλον ἢ δεῖ ἢ καὶ &c. alii legunt.

insitum; alii enim aliis delectantur, et quosdam ex iis quæ offeruntur quædam magis delectant. In naturalibus igitur cupiditatibus offendunt et labuntur pauci; atque in uno, nempe in eo, quod nimium est: nam esse, aut bibere quæ fors obtulerit, quoad plenior sis, quam naturæ necessitas postulat, nihil aliud est, quam modum naturæ convenientem copia superare; naturalis enim cupiditas est id, quod deest, explere velle. Itaque appellantur hi *γαστρίμαργοι*, id est, ventri usque ad insaniam indulgentes, tanquam eum præter modum implentes: ac tales quidem evadunt ii, qui servili admodum ingenio præditi sunt. At vero in propriis voluptatibus complures et multis modis peccant: nam cum hujus aut illius rei amantes eo dicantur, vel quod iis rebus delectentur, quibus non oportet, vel quod nimium delectentur, vel quod ita ut vulgus, vel quod non ita ut oportet, vel quod non qua parte oportet: intemperantes omnibus in rebus modum superant; nam et quibus rebus non oportet, quæ scilicet odio dignæ sunt, delectantur; et, si maxime quibusdam talibus rebus delectari oporteat, magis tamen quam oportet, et ita ut multitudo, delectantur. Id ergo nimium, quod in voluptatibus ver-

ἡδονὰς ὑπερβολὴ, ὅτι ἀκολασία, καὶ ψεκτὸν, δῆλον. Περὶ δὲ τὰς λύπας, οὐχ ὥσπερ ἐπὶ τῆς ἀνδρίας, τῷ ὑπομένειν λέγεται σώφρων· [p] οὐδ᾽ ἀκόλαστος, τῷ μή· ἀλλ᾽ ὁ μὲν ἀκόλαστος, τῷ λυπεῖσθαι μᾶλλον ἢ δεῖ, ὅτι τῶν ἡδέων οὐ τυγχάνει· καὶ τὴν λύπην δὲ ποιεῖ αὐτῷ ἡ ἡδονή· ὁ δὲ σώφρων, τῷ μὴ λυπεῖσθαι τῇ ἀπουσίᾳ, καὶ τῷ ἀπέχεσθαι τοῦ ἡδέος. Ὁ μὲν οὖν ἀκόλαστος ἐπιθυμεῖ τῶν ἡδέων πάντων, ἢ τῶν μάλιστα· καὶ ἄγεται ὑπὸ τῆς ἐπιθυμίας, ὥστε ἀντὶ τῶν ἄλλων ταῦθ᾽ αἱρεῖσθαι· διὸ [q] καὶ λυπεῖται, καὶ ἀποτυγχάνων, καὶ ἐπιθυμῶν· μετὰ λύπης γὰρ ἡ ἐπιθυμία· ἀτόπῳ δὲ ἔοικε τὸ δι᾽ ἡδονὴν λυπεῖσθαι. Ἐλλείποντες δὲ περὶ τὰς ἡδονὰς, καὶ ἧττον ἢ δεῖ χαίροντες, οὐ πάνυ γίνονται· οὐ γὰρ ἀνθρωπική ἐστιν ἡ τοιαύτη ἀναισθησία· καὶ γὰρ τὰ λοιπὰ ζῶα διακρίνει τὰ βρώματα, καὶ τοῖς μὲν χαίρει, τοῖς δ᾽ οὔ. Εἰ δέ τῳ μηδέν ἐστιν ἡδὺ, μηδὲ διαφέρει ἕτερον ἑτέρου, πόῤῥω ἂν εἴη τοῦ ἄνθρωπος εἶναι·

[p] Γρ. ὁ δ᾽ ἀκόλαστος.

[q] Καὶ a quibusdam abest.

titur, esse intemperantiam, ob eamque causam esse vituperabile, perspicuum est. In doloribus autem non, ut vir fortis, sic temperans, eo quod dolores perferat; nec intemperans, eo quod non perferat, appellatur: sed eo intemperans dicitur, quod ægrius, quam debet, ferat, nullam se corporis percipere voluptatem; et vero ei dolorem affert voluptas: temperans autem dicitur cum ob id, quod se carere voluptatibus non moleste ferat, tum quod aspernetur et prætermittat id, quod jucundum est. Intemperans igitur omnia, quæ jucunda sunt, concupiscit, aut certe quæ jucundissima; atque a cupiditate trahitur, ut hæc cæteris habeat potiora: quapropter dolore angitur, et cum voluptatibus potiri non potest, et cum eas concupiscit; semper enim cum dolore cupiditas conjuncta est: tametsi absurdum videatur, propter voluptatem dolore affici. Jam qui in expetendis voluptatibus modum deserant, minusque, quam oportet, iis delectentur, raro existunt: non est enim humanus hujusmodi stupor, omni pene sensu hominem spolians: nam cætera quoque animalia pabulum a pabulo discernunt, hisque delectantur, illis non item. Quod si cui nihil sit jucundum, nihilque inter hoc, et illud intersit, is profecto ab humanitate fuerit remotissimus: quo-

οὐ τέτευχε δὲ ὁ τοιοῦτος ὀνόματος, διὰ τὸ μὴ πάνυ γίνεσθαι. Ὁ δὲ σώφρων μέσως περὶ ταῦτ' ἔχει· οὔτε γὰρ ἥδεται οἷς μάλιστα ὁ ἀκόλαστος, ἀλλὰ μᾶλλον δυσχεραίνει· οὔτε ὅλως οἷς μὴ δεῖ, οὔτε σφόδρα [r]τοιούτῳ οὐδενί· οὔτε ἀπόντων λυπεῖται· οὐδ' ἐπιθυμεῖ, ἢ μετρίως, οὐδὲ μᾶλλον ἢ δεῖ, [s]οὐδ' ὅτε μὴ δεῖ, οὐδ' ὅλως τῶν τοιούτων οὐδενός. Ὅσα δὲ πρὸς ὑγίειάν ἐστιν, ἢ πρὸς εὐεξίαν, ἡδέα ὄντα, τούτων [t]ὀρέγεται μετρίως καὶ ὡς δεῖ· καὶ τῶν ἄλλων ἡδέων μὴ ἐμποδίων τούτοις ὄντων, ἢ παρὰ τὸ καλὸν, ἢ ὑπὲρ τὴν οὐσίαν· ὁ γὰρ οὕτως ἔχων μᾶλλον ἀγαπᾷ τὰς τοιαύτας ἡδονὰς τῆς ἀξίας· ὁ δὲ σώφρων οὐ τοιοῦτος, ἀλλ' ὡς ὁ ὀρθὸς λόγος.

ΚΕΦ. ιβ'.

ΕΚΟΥΣΙΩ δὲ μᾶλλον ἔοικεν ἡ ἀκολασία τῆς δειλίας· ἡ μὲν γὰρ δι' ἡδονὴν, ἡ δὲ διὰ λύπην· ὧν τὸ μὲν αἱρετὸν,

[r] Τῶν τοιούτων οὐδενὶ C C C. ad oram. [s] Οὐδ' ἐν post ἢ δεῖ legunt C C C. et El. alii vero οὐδενί: ut Bas. Ven. 1. 2. N C. et C C C. inter lineas. [t] Ὀρέξεται C C C. et Vet. Interp.

niam igitur qui talis sit, non admodum reperitur, suo nomine non est appellatus. Temperans autem in his rebus mediocriter et moderate affectus est: nam neque iis delectatur, quibus maximopere intemperans, sed offenditur potius: neque omnino quibus ex rebus capienda voluptas non est, ex iis capit voluptatem; neque ulla re tali vehementer delectatur: neque si eæ res absint, discruciatur: neque eas concupiscit, aut certe moderate, neque magis quam debet, neque quo tempore non debet, neque omnino quicquam tale. Quæcunque autem ita jucunda sunt, ut eadem ad bonam valetudinem, vel optimum corporis habitum pertineant, ea modice, et, ut debet, concupiscit: cæteraque jucunda, quæ his non sunt impedimento, aut quæ ab honesto non abhorrent, aut quibus res familiaris non exhauritur: nam qui ita animo affectus est, is vehementius, quam par sit, tales voluptates amplectitur: at temperans talis non est, sed rectæ rationi paret atque obtemperat.

CAP. XII.

VIDETUR autem intemperantia magis, quam timiditas, sponte ac voluntate suscipi: illa enim propter vo-

τὸ δὲ φευκτόν. Καὶ ἡ μὲν λύπη ἐξίστησι καὶ φθείρει τὴν τοῦ ἔχοντος φύσιν· ἡ δὲ ἡδονὴ οὐδὲν τοιοῦτον ποιεῖ. Μᾶλλον [u] δὴ ἑκούσιον· διὸ καὶ ἐπονειδιστότερον· καὶ γὰρ ἐθισθῆναι ῥᾷον πρὸς αὐτά· πολλὰ γὰρ ἐν τῷ βίῳ τὰ τοιαῦτα· καὶ οἱ ἐθισμοὶ, ἀκίνδυνοι· ἐπὶ τῶν φοβερῶν δ' ἀνάπαλιν. Δόξειέ τ' ἂν οὐχ ὁμοίως [x] ἑκούσιον ἡ δειλία εἶναι τοῖς καθ' ἕκαστον· αὕτη μὲν γὰρ ἄλυπος· ταῦτα δὲ διὰ λύπην ἐξίστησιν, ὥστε καὶ τὰ ὅπλα ῥίπτειν, καὶ τὰ ἄλλα ἀσχημονεῖν· διὸ καὶ δοκεῖ βίαια εἶναι. Τῷ δ' ἀκολάστῳ ἀνάπαλιν· τὰ μὲν καθ' ἕκαστα ἑκούσια· ἐπιθυμοῦντι γὰρ καὶ ὀρεγομένῳ· τὸ δ' ὅλον, ἧττον· οὐδεὶς γὰρ ἐπιθυμεῖ ἀκόλαστος εἶναι. Τὸ δ' ὄνομα τῆς ἀκολασίας καὶ ἐπὶ τὰς παιδικὰς ἁμαρτίας φέρομεν· ἔχουσι γάρ τινα ὁμοιότητα· πότερον δὲ ἀπὸ ποτέρου καλεῖται, οὐδὲν πρὸς τὰ νῦν διαφέρει. Δῆλον δ', ὅτι τὸ ὕστερον ἀπὸ τοῦ προτέρου· οὐ κακῶς δ' ἔοικε

[u] Γρ. δέ. [x] Φευκτὸν pro ἑκούσιον legunt El. et C C C.

luptatem, hæc propter dolorem: quorum alterum optabile est, alterum fugiendum. Ac dolor quidem naturam ejus, qui angitur, de suo statu deturbat, et interimit: voluptas autem nihil tale facit. A voluntate igitur magis pendet: eaque propter probrosior ac flagitiosior est: nam et facilius est rerum jucundarum mediocritati servandæ assuefieri: multa enim hujusmodi in vita quotidiana occurrunt; et assuescendi exercitatio ac meditatio periculo vacat; in rebus autem formidolosis contra evenit. Sed aliter timiditas sponte contrahitur, aliter res singulares sponte nostra extimescimus: illa enim expers doloris est; hæ doloris magnitudine homines exterrent, et ne sint ipsi apud se, efficiunt, adeo ut arma abjiciant, aliaque suæ personæ indecora faciant: itaque videntur esse violentæ. Contra fit in intemperante: res enim singulares sponte ab eo suscipiuntur, nempe concupiscente, atque appetente: universum vero genus, minus: intemperans enim esse cupit nemo. Nomen autem intemperantiæ etiam ad errata puerilia transferimus; inest enim in his quædam similitudo: utrum autem ab utro sit appellatum, ad institutum nostrum nihil refert. Perspicuum illud quidem est, a priore posterius esse nominatum: nec male sane translatio vide-

μετενηνέχθαι· κεκολάσθαι γὰρ δεῖ τὸ τῶν αἰσχρῶν ὀρεγόμενον, καὶ πολλὴν αὔξησιν ἔχον· τοιοῦτον δὲ μάλιστα ἡ ἐπιθυμία, καὶ ὁ παῖς· κατ' ἐπιθυμίαν γὰρ ζῶσι καὶ τὰ παιδία, καὶ μάλιστα ἐν τούτοις ἡ τοῦ ἡδέος ὄρεξις. Εἰ οὖν μὴ ἔσται εὐπειθὲς καὶ ὑπὸ τὸ ἄρχον, ἐπὶ πολὺ ἥξει· ἄπληστος γὰρ ἡ τοῦ ἡδέος ὄρεξις, καὶ πανταχόθεν τῷ ἀνοήτῳ· καὶ ἡ τῆς ἐπιθυμίας ἐνέργεια αὔξει τὸ συγγενὲς, κἂν μεγάλαι καὶ σφοδραὶ ὦσι, καὶ τὸν λογισμὸν ἐκκρούουσι. Διὸ δεῖ μετρίας αὐτὰς εἶναι καὶ ὀλίγας, καὶ τῷ λόγῳ μηδὲν ἐναντιοῦσθαι· τὸ δὲ τοιοῦτον, εὐπειθὲς λέγομεν καὶ κεκολασμένον· ὥσπερ [y] γὰρ τὸν παῖδα δεῖ κατὰ τὸ πρόσταγμα τοῦ παιδαγωγοῦ ζῆν, οὕτω καὶ τὸ ἐπιθυμητικὸν κατὰ τὸν λόγον. Διὸ δεῖ τοῦ σώφρονος τὸ ἐπιθυμητικὸν συμφωνεῖν τῷ λόγῳ· σκοπὸς γὰρ ἀμφοῖν τὸ καλόν· καὶ ἐπιθυμεῖ ὁ σώφρων ὧν δεῖ, καὶ ὡς δεῖ, καὶ ὅτε· οὕτω δὲ τάττει καὶ ὁ λόγος. Ταῦτ' οὖν ἡμῖν εἰρήσθω περὶ σωφροσύνης.

[y] Δὲ pro γὰρ C C C. et El.

tur esse facta; id enim castigandum et coercendum est, quod turpia concupiscit, et quod impunitate amplificatur et propagatur: quales sunt maxime cupiditas, et puer: nam etiam pueri cupiditatem tanquam vitæ suæ sequuntur ducem, maximeque in his rerum jucundarum appetitio dominatur. Itaque si non parebit rationi, neque sub ejus erit imperio, serpet et manabit latius: nam cum sit inexplebilis rerum jucundarum appetitio, maximeque in stulto et amente: tum cupiditatis usus vires ejus, quod cognatum est, amplificat, adeo, ut si magnæ sint et vehementes cupiditates, mentem ac rationem de sua sede detrudere ac deturbare possint. Danda igitur opera est, ut mediocres sint et modicæ, neque quicquam rationi adversentur: atque hoc ipsum est, quod obediens et castigatum dicimus: ut enim puer e custodis et magistri præscriptione vivere; sic et vis hæc concupiscendi obtemperare rationi debet. Quocirca debet in viro temperante cum ratione concinere ea pars animi, quæ ad concupiscendum valet: utrique enim propositum honestum est: appetitque temperans, quæ oportet, omnia, et quemadmodum, et quo tempore oportet: quæ quidem est etiam rationis lex atque institutio. Ac de temperantia quidem hactenus.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Δ΄.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. IV.

ΚΕΦ. α΄.

ΛΕΓΩΜΕΝ δ' ἑξῆς [1] περὶ ἐλευθεριότητος· δοκεῖ δὲ εἶναι περὶ χρήματα μεσότης· ἐπαινεῖται γὰρ ὁ ἐλευθέριος, οὐκ ἐν τοῖς πολεμικοῖς, οὐδ' ἐν οἷς ὁ σώφρων, οὐδ' αὖ ἐν ταῖς κρίσεσιν, ἀλλὰ περὶ δόσιν χρημάτων καὶ λῆψιν· μᾶλλον δ' ἐν τῇ δόσει. Χρήματα δὲ λέγομεν πάντα, ὅσων ἡ ἀξία νομίσματι μετρεῖται. Ἔστι δὲ καὶ ἡ ἀσωτία καὶ ἡ ἀνελευθερία περὶ χρήματα ὑπερβολαὶ καὶ ἐλλείψεις· καὶ τὴν μὲν ἀνελευ-

[1] Magn. Moral. lib. i. cap. 24. et Eud. lib. iii. cap. 4.

CAP. I.

DEINCEPS de liberalitate dicamus: videtur autem esse mediocritas in pecuniis occupata: nam laudem invenit homo liberalis, non in rebus bellicis, neque in quibus temperans, neque rursus in judiciis; sed in donatione et acceptione pecuniæ: veruntamen magis in donatione. Pecunias autem appellamus omnia, quorum æstimationem metitur nummus. Jam vero asotia (hoc est, profusio aut luxuria) et illiberalitas, sunt in pecunia nimium et parum: atque illi-

θερίαν προσάπτομεν ἀεὶ τοῖς μᾶλλον ἢ δεῖ περὶ χρήματα σπουδάζουσι· τὴν δ' ἀσωτίαν ἐπιφέρομεν ἐνίοτε συμπλέκοντες [a]τοῖς ἀκολάστοις· τοὺς γὰρ ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηρούς, [1]ἀσώτους καλοῦμεν· διὸ καὶ φαυλότατοι δοκοῦσιν εἶναι· πολλὰς γὰρ ἅμα κακίας ἔχουσιν. Οὐ δὴ οἰκείως προσαγορεύονται· βούλεται γὰρ ἄσωτος εἶναι, ὁ ἕν τι κακὸν ἔχων, [b]τὸ φθείρειν τὴν οὐσίαν· ἄσωτος γὰρ ὁ δι' αὑτὸν ἀπολλύμενος· δοκεῖ [c]δὲ ἀπώλειά τις αὑτοῦ εἶναι καὶ ἡ τῆς οὐσίας φθορά, ὡς τοῦ ζῆν διὰ τούτων ὄντος. Οὕτω δὴ τὴν ἀσωτίαν ἐκδεχόμεθα. [e]Ὧν δέ ἐστι χρεία τις, ἔστι τούτοις χρῆσθαι καὶ εὖ, καὶ κακῶς· ὁ πλοῦτος δέ ἐστι τῶν χρησίμων· ἑκάστῳ δ' ἄριστα χρῆται, ὁ ἔχων τὴν [d]περὶ ἕκαστον ἀρετήν· καὶ πλούτῳ δὴ χρήσεται ἄριστα, ὁ ἔχων τὴν περὶ τὰ χρήματα ἀρετήν· οὗτος δέ ἐστιν ὁ ἐλευθέριος. Χρῆσις δ' εἶναι δοκεῖ χρημάτων δαπάνη καὶ δόσις· ἡ

[a] Τοῖς ἀκολάστοις abest a nostris MSS. Ven. 1. 2. et Bas. et interpretamentum esse videtur. [1] Vide Cic. lib. ii. De Finibus. [b] Τὸ φθείρειν Cam. et Andr. [c] Γὰρ pro δὲ N C. [d] Περὶ τοῦτο pro περὶ ἕκαστον habet C C C.

beralitatem quidem semper iis ascribimus, qui nimio pecuniarum studio tenentur; asotiam autem attribuimus interdum hominibus intemperantibus, profusionem cum libidine contexentes: incontinentes enim, et eos, qui in libidinem atque intemperantiam sumptus immensos faciunt, asotos (hoc est, prodigos, vel profusos, vel luxuriosos) appellamus: quare et improbissimi videntur esse: nam multis simul vitiis cooperti sunt. Non igitur proprio nomine appellantur: asotus enim proprie is videtur esse, qui uno vitio affectus est, nimirum eo, quod rem familiarem perdat et consumat: nam qui per se, suaque opera perit, is est asotus: videtur porro exitium quoddam sui ipsius esse etiam facultatum interitio, quasi ex his tota vivendi ratio pendeat. Profusionem igitur hoc modo accipimus. Quarum autem rerum usus aliquis est, iis et recte et perperam uti liberum ac solutum est: at divitiæ in bonis utilibus numerantur: jam qui propria cujusque rei virtute præditus est, is ea re optime utitur: optime igitur et divitiis utetur is, qui virtutem eam, quæ ad pecuniarum usum pertinet, consecutus erit: atque hic est liberalis. Videtur autem pecuniarum usus esse, sumptus, et donatio: ac-

δὲ λῆψις, καὶ ἡ φυλακὴ, κτῆσις μᾶλλον· διὸ μᾶλλόν ἐστι τοῦ ἐλευθερίου τὸ διδόναι οἷς δεῖ, ἢ λαμβάνειν ὅθεν δεῖ, καὶ μὴ λαμβάνειν ὅθεν οὐ δεῖ· τῆς ἀρετῆς γὰρ μᾶλλον τὸ εὖ ποιεῖν ἢ τὸ εὖ πάσχειν, καὶ τὰ καλὰ πράττειν μᾶλλον, ἢ τὰ αἰσχρὰ μὴ πράττειν. Οὐκ ἄδηλον δ', ὅτι τῇ μὲν δόσει ἕπεται τὸ εὖ ποιεῖν, καὶ τὸ καλὰ πράττειν· τῇ δὲ λήψει, τὸ εὖ πάσχειν, ἢ μὴ [e]αἰσχροποιεῖν. Καὶ ἡ χάρις τῷ διδόντι, οὐ τῷ μὴ λαμβάνοντι· καὶ ὁ ἔπαινος δὲ μᾶλλον. Καὶ ῥᾷον δὲ τὸ μὴ λαμβάνειν τοῦ [f]δοῦναι· τὸ γὰρ οἰκεῖον ἧττον προΐενται μᾶλλον, ἢ οὐ λαμβάνουσι τὸ ἀλλότριον. Καὶ ἐλευθέριοι δὲ λέγονται οἱ διδόντες· οἱ δὲ μὴ λαμβάνοντες, οὐκ εἰς ἐλευθεριότητα ἐπαινοῦνται, ἀλλ' οὐχ ἧττον εἰς δικαιοσύνην· οἱ δὲ λαμβάνοντες οὐδὲ ἐπαινοῦνται πάνυ. Φιλοῦνται δὲ σχεδὸν μάλιστα οἱ ἐλευθέριοι [g]τῶν ἀπ' ἀρετῆς· ὠφέλιμοι γάρ· τοῦτο δὲ ἐν τῇ δόσει. Αἱ δὲ

[e] Γρ. αἰσχροπραγεῖν. [f] Γρ. διδόναι. [g] Τῶν ἀπ' ἀρετῆς, puto subaudiri φιλουμένων potius quam ὄντων. *Lamb.* τῶν ἀπ' ἀρ. desunt El. et CCC.

ceptio vero et custodia quærentis est potius, quam utentis: itaque hominis liberalis est magis, quibus largiendum est, largiri, quam et a quibus accipiendum est, accipere, et a quibus accipiendum non est, non accipere: virtutis enim proprium magis est bene mereri, quam beneficium accipere: et res honestas ac præclaras gerere magis, quam turpitudinem non admittere. Minime autem illud quidem obscurum, aut dubium est, quin et donationem, beneficium conferre, resque honestas agere: et acceptionem, beneficio affici, aut se a turpibus actionibus abstinere, comitetur. Præterea ei, qui donat, habetur gratia, non ei, qui non accipit: potiusque laus illi, quam huic tribuitur. Tum facilius est non accipere, quam dare: suum enim quisque minus libenter profundere vult, quam non accipere alienum. Deinde liberales dicuntur ii, qui largiuntur: qui non accipiunt autem, non liberalitatis, sed justitiæ potius nomine laudantur: at qui accipiunt, non admodum sane laudantur. Jam vero omnium hominum, qui virtutis nomine cari sunt, maxime diliguntur liberales: nam prosunt aliis: hoc autem in donatione situm est. Actiones autem ex virtute, et honestæ sunt, et honesti gratia

κατ᾽ ἀρετὴν πράξεις καλαὶ, ϗ τοῦ καλοῦ ἕνεκα· [h] ϗ ὁ ἐλευθέριος οὖν δώσει τοῦ καλοῦ ἕνεκα, ϗ ὀρθῶς· οἷς γὰρ δεῖ, ϗ ὅσα, καὶ ὅτε, καὶ [i] τἄλλα ὅσα ἕπεται τῇ ὀρθῇ δόσει· ϗ ταῦτα ἡδέως ἢ ἀλύπως· τὸ γὰρ κατ᾽ ἀρετὴν ἡδὺ ἢ ἄλυπον, ἥκιστα δὲ λυπηρόν. Ὁ δὲ διδοὺς οἷς μὴ δεῖ, ἢ μὴ τοῦ καλοῦ ἕνεκα, ἀλλὰ διά τινα ἄλλην αἰτίαν, οὐκ ἐλευθέριος, ἀλλὰ ἄλλος τις ῥηθήσεται. [k] Οὐδ᾽ ὁ λυπηρῶς· μᾶλλον γὰρ ἕλοιτ᾽ ἂν τὰ χρήματα τῆς καλῆς πράξεως· τοῦτο δ᾽ οὐκ ἐλευθερίου. Οὐδὲ λήψεται δὲ, ὅθεν μὴ δεῖ· οὐδὲ γάρ ἐστι τοῦ μὴ τιμῶντος τὰ χρήματα ἡ τοιαύτη λῆψις. Οὐκ ἂν εἴη δὲ, οὔτ᾽ αἰτητικός· οὐ γάρ ἐστι τοῦ εὖ ποιοῦντος εὐχερῶς εὐεργετεῖσθαι· ὅθεν δὲ δεῖ, λήψεται· οἷον ἀπὸ τῶν ἰδίων κτημάτων, οὐχ ὡς καλὸν, ἀλλ᾽ ὡς ἀναγκαῖον, ὅπως ἔχῃ διδόναι. Οὐδὲ ἀμελήσει τῶν ἰδίων, βουλόμενός γε διὰ τούτων τισὶν ἐπαρκεῖν. Οὐδὲ τοῖς τυχοῦσι δώσει,

[h] Ita Hesiodus Ἐργ. καὶ Ἡμέρ. ver. 354.
Δὼς ἀγαθή· ἅρπαξ δὲ κακὴ, θανάτοιο δότειρα.
Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κἂν μέγα δώῃ,
Χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν.

[i] Γρ. τῶν ἄλλων. [k] Οὐδ᾽ ὁ διδοὺς λυπηρῶς CCC. ὁ λυπηρὸς El. Ven. 1. et 2.

suscipiuntur: dabit igitur liberalis honesti causa, et recte dabit: nam et quibus dandum est, et quantum, et quo tempore, et cætera omnia adhibebit, quæ rectam dandi rationem consequuntur: eaque libenter et jucunde præstabit, aut certe non gravate: nam quod virtuti convenienter geritur, aut jucundum est, aut a molestia vacuum, molestum autem minime. At qui dat vel quibus dandum non est, vel non honesti gratia, sed aliqua alia causa impulsus, hic non est liberalis, sed aliquo alio nomine appellabitur. Atque adeo ne is quidem, qui gravate dat: hic enim pecuniam honestis actionibus anteponet, quod minime convenit liberali. Nec vero unde non oportet, accipiet liberalis: nam hoc accipiendi genus non est ejus, qui pecuniam nihil æstimat. Nec erit in poscendo procax; non enim hominis est benefici, facile beneficium accipere: accipiet tamen unde debebit: verbi gratia, de suis bonis, et fructibus: non quod honestum sit, sed quod necessarium, ut habeat dandi facultatem. Nec suam rem familiarem negliget, quippe qui velit ex hac aliquibus commodare, eisque suppeditare, quæ desiderant. Neque qui

ἵνα ἔχῃ διδόναι οἷς δεῖ, καὶ ὅτε, καὶ [l] οὗ καλόν. Ἐλευθερίου δέ ἐστι σφόδρα καὶ τὸ ὑπερβάλλειν ἐν τῇ δόσει, ὥστε καταλείπειν ἑαυτῷ ἐλάττω· [m] τὸ γὰρ μὴ ἐπιβλέπειν ἐφ' ἑαυτὸν, ἐλευθερίου. Κατὰ τὴν οὐσίαν δ' ἡ ἐλευθεριότης λέγεται· οὐ γὰρ ἐν τῷ πλήθει τῶν διδομένων τὸ ἐλευθέριον, ἀλλ' ἐν τῇ τοῦ διδόντος ἕξει· αὕτη δὲ κατὰ τὴν οὐσίαν δίδωσιν. Οὐθὲν δὲ κωλύει ἐλευθεριώτερον εἶναι τὸν τὰ ἐλάττω διδόντα, ἐὰν ἀπὸ ἐλαττόνων διδῷ. [n] Ἐλευθεριώτεροι δὲ εἶναι δοκοῦσιν οἱ μὴ κτησάμενοι, ἀλλὰ παραλαβόντες τὴν οὐσίαν· ἄπειροί τε γὰρ τῆς ἐνδείας· καὶ πάντες ἀγαπῶσι μᾶλλον τὰ αὑτῶν ἔργα, ὥσπερ οἱ γονεῖς καὶ οἱ ποιηταί. Πλουτεῖν δ' οὐ ῥᾴδιον τὸν ἐλευθέριον, μήτε ληπτικὸν ὄντα, μήτε φυλακτικὸν, προετικὸν δὲ, καὶ μὴ τιμῶντα [o] δι' αὐτὰ τὰ χρήματα, ἀλλ' ἕνεκα τῆς

[l] Ὅπου pro οὗ C C C. et El. [m] Τὸ γὰρ μὴ πρὸς τὴν οἰκείαν χρείαν ὁρᾷν τῆς μεγίστης ἐλευθεριότητος σημεῖόν ἐστιν: *Utilitatem quippe suam negligere, maximæ liberalitatis signum est.* Andr. [n] In hunc sensum sunt verba Socratis ad Cephalum Plat. lib. i. De Republ. Ἐμοὶ ἔδοξας οὐ σφόδρα ἀγαπᾷν τὰ χρήματα· τοῦτο δὲ ποιοῦσιν ὡς τοπολὺ οἳ ἂν μὴ αὐτοὶ κτήσωνται· οἱ δὲ κτησάμενοι, διπλῇ ἢ οἱ ἄλλοι ἀσπάζονται αὐτά. Ὥσπερ γὰρ οἱ ποιηταὶ τὰ αὑτῶν ποιήματα, καὶ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσι, ταύτῃ τε δὴ καὶ οἱ χρηματισάμενοι, περὶ τὰ χρήματα σπουδάζουσιν, ὡς ἔργον ἑαυτῶν, καὶ κατὰ τὴν χρείαν, ᾗπερ οἱ ἄλλοι. Χαλεποὶ οὖν καὶ ξυγγενέσθαι εἰσὶν, οὐδὲν ἐθέλοντες ἐπαινεῖν ἀλλ' ἢ τὸν πλοῦτον. [o] Γρ. δι' αὐτόν.

buslibet largietur, ut suppetat ei quod largiri possit, quibus oportet, et quo tempore, et ubi honestum est. Magnopere autem proprium est hominis liberalis, ita in dando modum superare, ut sibi pauciora relinquat: nam sui rationem non habere, liberalis est. Jam vero ex facultatibus et penditur et appellatur liberalitas: non enim in multitudine eorum, quæ dantur, sed in habitu ejus, qui dat, sita vis est liberalitatis: hic autem dat pro facultatibus. Nihil ergo prohibet eum esse liberaliorem, qui pauciora donet, si modo ex paucioribus donet. Videntur porro liberaliores esse, qui suas facultates non quæsiverunt, sed ab aliis partas acceperunt: egestatis enim incommodum non sunt experti: præterea sua cuique facta sunt cariora, ut parentibus et poetis. Difficile est autem liberalem divitem esse, quippe qui nec ad accipiendum sit attentus, nec ad custodiendum pertinax, sed ad profundendum facilis ac paratus, et pecuniam non propter se sed beneficii conferendi causa, magni æstimans. Idcirco et vulgus cri-

δόσεως. Διὸ καὶ [p] ἐγκαλεῖται τῇ τύχῃ, ὅτι οἱ μάλιστα ἄξιοι ὄντες ἥκιστα πλουτοῦσι. Συμβαίνει δὲ οὐκ ἀλόγως τοῦτο· οὐ γὰρ οἷόν τε χρήματ' ἔχειν, μὴ ἐπιμελούμενον, ὅπως ἔχῃ· ὥσπερ οὐδὲ ἐπὶ τῶν ἄλλων. [q] Οὐ μὴν δώσει γε οἷς οὐ δεῖ, οὐδ' ὅτε μὴ δεῖ, οὐδ' ὅσα ἄλλα τοιαῦτα· οὐ γὰρ ἂν ἔτι πράττοι κατὰ τὴν ἐλευθεριότητα· καὶ εἰς ταῦτα ἀναλώσας, οὐκ ἂν ἔχοι εἰς ἃ δεῖ ἀναλίσκειν· ὥσπερ γὰρ εἴρηται, ἐλευθέριός ἐστιν ὁ κατὰ τὴν οὐσίαν δαπανῶν, καὶ εἰς ἃ δεῖ· ὁ δὲ ὑπερβάλλων, ἄσωτος. [r] Διὸ τοὺς τυράννους οὐ λέγομεν ἀσώτους· τὸ γὰρ πλῆθος τῆς κτήσεως οὐ δοκεῖ ῥᾴδιον εἶναι ταῖς δόσεσι καὶ ταῖς δαπάναις ὑπερβάλλειν. Τῆς ἐλευθεριότητος δὴ μεσότητος οὔσης περὶ χρημάτων δόσιν καὶ λῆψιν, ὁ ἐλευθέριος καὶ δώσει καὶ δαπανήσει εἰς ἃ δεῖ, καὶ ὅσα δεῖ, ὁμοίως ἐν μικροῖς καὶ μεγάλοις· καὶ ταῦτα ἡδέως. Καὶ λήψεται ὅθεν δεῖ, καὶ ὅσα δεῖ· τῆς ἀρετῆς γὰρ περὶ ἄμφω οὔσης μεσότητος, ποιήσει ἀμφότερα ὡς

[p] Γρ. ἐγκαλεῖται ἡ τύχη. [q] Γρ. οὐ μὲν. [r] Διὰ τοῦτο τοὺς τυράννους οὐ λέγομεν ἀσώτους, καί τοι πολλὰ καὶ ἄμετρα διδόντας. Andr.

minari fortunam solet, quod minime omnium divites sunt, qui divitiis et copiis rei familiaris sunt dignissimi. Sed hoc non temere contingit: neque enim fieri potest, ut pecuniis abundet is, qui nullam diligentiam, ut pecuniosus sit, adhibet: quemadmodum neque quicquam aliud sine studio ac diligentia comparatur. Non tamen aut quibus non debet, aut quo tempore non debet, aut cæteris id genus honesti formulis neglectis, dabit: non enim jam liberalitati convenienter ageret: et, si sumptum in hæc faceret, unde impenderet in ea, quæ sumptum desiderant, non haberet: est enim is liberalis (ut diximus) qui et pro facultatibus, et quas in res oportet, sumptum facit: qui autem modum transit, asotus. Itaque reges, asotos dicere non solemus: rerum enim, quas possident, vim et copiam, non videtur esse facile donationibus et sumptibus superare. Quoniam igitur liberalitas, mediocritas est, quæ in dandis et accipiendis pecuniis vertitur: largietur et impendet liberalis in eas res, in quas debet, et quantum debet, non aliter in parvis, quam in magnis; atque hæc faciet libenter et jucunde. Præterea unde et quantum accipere debet, accipiet: nam cum virtus hæc

δεῖ· ἕψεται γὰρ τῇ ἐπιεικεῖ δόσει ἡ τοιαύτη λῆψις· ἡ δὲ μὴ τοιαύτη, ἐναντία ἐστίν. Αἱ μὲν οὖν ἑπόμεναι, γίγνονται ἅμα ἐν τῷ αὐτῷ· αἱ δὲ ἐναντίαι, δῆλον ὡς οὔ. Ἐὰν δὲ παρὰ τὸ δέον καὶ τὸ καλῶς ἔχον συμβαίνῃ αὐτῷ ἀναλίσκειν, [s] λυπηθήσεται, μετρίως δὲ, καὶ ὡς δεῖ· τῆς ἀρετῆς γὰρ καὶ ἥδεσθαι καὶ λυπεῖσθαι ἐφ' οἷς δεῖ, καὶ ὡς δεῖ. Καὶ εὐκοινώνητος δ' ἐστὶν ὁ ἐλευθέριος εἰς χρήματα· δύναται [t] γὰρ ἀδικεῖσθαι, μὴ τιμῶν γε τὰ χρήματα· [u] καὶ μᾶλλον ἀχθόμενος, εἴ τι δέον μὴ ἀνάλωσεν, ἢ λυπούμενος, εἰ μὴ δέοι τι ἀνάλωσε· καὶ [x] τῷ Σιμωνίδῃ οὐκ ἀρεσκόμενος. Ὁ δ' ἄσωτος καὶ ἐν τούτοις διαμαρτάνει· οὔτε γὰρ ἥδεται ἐφ' οἷς δεῖ, οὔτε ὡς δεῖ· οὔτε λυπεῖ-

[s] Γρ. λυπήσεται. [t] Οὖν pro γὰρ Zuing. habet. [u] Τὸ μὲν γὰρ δαπανῆσαί ποτε παρὰ τὸ δέον, περὶ χρήματά ἐστιν ἡ ζημία, καὶ οὐ τοσοῦτον λυπεῖ τὸν ἐλευθέριον· τὸ δὲ μὴ εἰς τὸ δέον δαπανῆσαι, περὶ τὸ δέον καὶ τὴν ἀρετὴν ἡ ζημία γίνεται· καὶ διὰ τοῦτο μᾶλλον λυπεῖ· ὥστε οὐδὲ τὴν Σιμωνίδου δέχεται παραίνεσιν, τἀναντία ὑποτιθεμένου. *Nam cum aliquid, quod non necesse est, consumpserit, pecuniarum damnum patitur, quod non ita tangit liberalem; at si aliquid, ubi necesse est, non consumpserit, in officio peccat, ideoque hoc virtutis damnum est: ac propterea magis dolet: quare nec Simonidis admittit consilium, qui contra suadet.* Andr. [x] De Simonidis poetæ sordibus hæc scribit Plutarch. in lib. εἰ πρεσβυτέρῳ πολιτευτέον. Σιμωνίδης ἔλεγε πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ φιλαργυρίαν, ὅτι τῶν ἄλλων ἀπεστερημένος διὰ τὸ γῆρας ἡδονῶν, ὑπὸ μιᾶς ἔτι γηροβοσκεῖται τῆς ἀπὸ τοῦ κερδαίνειν. *Simonides eum ob avaritiam culpantibus respondit, se per senectutem reliquis spoliatum voluptatibus, unica lucrandi oblectatione gravem recreare ætatem.* Vide ejusdem lib. περὶ τῶν ὑπὸ θείου βραδέως τιμωρουμένων. Athen. lib. xiv. et Stob. λόγῳ ι'.

mediocritas sit ad utrumque pertinens, utrumque, quemadmodum debet, administrabit: bonam enim donationem similis consequitur acceptio: quæ autem similis non est, contraria est. Quæ igitur se mutuo consequuntur, simul in eodem inesse possunt: contrarias in eodem inesse non posse, perspicuum est. Quod si ei evenerit, ut contra atque oporteat, aut præter honestum, sumptum faciat, ægre feret ille quidem, sed modice, et quemadmodum debet: virtutis est enim, et quibus rebus, et quomodo lætandum et dolendum est, lætari ac dolere. In re autem pecuniaria facilem se ac commodum præbet liberalis: quoniam igitur pecuniam contemnit, ad accipiendum injuriam expositus est: magis tamen gravatur, se, cum res postularet, sumptum non fecisse, quam, cum facere non oporteret, fecisse, moleste fert: neque ei probatur Simonides. Prodigus autem etiam in his offendit: nam neque gaudet, neque dolet quibus, aut quomodo debet: quod ex iis, quæ

ται· ἔσται δὲ προϊοῦσι φανερώτερον. Εἴρηται δ' ἡμῖν ὅτι ὑπερβολαὶ ϗ ἐλλείψεις εἰσὶν, ἡ ἀσωτία καὶ ἡ ἀνελευθερία· καὶ ἐν δυσὶν, ἐν δόσει καὶ λήψει· καὶ τὴν δαπάνην γὰρ εἰς τὴν δόσιν τίθεμεν. Ἡ μὲν οὖν ἀσωτία, τῷ διδόναι καὶ μὴ λαμβάνειν ὑπερβάλλει, τῷ δὲ λαμβάνειν ἐλλείπει· ἡ δὲ ἀνελευθερία, τῷ διδόναι μὲν ἐλλείπει, τῷ λαμβάνειν δ' ὑπερβάλλει, [y]πλὴν ἐπὶ μικροῖς. Τὰ μὲν οὖν τῆς ἀσωτίας οὐ πάνυ [z]συνδυάζεται· οὐ γὰρ ῥᾴδιον μηδαμόθεν λαμβάνοντα, πᾶσι διδόναι· ταχέως γὰρ ἐπιλείπει ἡ οὐσία τοὺς διδόντας ἰδιώτας· οἵπερ ϗ δοκοῦσιν ἄσωτοι εἶναι. [a]Ἐπεὶ ὅγε τοιοῦτος [b]δόξαι ἂν οὐ μικρῷ βελτίων εἶναι τοῦ ἀνελευθέρου· εὐίατός τε γάρ ἐστι ϗ

[y] Lambinus τὸ πλὴν vertit *præterquam*: sed, ni fallor, male. Pro nobis aperte facit Eustrat. cujus hæc sunt verba: *πλὴν ἐπὶ μικροῖς, οὗτοι ἐπονείδιστοί εἰσιν, οἷον ϗ οἱ μικροκλέπται καλούμενοι· οἱ γὰρ ἐν τῷ τὰ μεγάλα λαμβάνειν ὑπερβάλλοντες, οἷοί εἰσι καὶ οἱ τύραννοι, ἄπληστοι, ϗ πλεονέκται, ϗ ἄδικοι, ϗ ἀσεβεῖς, οὐκ ἀνελεύθεροι καλοῦνται. Cæterum in parvis rebus, cujusmodi sunt, qui parvos quæstus sordide conquirunt, paucorumque compilatores ac raptores dicuntur: nam qui in magnis accipiendis excedunt, quales sunt tyranni, insatiabiles potius, alienorum usurpatores, et injusti, atque impii, quam illiberales dicuntur.* [z] Nam cum asotiæ sit proprium, multa largiri et nihil accipere; certe si profundat, et nihil accipiat, ad extremam redigetur inopiam; neque duæ istæ actiones diu conjunctæ manebunt, sed cito decoxerit hunc in modum asotus. Inquit igitur Arist. actiones asoti geminæ non admodum conjunguntur, hoc est, raro simul in uno eodemque reperiuntur, quoniam plerumque cum actione profuse largiendi conjungitur actio a quibusvis per fas nefasque accipiendi. Sunt alii (ut Ven. 1. 2. Bas. El. et N C.) qui legunt *οὐ πάνυ συναύξεται*, hoc est, asotia, cum diu durare nequeat propter immodicam profusionem, certe multum augeri et altas radices agere non poterit. *Zuing.* *συνδιασώζεται, una conservantur,* in quibusdam legi admonet Turnebus. [a] Ἔπειθ' ὅγε Zuing. [b] Γρ. δόξειεν.

posterius dicentur a nobis, planum fiet. Atque hoc quidem jam diximus, profusionem et illiberalitatem, nimium esse et parum: idque utrumque in duobus consistere, in donando scilicet, et accipiendo: nam et sumptum in genere donationis locamus. Ac profusio quidem donando, et non accipiendo modum superat, accipiendo autem deserit: illiberalitas vero donando modum deserit, accipiendo superat, tamen in parvis. Ea igitur, quæ profusionis propria sunt, non admodum copulantur, neque una augescunt: non enim facile est eum, qui a nemine accipiat, omnibus donare: nam celeriter deficiunt eos facultates, qui cum sint privati, plus æquo largiuntur: qui quidem et asoti videntur esse. Deinde hic talis videtur non paulo melior esse avaro: facile enim potest ad sanitatem reverti et

ὑπὸ τῆς ἡλικίας, καὶ ὑπὸ τῆς ἀπορίας, καὶ ἐπὶ τὸ μέσον δύναται ἐλθεῖν· ἔχει γὰρ τὰ τοῦ ἐλευθερίου· καὶ γὰρ δίδωσι, καὶ οὐ λαμβάνει· οὐδέτερον δ' ὡς δεῖ, οὐδ' εὖ. Εἰ δὴ τοῦτο ἠθισθείη, ἤ πως ἄλλως μεταβάλλοι, εἴη ἂν ἐλευθέριος· δώσει γὰρ οἷς δεῖ, καὶ οὐ λήψεται ὅθεν οὐ δεῖ. Διὸ καὶ δοκεῖ οὐκ εἶναι φαῦλος τὸ ἦθος· οὐ γὰρ μοχθηροῦ, οὐδὲ ἀγεννοῦς, τὸ ὑπερβάλλειν διδόντα καὶ μὴ λαμβάνοντα· ἠλιθίου δέ. Ὁ δὲ τοῦτον τὸν τρόπον ἄσωτος, πολὺ δοκεῖ βελτίων τοῦ ἀνελευθέρου εἶναι, διά τε τὰ εἰρημένα, καὶ ὅτι ὁ μὲν ὠφελεῖ πολλούς, ὁ δὲ οὐθένα· ἀλλ' οὐδὲ αὑτόν. Ἀλλ' οἱ πολλοὶ τῶν ἀσώτων, καθάπερ εἴρηται, καὶ λαμβάνουσιν ὅθεν μὴ δεῖ, καί εἰσι κατὰ τοῦτο ἀνελεύθεροι. Ληπτικοὶ δὲ γίνονται, διὰ τὸ βούλεσθαι μὲν ἀναλίσκειν, [c] εὐχερῶς δὲ τοῦτο ποιεῖν μὴ δύνασθαι· ταχὺ γὰρ ἐπιλείπει αὐτοὺς τὰ ὑπάρχοντα. Ἀναγκάζονται οὖν ἑτέρωθεν πορίζειν· ἅμα δὲ καὶ διὰ τὸ μηθὲν τοῦ καλοῦ φροντίζειν,

[c] Εὐχερῶς δὲ τοῦτο μὴ ποιεῖν legunt Andr. El. et C C C. et δύνασθαι omittunt.

ætatis maturitate correctus, et inopia coactus: potest etiam ad mediocritatem pervenire: in eo enim insunt ea omnia, quæ conveniunt liberali; nam et donat, et non accipit: sed neutrum neque ut debet, neque bene. Quod si huic rei assuescat, aut aliqua alia ratione immutetur, jam sit liberalis: nam et quibus erit dandum, dabit, neque unde accipere nefas erit, accipiet. Itaque non male moratus esse videtur: non enim improbi, neque humilis aut degeneris hominis est, sed stulti potius, largiendo et non accipiendo modum superare. Qui autem hoc modo prodigus est, is avaro multo melior videtur esse, cum propter eas causas, quas diximus, tum quod hic juvat multos, ille neminem, atque adeo ne se ipsum quidem. Sed plerique prodigi, quemadmodum a nobis dictum est, et unde non debent, accipiunt, et eo ipso sunt illiberales. Efficiuntur autem ad accipiendum faciles ac propensi, propterea quod cum sumptus facere velint, hoc assequi non facile possunt: nam cito deficiunt eos rei familiaris copiæ. Aliunde igitur, quam de suo, largiri aliis et suppeditare coguntur: simulque quia nullam honesti rationem ducunt, sine religione, nulloque discrimine undique corradunt:

ὀλιγώρως καὶ πάντοθεν λαμβάνουσι· διδόναι γὰρ ἐπιθυμοῦσι· τὸ δὲ πῶς, ἢ πόθεν, οὐθὲν αὐτοῖς διαφέρει. Διόπερ οὐδὲ ἐλευθέριοι αἱ δόσεις αὐτῶν εἰσιν· οὐ γὰρ καλαὶ, οὐδὲ τούτου αὐτοῦ ἕνεκα, οὐδὲ ὡς δεῖ· ἀλλ' ἐνίοτε οὓς δεῖ πένεσθαι, τούτους πλουσίους ποιοῦσι, καὶ τοῖς μὲν μετρίοις τὰ ἤθη, οὐδὲν ἂν δοῖεν, τοῖς δὲ [d] κόλαξιν, ἤ τινα ἄλλην ἡδονὴν πορίζουσι, πολλά. Διὸ καὶ ἀκόλαστοι αὐτῶν εἰσιν οἱ πολλοί· εὐχερῶς γὰρ ἀναλίσκοντες, καὶ εἰς τὰς ἀκολασίας δαπανηροί εἰσι· καὶ διὰ τὸ μὴ πρὸς τὸ καλὸν ζῆν, πρὸς τὰς ἡδονὰς ἀποκλίνουσιν. Ὁ μὲν οὖν ἄσωτος ἀπαιδαγώγητος γενόμενος, εἰς ταῦτα μεταβαίνει· τυχὼν δ' ἐπιμελείας, εἰς τὸ μέσον καὶ τὸ δέον ἀφίκοιτ' ἄν. Ἡ δ' ἀνελευθερία ἀνίατός ἐστι· δοκεῖ γὰρ τὸ γῆρας καὶ πᾶσα ἀδυναμία ἀνελευθέρους ποιεῖν· καὶ συμφυέστερον τοῖς ἀνθρώποις τῆς ἀσωτίας· οἱ γὰρ πολλοὶ φιλοχρήματοι μᾶλλον, ἢ δοτικοί. Καὶ διατείνει δὲ ἐπιπολὺ, καὶ πολυειδές ἐστι· πολλοὶ γὰρ τρόποι δοκοῦσι τῆς ἀνελευθερίας εἶναι· ἐν δυσὶ γὰρ οὖσα, τῇ

[d] Κολάζουσιν El.

largiendi enim cupiditate flagrant: quomodo, aut unde largiantur, susque deque habent. Quare ne liberales quidem sunt eorum donationes: nam nec honestæ sunt, nec honesti causa fiunt, nec ut par est: sed interdum quos homines oporteat in paupertate ætatem agere, hos collocupletant: et cum iis, qui temperatis et probatis sint moribus, nihil donent, in assentatores, aliarumve voluptatum ministros, multa largiter effundunt. Itaque et plerique eorum sunt intemperantes: nam cum facile impendant, etiam in res obscœnas, et ab intemperantia natas, sumptuosi sunt: et quia vitam suam honesti regula non dirigunt, ad voluptates propensiores evadunt. Prodigus igitur si custode et magistro careat, in hæc delabitur: alicujus autem cura et diligentia nixus, ad mediocritatem, et ad id, quod oportet, perveniat. Illiberalitas autem atque avaritia, insanabilis est: videtur enim senectus et omnis imbecillitas illiberales efficère: eaque magis in hominibus innascitur, quam profusio: nam plerique omnes pecuniæ studio ducuntur potius, quam ad largiendum prompti sunt. Tum etiam latissime manat, et est multiplex: multa enim genera multique modi avaritiæ videntur esse: cum enim in

τε ἐλλείψει τῆς δόσεως, καὶ τῇ ὑπερβολῇ τῆς λήψεως, οὐ πᾶσιν ὁλόκληρος παραγίνεται· ἀλλ' ἐνίοτε χωρίζεται· καὶ οἱ μὲν τῇ λήψει ὑπερβάλλουσιν, οἱ δὲ τῇ δόσει ἐλλείπουσιν. [1] Οἱ μὲν γὰρ ἐν ταῖς τοιαύταις προσηγορίαις, οἷον φειδωλοὶ, γλίσχροι, κίμβικες, πάντες τῇ δόσει ἐλλείπουσι· τῶν δὲ ἀλλοτρίων οὐκ ἐφίενται, οὐδὲ βούλονται λαμβάνειν, οἱ μὲν διά τινα ἐπιείκειαν καὶ εὐλάβειαν τῶν αἰσχρῶν· δοκοῦσι γὰρ ἔνιοι ἢ φασί γε διὰ τοῦτο φυλάττειν, ἵνα μή ποτε ἀναγκασθῶσιν αἰσχρόν τι πρᾶξαι. Τούτων δὲ καὶ ὁ κυμινοπρίστης, καὶ πᾶς ὁ τοιοῦτος, ὠνόμασται δὲ ἀπὸ τῆς ὑπερβολῆς τοῦ μηθενὶ ἂν δοῦναι. Οἱ δ' αὖ διὰ φόβον ἀπέχονται τῶν ἀλλοτρίων, ὡς οὐ ῥᾴδιον τὸ αὐτὸν μὲν τὰ ἑτέρων λαμβάνειν, τὰ δὲ αὐτοῦ ἑτέρους μή. Ἀρέσκει οὖν αὐτοῖς, τὸ μήτε λαμβάνειν, μήτε διδόναι. Οἱ δ' αὖ κατὰ τὴν λῆψιν ὑπερβάλλουσι τῷ πάντοθεν λαμβάνειν καὶ πᾶν· οἷον οἱ τὰς ἀνελευθέρους ἐργασίας ἐργαζόμενοι, καὶ πορνοβοσκοὶ, καὶ πάντες οἱ τοιοῦτοι, καὶ τοκισταὶ, [f] καὶ τὰ μικρὰ ἐπὶ

[1] Vide Magn. Moral. lib. i. cap. 25.

[f] *Καὶ ἐπὶ μικρῷ, καὶ ἐπὶ πολλῷ*, legendum suspicabar: nunc video ita et Vet. Interp. legere. Igitur *sive parvo sive ma-*

duabus rebus vertatur, et in dando infra modum, et in supra modum accipiendo, haudquaquam integra inest in omnibus, sed interdum divellitur ac sejungitur; aliique reperiuntur, qui accipiendo modum superant, alii qui dando deserunt. Nam in quos quadrant tales appellationes, verbi gratia, parci, tenaces, sordidi; omnes hi in largiendo modum deserunt: sed aliena nec appetunt, nec accipere volunt, alii quidem æquitate et bonitate quadam, rerumque turpium cavendarum studio adducti: videntur enim nonnulli, aut certe dicunt, se idcirco sua servare ac tenere, ut ne quid aliquando turpe admittere cogantur. Horum in numero est et cuminisector, et quisquis talis est, qui ex eo nomen traxit, quod supra modum a dando abhorreat. Alii autem metu deterriti se a rebus alienis abstinent, proinde quasi non sit facile, eum, qui aliena tollat, sua ab aliis intacta retinere. Placet igitur eis neque ab aliis accipere, neque aliis dare. Alii rursus in accipiendo sunt nimii, quia undique et quidlibet accipiunt: quales sunt ii, qui illiberales operas præstant, sordidasque artes exercent, et lenones, et omnes hujus notæ homines, et fœ-

πολλῷ· πάντες γὰρ οὗτοι ὅθεν οὐ δεῖ λαμβάνουσι, καὶ ὁπόσον οὐ δεῖ. Κοινὸν δ᾽ ἐπ᾽ αὐτοῖς ἡ αἰσχροκέρδεια φαίνεται· πάντες γὰρ ἕνεκα κέρδους, καὶ τούτου μικροῦ, ὀνείδη ὑπομένουσι. Τοὺς γὰρ τὰ μεγάλα, [g] μὴ ὅθεν δεῖ, λαμβάνοντας, μηδὲ ἃ δεῖ, [h] οὐδὲ λέγομεν ἀνελευθέρους, οἷον τοὺς τυράννους, πόλεις πορθοῦντας καὶ ἱερὰ συλῶντας, ἀλλὰ πονηροὺς μᾶλλον, καὶ ἀσεβεῖς, καὶ ἀδίκους. Ὁ μέν τοι κυβευτὴς, καὶ ὁ λωποδύτης, καὶ ὁ λῃστὴς, τῶν ἀνελευθέρων εἰσίν· αἰσχροκερδεῖς γάρ· κέρδους γὰρ ἕνεκα ἀμφότεροι πραγματεύονται, καὶ ὀνείδη ὑπομένουσι· καὶ οἱ μὲν κινδύνους τοὺς μεγίστους, ἕνεκα τοῦ λήμματος· οἱ δὲ ἀπὸ τῶν φίλων κερδαίνουσιν, οἷς δεῖ διδόναι. Ἀμφότεροι δὴ ὅθεν οὐ δεῖ κερδαίνειν βουλόμενοι, αἰσχροκερδεῖς· καὶ πᾶσαι δὴ αἱ τοιαῦται λήψεις ἀνελεύθεροι. Εἰκότως δὲ τῇ ἐλευθεριότητι ἀνελευθερία ἐναντίον λέγεται· μεῖζόν τε γάρ ἐστι κακὸν τῆς

gno fœnore pecuniam suam locet aliquis, sordidus et turpis lucri cupidus habendus est. *Mur.* Huic opinioni favet El. qui leget καὶ ἐπὶ πολλῷ. Eorum, qui pro recepta lectione contendunt, alii subintelligi volunt διδόντες, ut sensus sit: et *qui res dant parvas, magnam mercedem accepturi:* alii vero λαμβάνοντες, ut significet, et *qui magno pretio* (sc. dignitatis et famæ damno) *parva accipiunt.* Hujusmodi sunt scurræ, cæterique turpis artificii homines. Vide Zuing. et Vict. [g] Μὴ ὅθεν δεῖ nostri MSS. [h] Οὐ λέγομεν N C. et Ven. 1. 2.

neratores, et ii, quibus exiguum lucrum magna mercede constat: hi enim omnes a quibus non debent, et quantum non debent, auferunt. Communis autem eorum videtur esse lucri turpitudo: omnes enim propter quæstum, eumque exiguum, turpitudinem ac dedecus subeunt. Nam qui magna, et a quibus, et quæ non debent, auferunt, quales sunt tyranni, qui urbes evertunt, templaque expilant; eos non avaros, sed improbos potius, et impios, et injustos dicimus. Jam aleator, et grassator, qui obvios spoliat, et latro, in numero illiberalium sunt habendi: nam turpem quæstum consectantur: quæstus enim causa utrique in negotio versantur, et dedecora ignominiasque perferunt: atqui hi quidem lucri gratia maximis in periculis versantur; illi ab amicis, quibus donare debebant, lucrum faciunt. Utrique igitur, quoniam ab iis, a quibus non debent, lucrum captant, turpis quæstus studiosi dicendi sunt: omnesque tales accipiendi rationes et viæ sunt illiberales. Merito autem illiberalitas liberalitati contraria esse dicitur: nam cum malum sit profusione majus, tum facilius ac

ἀσωτίας, καὶ μᾶλλον ἐπὶ ταύτην ἁμαρτάνουσιν, ἢ κατὰ τὴν λεχθεῖσαν ἀσωτίαν. Περὶ μὲν οὖν ἐλευθεριότητος καὶ τῶν ἀντικειμένων κακιῶν, τοσαῦτ' εἰρήσθω.

ΚΕΦ. β'.

ΔΟΞΕΙΕ[i] δ' ἂν ἀκόλουθον εἶναι καὶ περὶ μεγαλοπρεπείας διελθεῖν· δοκεῖ γὰρ καὶ αὐτὴ περὶ χρήματά τις ἀρετὴ εἶναι· οὐχ ὥσπερ δ' ἡ ἐλευθεριότης διατείνει περὶ πάσας τὰς ἐν χρήμασι πράξεις, ἀλλὰ περὶ [k]τὰς δαπανηρὰς μόνον. Ἐν τούτοις δ' ὑπερέχει τῆς ἐλευθεριότητος μεγέθει· καθάπερ γὰρ τοὔνομα αὐτὸ ὑποσημαίνει, ἐν μεγέθει πρέπουσα δαπάνη ἐστί. Τὸ δὲ μέγεθος πρός τι· οὐ γὰρ τὸ αὐτὸ δαπάνημα τριηράρχῳ καὶ [l]ἀρχιθεώρῳ. Τὸ πρέπον δὴ πρὸς αὐτὸν, καὶ ἐν ᾧ, [m]καὶ ἅ. Ὁ δὲ ἐν μικροῖς ἢ ἐν μετρίοις κατ' ἀξίαν δαπανῶν, οὐ λέγεται μεγαλοπρεπής· οἷον τὸ,

—[n]πολλάκι δόσκον ἀλήτῃ·

[i] Γρ. δόξαι. [k] Τὰ δαπανηρὰ forte, præcipue cum addat ἐν τούτοις. *Muret.*
[l] Ἀρχιθεωρῷ Bas. et Ven. 1. servato accentu simplicis vocabuli θεωρός. Nostrum accentum tueri possumus aliis similibus, ut sunt ἀρχίατρος, ἀρχιστράτηγος. *Sylb.*
[m] Γρ. περὶ ἅ. περὶ ὃ El. et C C C. Hæc lectio Mureto placuit, qui vult ἐν ᾧ καὶ περὶ ὃ, ἐκ παραλλήλου dici. [n] Verba sunt Ulyssis stipem ab Antinoo petentis. Odyss. ρ'. ver. 420.

sæpius in hac, quam in illa, quam diximus, profusione homines offendunt. Ac de liberalitate quidem, iisque vitiis, quæ cum ea pugnant, hactenus.

CAP. II.

SEQUITUR ut et de magnificentia disseramus: nam ea quoque virtus quædam videtur esse in pecuniis occupata: verum non, ut liberalitas, ad omnes pecuniarias actiones, sed ad sumptuarias duntaxat pertinet. In his autem liberalitatem magnitudine superat: nam ut nomen ipsum subindicat, sumptus est in rebus amplis et magnis decorus. Magnitudo autem ad aliquid refertur: neque enim sumptus idem trierarchum decet, et spectaculorum præfectum. Decorum igitur et personæ, quæ impendit, et rei in quam impendit, et pecuniæ quæ impenditur, spectatur. Qui autem sumptus facit in res parvas, vel mediocres pro earum rerum dignitate, is non dicitur magnificus: ut qui dicebat,

—mendicoque vago dare sæpe solebam:

ἀλλ' ὁ ἐν μεγάλοις, οὗτος· ὁ μὲν γὰρ μεγαλοπρεπὴς, ἐλευθέριος· ὁ δὲ ἐλευθέριος, οὐθὲν μᾶλλον μεγαλοπρεπής. Τῆς τοιαύτης δ' ἕξεως ἡ μὲν ἔλλειψις, μικροπρέπεια καλεῖται· ἡ δ' ὑπερβολὴ, βαναυσία καὶ ἀπειροκαλία· καὶ ὅσαι τοιαῦται οὐχ ὑπερβάλλουσαι τῷ μεγέθει περὶ ἃ δεῖ, ἀλλ' ἐν οἷς οὐ δεῖ, λαμπρυνόμεναι. Ὕστερον δὲ περὶ αὐτῶν ἐροῦμεν. Ὁ δὲ μεγαλοπρεπὴς, ἐπιστήμονι ἔοικε· τὸ πρέπον γὰρ δύναται θεωρῆσαι, καὶ δαπανῆσαι μεγάλα ἐμμελῶς· ὥσπερ γὰρ ἐν ἀρχῇ εἴπομεν, ἡ ἕξις ταῖς ἐνεργείαις ὁρίζεται, καὶ ὧν ἐστιν. [o]Αἱ δὴ τοῦ μεγαλοπρεποῦς δαπάναι, μεγάλαι καὶ πρέπουσαι· τοιαῦτα δὴ καὶ τὰ ἔργα· οὕτω γὰρ ἔσται μέγα δαπάνημα [p]καὶ πρέπον τῷ ἔργῳ. Ὥστε τὸ μὲν ἔργον τῆς δαπάνης ἄξιον δεῖ εἶναι· τὴν δὲ δαπάνην, τοῦ ἔργου, [q]ἢ καὶ ὑπερβάλλειν. Δαπανήσει [r]δὴ τὰ τοιαῦτα ὁ μεγαλοπρεπὴς τοῦ καλοῦ ἕνεκα·

[o] Illud αἱ non referendum censeo ad subsequens nomen δαπάναι, ut cæteri omnes faciunt: sed ad id, quod antecessit ἐνέργειαι, ut significet proprias magnifici ἐνεργείας esse sumptus magnos et decoros. *Mur.* [p] Εἰ pro καὶ habent Lamb. et Zuing. [q] *Εἰ δὲ δεῖ τὸ ἕτερον ὑπερβάλλειν, τὸ ἔργον· τοῦτο γὰρ μᾶλλον πρέπει τῷ μεγαλοπρεπεῖ. Quod si alterum necesse erit excedere, id opus erit: hoc enim magis convenit magnifico.* Andr. [r] Ita nostri MSS. et Andr. γρ. δέ.

sed is demum, qui in res magnas: nam qui magnificus est, idem est liberalis; sed qui liberalis est, non continuo est magnificus. Hujus autem talis habitus id, quod est parum, indecora parsimonia appellatur; nimium, operaria quædam in sumptu faciendo insolentia, et elegantiæ inscientia: et quotquot sunt tales vitiorum appellationes, quæ modum superant non magnitudine sumptus, quem faciunt; sed quod in iis rebus splendorem ostentant, in quibus, et quomodo non oportet. Verum de iis posterius dicemus. Magnificus autem homini scienti similis est: et decorum enim animo cernere, et magnos sumptus concinne facere potest: namque (ut initio diximus) omnis habitus actionibus, iisque rebus, quarum est habitus, terminatur. Sumptus autem viri magnifici, magni sunt et decori: talia quoque sunt ejus opera: sic enim sumptus magnus erit, et ad opus accommodatus, ac decorus. Itaque oportet opus sumptu dignum esse, et opere sumptum, aut etiam superiorem. Hæc etiam talia vir magnificus impendet honesti gratia; hoc enim omnium virtutum commune est:

κοινὸν γὰρ τοῦτο ταῖς ἀρεταῖς· καὶ ἔτι ἡδέως καὶ προετικῶς, ἡ γὰρ ἀκριβολογία, μικροπρεπές. Καὶ πῶς κάλλιστον καὶ πρεπωδέστατον, σκέψαιτ' ἂν μᾶλλον, ἢ [s] πόσου, καὶ πῶς ἐλαχίστου. Ἀναγκαῖον [t] δὴ καὶ ἐλευθέριον τὸν μεγαλοπρεπῆ εἶναι· καὶ γὰρ ὁ ἐλευθέριος δαπανήσει ἃ δεῖ, καὶ ὡς δεῖ· ἐν τούτοις δὲ τὸ μέγα τοῦ μεγαλοπρεποῦς, [u] οἷον μέγεθος. Περὶ ταῦτα τῆς ἐλευθεριότητος οὔσης, καὶ ἀπὸ τῆς ἴσης δαπάνης, τὸ ἔργον ποιήσει μεγαλοπρεπέστερον· οὐ γὰρ ἡ αὐτὴ ἀρετὴ κτήματος καὶ ἔργου· [x] κτῆμα μὲν γὰρ τὸ πλείστου ἄξιον καὶ τιμιώτατον, οἷον

[s] Γρ. πόσον καὶ πῶς ἐλάχιστον: minus recte. *Casaub.* [t] Δὲ El. et Andr. [u] Sic habent libri vulg. *Οἷον μέγεθος. περὶ ταῦτα δὲ τῆς ἐλευθεριότητος οὔσης.* Locus est aliquanto obscurior: ego autem verba sic connecto: *οἷον μέγεθος τῆς ἐλευθεριότητος τῆς περὶ ταῦτα οὔσης*: quorum verborum hanc sententiam esse puto, conjunctis iis, quæ proxime antecedunt: *In iis, quæ agit liberalis, quicquid est magnum, magnifici est: ut magnitudo liberalitatis, quæ in his versatur.* Quod simile est, ut si diceret, magnificentiam esse quandam liberalitatis magnitudinem: quam sententiam videtur probasse D. Thomas: eandemque expressisse Argyropylus. Interpunctio autem, quæ adhibetur inter vocem *μέγεθος*, et præpositionem *περὶ*, tollenda erit, si hæc sententia placebit. Sed M. Antonius Muretus, homo judicii limatissimi, ingeniique acerrimi, existimat interpunctum illud esse retinendum: ea autem, quæ statim sequuntur, mendo non vacare, atque adeo sic esse corrigenda: *περὶ ταὐτὰ δὲ τῆς ἐλευθεριότητος οὔσης, καὶ ἀπὸ τῆς αὐτῆς δαπάνης, τὸ ἔργον ποιήσει*, id est, *Cum in eisdem autem versetur liberalitas, in quibus magnificentia, tum ab eodem sumptu opus efficiet*, &c. Quam scripturam postea reperi in codice manuscripto Pontificis Marcelli II. *Lamb.* Ita hunc locum explicat Andr. *Δαπανᾷ γὰρ ὁ μεγαλοπρεπὴς ἃ δεῖ, καὶ ὡς δεῖ, καὶ ὅτε δεῖ· τοῦτο δέ ἐστιν ὁ ἐλευθέριος· μεγάλα δὲ καὶ μεγάλων ἕνεκα, ὅπερ ἐστὶν ἴδιον τοῦ μεγαλοπρεποῦς· πολλάκις γὰρ καὶ διὰ τῆς αὐτῆς δαπάνης ὁ μεγαλοπρεπὴς οὐ τὸ αὐτὸ ἔργον ποιεῖ τῷ ἐλευθερίῳ, ἀλλὰ μεγαλοπρεπέστερον.* [x] *Κτήματος μὲν γὰρ ἀρετὴ τὸ* &c. *ἔργου δὲ τὸ μεγ.* El. Vet. Interp. et Andr.

et præterea jucunde, ac prolixe; nam subtilius rationes subducere, et omnia ad calculum revocare, hominis est parsimoniam indecoram consectantis. Atque etiam quo modo opus quam pulcherrimum, et quam maxime decorum potius, quam quanti, et qua ratione minimo efficiatur, cogitabit. Necessario quoque liberalis erit vir magnificus, impendet enim etiam liberalis et quæ oportet, et ut oportet: sed in his quicquid magni est, magnifici proprium est, nempe magnitudo atque amplitudo. Cum autem in iisdem versetur liberalitas, atque magnificentia, pari impensa vir magnificus opus efficiet, quod magnificentia præstet: non enim eadem possessionis, atque operis virtus est; nam possessionis virtus est, ut sit plurimi æstimanda, pretiosissima, et carissima, ut aurum; operis autem, ut magnitudine præstet, et pulchritudine excellat: ejus

χρυσός· ἔργον δὲ, τὸ μέγα καὶ καλόν· τοῦ γὰρ τοιούτου ἡ θεωρία θαυμαστή· τὸ δὲ μεγαλοπρεπὲς, θαυμαστόν. Καὶ ἔστιν [y] ἀρετὴ ἔργου, [z] μεγαλοπρέπεια ἐν μεγέθει. Ἔστι δὲ τῶν δαπανημάτων, οἷα λέγομεν τὰ τίμια, οἷον τὰ περὶ τοὺς θεοὺς, [a] ἀναθήματα καὶ κατασκευαὶ καὶ θυσίαι· ὁμοίως δὲ καὶ ὅσα περὶ πᾶν τὸ δαιμόνιον, καὶ ὅσα πρὸς τὸ κοινὸν εὐφιλοτίμητά ἐστιν· οἷον εἴ που χορηγεῖν [b] οἴονται δεῖν λαμπρῶς, ἢ τριηραρχεῖν, ἢ καὶ ἑστιᾶν τὴν πόλιν. Ἐν ἅπασι δ', ὥσπερ εἴρηται, καὶ πρὸς τὸν πράττοντα ἀναφέρεται τὸ τίς ὢν, καὶ τίνων ὑπαρχόντων· ἄξια γὰρ δεῖ τούτων εἶναι, καὶ μὴ μόνον τῷ ἔργῳ ἀλλὰ καὶ τῷ ποιοῦντι πρέπειν. Διὸ πένης μὲν οὐκ ἂν εἴη μεγαλοπρεπής· οὐ γάρ ἐστιν ἀφ' ὧν [c] πολλὰ δαπανήσει πρεπόντως· ὁ δ' ἐπι-

[y] Ἀρετὴ a quibusdam codd. abest. [z] Μεγαλοπρέπεια redundat: ut enim dixit, *ἀρετὴν κτήματος εἶναι ἐν τιμῇ, οὕτω καὶ νῦν λέγει τὴν τοῦ ἔργου ἀρετὴν εἶναι ἐν μεγέθει. Mur.* [a] Distinguendum est post vocem θεούς: neque enim satis emendate diceretur, *τὰ ἀναθήματα τὰ περὶ τοὺς θεοὺς, dona quæ suspenduntur in templis, diisque dicantur:* ut vertit Lamb. Sed τὰ περὶ τοὺς θεοὺς vocat omnia, quæ ad Deos colendos pertinent; deinde enumerat tria eorum genera, *ἀναθήματα, κατασκευὰς, θυσίας.* Aretinus pro *ἀναθήματα, κατασκευαὶ* videtur legisse *ἀναθήματα, καὶ τὰ σκεύη*, aut *ἀναθηματικὰ σκεύη*: quod si reciperemus, interpretaremur *lebetas, tripodas, pateras, aliaque vasa sacris ministeriis dicata:* sed eam scripturam non probamus; accipimusque *κατασκευὰς, exstructiones templorum* et talium. Nonnunquam tamen *κατασκευὴ* significat etiam *supellectilem et vasa.* Mur. [b] Οἷόν τε δεῖ El. οἷόν τε Vet. Interp. et C C C. [c] Πολλὰ a quibusdam abest.

enim operis, quod tale est, spectatio admiratione spectatores afficit: quod autem magnificum est, id admirabile est. Operis igitur virtus ac præstantia est magnificentia, quæ in magnitudine consistit. Sumptus autem quidam sunt, quos amplos et honoratos dicimus, verbi gratia, ii, qui ad deos colendos pertinent, nempe donaria, et constructiones templorum, et sacrificia: item que ea omnia, quæ in id, quodcunque divinum est, impenduntur: et quæcunque in rempublicam honestæ laudis studio conferuntur: ut sicubi ludos se splendide facere, aut triremium præfecturam de suo administrare, aut epulum præbere civitati putent oportere. In omnibus autem, ut dictum est, ejus, qui agit, habenda ratio est, *sc.* qui sit, et quæ sint ejus facultates: sumptus enim digni facultatibus esse debent, neque opus solum, sed etiam eum, qui facit, decere. Quocirca nemo pauper magnificus esse queat, quia non habet unde sumptus convenienter et decore facere possit: et qui conetur, stultus sit habendus, quoniam et præter dignitatem, et præter id, quod

χειρῶν, ἠλίθιος· παρὰ τὴν ἀξίαν γὰρ καὶ τὸ δέον· κατ' ἀρετὴν δὲ τὸ ὀρθῶς. Πρέπει δὲ καὶ [d]οἷς τὰ τοιαῦτα προϋπάρχει δι' αὐτῶν, ἢ διὰ τῶν προγόνων, [e]ἢ ὧν αὐτοῖς μέτεστι· καὶ τοῖς εὐγενέσι καὶ τοῖς ἐνδόξοις, καὶ ὅσα τοιαῦτα· πάντα γὰρ ταῦτα μέγεθος ἔχει καὶ ἀξίωμα. Μάλιστα μὲν οὖν τοιοῦτος ὁ μεγαλοπρεπὴς, καὶ ἐν τοιούτοις δαπανήμασιν ἡ μεγαλοπρέπεια, ὥσπερ εἴρηται· μέγιστα γὰρ καὶ ἐντιμότατα. Τῶν δὲ ἰδίων, ὅσα εἰσάπαξ γίνηται· οἷον γάμος, καὶ εἴ τι τοιοῦτον, καὶ εἰ περί τι πᾶσα ἡ πόλις σπουδάζει, ἢ οἱ ἐν ἀξιώματι· καὶ περὶ [f]ξένων δὲ ὑποδοχὰς, καὶ ἀποστολὰς, καὶ δωρεὰς, καὶ ἀντιδωρεάς· οὐ γὰρ εἰς ἑαυτὸν δαπανηρὸς ὁ μεγαλοπρεπὴς, ἀλλ' εἰς τὰ κοινά. Τὰ δὲ δῶρα τοῖς ἀναθήμασιν ἔχει τι ὅμοιον.

[d] Οἷς ταῦτα pro οἷς τὰ τοιαῦτα El. *τὰ τοιαῦτα opes* exponunt Lamb. et Aquinas. Ego autem malo sequi Aspasium, et Acciaiolum, qui exponunt *talia opera, tales sumptus*. Mur. Huic sententiæ favet Andr. Ἔπειτα πρέπειν δοκεῖ καὶ τοῖς πολλάκις τοιαῦτα πεποιηκόσιν, ἢ ὧν οἱ πρόγονοι μεγαλοπρεπεῖς ἦσαν· *sed et magis iis convenire videtur, qui sæpe talia fecerint, aut quorum magnifici majores fuerunt.* [e] Ἢ ὧν εὐθὺς αὐτοῖς legisse videtur Argyr. Mur. [f] Per ξένους non quoslibet *hospites* intelligit, sed magnos et potentes; ut reges et dynastas, qui, quoquo veniunt, magna pompa, magnoque et splendido apparatu publice excipi advenientes, et abeuntes deduci solent. δωρεαὶ quoque et ἀντιδωρεαὶ ad hospitalia munera pertinent: solebant enim et qui veniebant ad aliquem hospitem, adventu suo ei dona quædam offerre, et ii, qui a se hospites dimittebant, aliis quibusdam eos remunerari. Exempla apud Homerum et Virgilium crebra sunt. *Mur.*

fieri oporteat, conetur: quicquid autem recte fit, id omne ex virtute fit. Decet porro magnifice facere cum eos, quibus res hujusmodi vel ipsorum labore et virtute partæ sunt, vel a majoribus, aut iis, quibus cum aliqua necessitudine cunjuncti sunt, relictæ: tum honesto loco natos et claros viros: eos denique qui tali aliqua laude antecellunt: inest enim in his omnibus amplitudo quædam, et dignitas. Talis igitur est maxime vir magnificus, et in hujus generis sumptibus magnificentia, ut diximus, elucet: maximi sunt enim et honore dignissimi. In privatis autem sumptibus iis, qui semel fiunt, etiam locum habet: quales sunt nuptiæ, et si quid ejus generis est, et si qua in re vel tota civitas studiose occupata est, vel ii, qui dignitate præstant: in recipiendorum quoque hospitum, et dimittendorum officio, in donis et remunerationibus: non enim in seipsum sumptuosus est vir magnificus, sed in rem communem et publicam. Dona autem simile quiddam iis rebus habent, quæ diis consecrantur, et ante eorum simulacra

Μεγαλοπρεποῦς δὲ καὶ οἶκον κατασκευάσασθαι πρεπόντως τῷ πλούτῳ· κόσμος γάρ τις καὶ οὗτος· καὶ περὶ ταῦτα μᾶλλον δαπανᾷν, ὅσα πολυχρόνια τῶν ἔργων· κάλλιστα γὰρ ταῦτα· καὶ ἐν ἑκάστοις τὸ πρέπον· οὐ γὰρ τὰ αὐτὰ ἁρμόζει θεοῖς καὶ ἀνθρώποις, οὐδ' ἐν ἱερῷ καὶ τάφῳ. Καὶ ἐπὶ τῶν δαπανημάτων ἕκαστον μέγα ἐν τῷ γένει· καὶ μεγαλοπρεπέστατον μὲν τὸ ἐν μεγάλῳ μέγα· [g] ἐνταῦθα δὲ τὸ ἐν τούτοις μέγα. Καὶ διαφέρει τὸ ἐν τῷ ἔργῳ μέγα τοῦ ἐν τῷ δαπανήματι· σφαῖρα μὲν γὰρ ἡ λήκυθος ἡ καλλίστη ἔχει μεγαλοπρέπειαν παιδικοῦ δώρου· ἡ δὲ τούτου τιμὴ, μικρὸν καὶ ἀνελεύθερον. Διὰ τοῦτό ἐστι τοῦ μεγαλοπρεποῦς, ἐν ᾧ ἂν ποιῇ γένει, μεγαλοπρεπῶς ποιεῖν· τὸ γὰρ τοιοῦτον οὐκ εὐυπέρβλητον, [h] καὶ ἔχον κατ' ἀξίαν τοῦ δαπανήματος. Τοιοῦτος μὲν οὖν ὁ μεγαλοπρεπής. Ὁ δ' ὑπερβάλλων καὶ βάναυσος, τῷ παρὰ τὸ δέον ἀναλίσκειν ὑπερβάλλει, ὥσπερ εἴρηται· ἐν γὰρ τοῖς μικροῖς τῶν δαπανη-

[g] Ἐνταῦθεν pro ἐνταῦθα legendum, et vertendum esse *secundo loco*, ut sit adverb. ordinis, non loci, existimat Gruch. [h] Γρ. ὡς pro *καί*.

suspenduntur. Est etiam viri magnifici domum ita exædificare, ut ejus species divitiis conveniat (aliquid enim ex hac quoque ornamenti comparatur) et in ea opera potius pecuniam impendere, quæ diuturna sunt futura (sunt enim hæc pulcherrima) et in unoquoque decorum servare: non enim eadem diis atque hominibus conveniunt, neque eodem sumptu fanum et sepulchrum ædificandum est. Ac sumptus quidem suo quisque in genere magnus est: et cum sit illud magnificentissimum, quod in magno magnum est: tum hic sumptus, qui in his rebus magnus est. Interest enim inter id, quod est in opere magnum, et id quod est in sumptu: nam pila vel ampulla pulcherrima doni puerilis magnificentiam illa quidem obtinet; sed hujus pretium exiguum et illiberale est. Itaque magnifici est, cujuscunque generis opus efficiat, magnifice facere: nam nec id, quod erit ejusmodi, facile superari poterit: et sumptus magnitudini respondebit. Talis igitur est vir magnificus. Qui autem modum superat, et is, qui mechanice in sumtu faciendo insolens est, eo, ut diximus, superat, quod secus ac debet, impendit: in res enim parvas, et quæ parvum sumptum desiderant, multam pecuniam insumit,

μάτων, πολλὰ ἀναλίσκει, ϗ λαμπρύνεται παρὰ μέλος· οἷον [i] ἐρανιστὰς γαμικῶς ἑστιῶν· [k] καὶ κωμῳδοῖς χορηγῶν, ἐν τῇ παρόδῳ πορφύραν εἰσφέρων, ὥσπερ οἱ Μεγαρεῖς. Καὶ πάντα τὰ τοιαῦτα ποιήσει, οὐ τοῦ καλοῦ ἕνεκα, ἀλλὰ τὸν πλοῦτον ἐπιδεικνύμενος, καὶ διὰ ταῦτα οἰόμενος θαυμάζεσθαι· ϗ οὗ μὲν δεῖ πολλὰ ἀναλῶσαι, ὀλίγα δαπανῶν· οὗ δ' ὀλίγα, πολλά. Ὁ δὲ μικροπρεπὴς περὶ πάντα ἐλλείψει, ϗ τὰ μέγιστα ἀναλώσας, [l] ἐν μικρῷ τὸ καλὸν ἀπολεῖ· καὶ ὅ, τι ἂν ποιῇ μέλλων, καὶ σκοπῶν πῶς ἂν ἐλάχιστον ἀναλώσαι· καὶ ταῦτ' ὀδυρόμενος, καὶ πάντ' οἰόμενος μείζω ποιεῖν, ἢ δεῖ. Εἰσὶ

[i] Tria erant conviviorum genera apud antiquos, ut patet ex Homero. Primum erat ἔρανος, sc. τὸ ἐκ συμβολῆς δεῖπνον, *cœna quæ fiebat a symbolarum collatoribus:* cum convivæ viritim aliquid in eam parandam expenderunt: fuit autem tenue ac parcum hoc convivii genus. Reliqua duo erant πολυτελῆ, magisque sumptuosa, unius hominis expensa facta; et vel fiebant ob nuptias, vel alia gravi de re: illud γάμον, hoc εἰλαπίνην vocat Homerus. Vide Odyss. α'. ver. 226. [k] *Καὶ τοῖς κωμῳδοῖς χορηγῶν παριοῦσι, καὶ χρήματα φιλοτίμως ἀναλίσκων ἐν αὐτοῖς, ὥσπερ εἰς κοινὸν ὄφελος· ἢ ἐν ταῖς κωμῳδίαις, ἀντὶ κῳδίων, ἃ παραπετάσματα ἦν ἐπὶ τῆς σκηνῆς, πορφυρίδας ἔχειν, καθάπερ οἱ Μεγαρεῖς. Et qui comicis ad se venientibus omnia præbet, si choragum agit: nec aliter in ludos pecunias impendit, quam si cum reipublicæ eas utilitate conferret: aut in actione comœdiæ, pro iis quibus scena vestiri solet pellibus, purpuras mavult cum Megarensibus.* Andr. [l] *Πολλάκις τὰ πλείω τῆς δαπάνης ἀναλώσας, καὶ πρὸς τὴν τελείωσιν ἤδη βλέποντος τοῦ ἔργου, ὑπ' ἀκριβολογίας ἀτέλεστον ἀφίησι διὰ μικρὰν δαπάνην. Sæpenumero cum maximam sumptuum jam partem toleraverit, et ad finem suum opus spectet, dum nimis stricte omnia ad calculum revocat, sumptus exigui causa imperfectum relinquit.* Andr.

splendoremque ac magnificentiam ostentat inconcinne, atque invenuste: exempli gratia, nuptiali apparatu eos accipit, qui symbolam in cœnam dederunt: et comœdis dux chori præpositus, ad chori ingressum exornandum purpuram confert, quemadmodum facere consueverunt Megarenses. Atque hujusmodi omnia faciet non honesti, sed ostentandarum divitiarum causa, et quod se his rebus homines admiratione affecturum sperat. Et quas in res multa impendere debet, in iis sumptum exiguum faciet: ubi parva impensa desideratur, ibi largus et profusus erit. Homo autem indecore parcus in omni re modum deseret, maximaque pecunia consumpta, in parva honestum omne perdet atque exstinguet: quicquid facturus est, procrastinans, et cunctabundus efficiet: et qua ratione quam minimo sumptu id conficere possit, considerabit: et in his lamentabitur et ingemiscet, omniaque se efficere majora, quam oporteat, arbitrabitur. Sunt igitur hi habitus vitia: nullam tamen

μὲν οὖν αἱ ἕξεις αὗται, κακίαι· οὐ μὴν ὀνείδη γ' ἐπιφέρουσι, διὰ τὸ μήτε βλαβεραὶ [m]τῷ πέλας εἶναι, μήτε λίαν ἀσχήμονες.

ΚΕΦ. γ'.

[l]Η ΔΕ μεγαλοψυχία περὶ μεγάλα μὲν καὶ ἐκ τοῦ ὀνόματος ἔοικεν εἶναι. Περὶ ποῖα δ' ἐστὶ, πρῶτον λάβωμεν. Διαφέρει δ' οὐθὲν τὴν ἕξιν, ἢ τὸν κατὰ τὴν ἕξιν, σκοπεῖν. Δοκεῖ δὲ μεγαλόψυχος εἶναι, ὁ μεγάλων αὐτὸν ἀξιῶν, ἄξιος ὤν· ὁ γὰρ μὴ κατ' ἀξίαν αὐτὸ ποιῶν, ἠλίθιος· τῶν δὲ κατ' ἀρετὴν οὐδεὶς ἠλίθιος, οὐδ' ἀνόητος. Μεγαλόψυχος μὲν οὖν ὁ εἰρημένος· [n]ὁ γὰρ μικρῶν ἄξιος, καὶ τούτων ἀξιῶν ἑαυτὸν, σώφρων, μεγαλόψυχος δ' οὔ· ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία, [o]ὥσπερ καὶ τὸ κάλλος ἐν μεγάλῳ σώματι· οἱ μικροὶ δ' ἀστεῖοι καὶ σύμμετροι, καλοὶ δ' οὔ. Ὁ δὲ με-

[m] Γρ. τῶν πέλας. [l] Vide Magn. Moral. lib. i. cap. 26. [n] Γρ. Ὁ δὲ μικρῶν. [o] Ἐπεὶ τὸ καλὸν, καὶ ζῶον καὶ ἅπαν πρᾶγμα ὃ συνέστηκεν ἔκ τινων, οὐ μόνον ταῦτα τεταγμένα δεῖ ἔχειν, ἀλλὰ καὶ μέγεθος ὑπάρχειν μὴ τὸ τυχόν· τὸ γὰρ καλὸν, ἐν μεγέθει καὶ τάξει ἐστί· διὸ οὔτε πάμμικρον ἄν τι γένοιτο καλὸν ζῶον· συγχεῖται γὰρ ἡ θεωρία ἐγγὺς τοῦ ἀναισθήτου χρόνου γινομένη. Aristot. in lib. de Poet. cap. 7. τὸ καλὸν ἐν πλήθει καὶ μεγέθει εἴωθε γίνεσθαι. lib. i. Polit.

turpitudinis, aut dedecoris notam inurunt, quia nec alteri damnum inferunt, nec admodum sunt deformes.

CAP. III.

MAGNITUDO animi autem magnis in rebus, ut et nomen ipsum declarat, elucere videtur. Ac primum sane quales sint hæ res, intelligamus. Nihil porro interest, utrum ipsum animi habitum, an eum, qui eo sit præditus, consideremus. Magno autem animo habendus videtur is, qui magna se mereri existimat, idque suo merito: qui enim præter meritum ac dignitatem id facit, stolidus est: at eorum, qui virtutem colunt, nemo stolidus est, nemo mente captus. Est igitur magno is animo, quem descripsimus: qui enim seipsum, cum parvis rebus, atque honoribus dignus sit, parvis quoque dignum judicat, hic modestus habendus est, non magnanimus: animi enim magnitudo in magnitudine sita est: quemadmodum et in magno corpore, pulchritudo: brevis autem staturæ homines, venusti ac lepidi sunt quidem illi, aptaque membrorum convenientia et proportione præditi, sed pulchri non item. Qui vero ma-

γάλων αὐτὸν ἀξιῶν, ἀνάξιος ὤν, χαῦνος· [p] ὁ δὲ μειζόνων ἢ ἄξιος, οὐ πᾶς χαῦνος. Ὁ δ' ἐλαττόνων ἢ ἄξιος, μικρόψυχος, ἐάν τε μεγάλων, ἐάν τε μετρίων, ἐάν τε καὶ μικρῶν ἄξιος ὤν, ἔτι ἐλαττόνων ἑαυτὸν ἀξιοῖ, καὶ μάλιστα ἂν δόξειεν ὁ μεγάλων ἄξιος· τί γὰρ ἂν ἐποίει, εἰ μὴ τοιούτων ἦν ἄξιος; Ἔστι δὴ ὁ μεγαλόψυχος, τῷ μὲν μεγέθει ἄκρος· τῷ δὲ ὡς δεῖ μέσος· τοῦ γὰρ κατ' ἀξίαν ἑαυτὸν ἀξιοῖ· οἱ δ' ὑπερβάλλουσι καὶ ἐλλείπουσιν. Εἰ δὲ δὴ μεγάλων ἑαυτὸν ἀξιοῖ, ἄξιος ὤν, καὶ μάλιστα τῶν μεγίστων, περὶ ἓν μάλιστα ἂν εἴη. [[q]Τί οὖν τοῦτ' ἔστιν, ἐκ τῆς ἀξίας ληπτέον·] ἡ δ' ἀξία λέγεται πρὸς τὰ ἐκτὸς ἀγαθά. Μέγιστον δὲ τοῦτ' ἂν θείημεν, ὃ τοῖς θεοῖς ἀπονέμομεν, καὶ οὗ μάλιστα ἐφίενται οἱ ἐν ἀξιώματι, καὶ τὸ ἐπὶ τοῖς καλλίστοις ἆθλον· τοιοῦτον δ' ἡ τιμή· μέγιστον γὰρ δὴ τοῦτο τῶν ἐκτὸς ἀγαθῶν. Περὶ τιμὰς δὴ καὶ ἀτιμίας ὁ

[p] *Ὁ δὲ ἄξιος μὲν ὢν πολλῶν, πλειόνων δὲ ἀξιῶν ἑαυτὸν, οὐ πάντῃ χαῦνος. Qui vero cum dignus sit plurimis, dignum se tamen arbitratur pluribus, non omnino elatus est.* Andr. [q] *Τί οὖν τοῦτ' ἔστιν, ἐκ τῆς ἀξ. ληπτ.* tota hæc sententia abest a nostris MSS. Vet. Interp. et Argyr.

gna se meritum esse putat, immeritò tamen, elatus ac superbus est: quisquis autem majora sibi deberi, quam quibus dignus sit, arbitratur, non continuo superbus est. Verum qui se minoribusdignum, quam mereatur, existimat, is angusto et humili animo est, sive magnis, sive mediocribus, sive parvis dignus, etiam minora sibi tribui putet oportere: maxime vero si qui magnis dignus est, iis se indignum putet: quid enim eum facturum putemus, si hisce non esset dignus? Magnanimus igitur magnitudine est ille quidem summus: sed eo, quod ita, ut oportet, de suis meritis judicat, medius: iis enim, quæ ipsius dignitati meritisque respondent, seipsum dignum judicat: alii modum superant et deserunt. Ergo si se magnis esse dignum merito existimat, et maxime, si maximis: in una re potissimum sane versabitur. Quænam igitur sit hujusmodi res, ex dignitate intelligamus: jam dignitatis nomen ad externa bona refertur. Hoc autem maximum locare debeamus quod et diis immortalibus tribuimus, et ii omnes, qui in existimatione magna habentur, expetunt: quod est denique rerum pulcherrime gestarum præmium: at honos tale quiddam est: hoc enim est externorum bonorum maxi-

μεγαλόψυχός ἐστιν, ὡς δεῖ. [r]Καὶ ἄνευ δὲ λόγου φαίνονται οἱ μεγαλόψυχοι περὶ τιμὴν εἶναι· τιμῆς γὰρ μάλισθ' οἱ μεγάλοι ἀξιοῦσιν ἑαυτούς· κατ' ἀξίαν δέ. Ὁ δὲ μικρόψυχος ἐλλείπει καὶ πρὸς αὑτὸν, καὶ πρὸς τὸ τοῦ μεγαλοψύχου ἀξίωμα· ὁ δὲ χαῦνος, πρὸς ἑαυτὸν μὲν ὑπερβάλλει· οὐ μὴν τόν γε μεγαλόψυχον. Ὁ δὲ μεγαλόψυχος, εἴ περ τῶν μεγίστων ἄξιος, ἄριστος ἂν εἴη· μείζονος γὰρ ἀεὶ ὁ βελτίων ἄξιος, καὶ μεγίστων ὁ ἄριστος. Τὸν ὡς ἀληθῶς ἄρα μεγαλόψυχον, δεῖ ἀγαθὸν εἶναι· καὶ δόξειε δ' ἂν εἶναι μεγαλοψύχου, τὸ ἐν ἑκάστῃ ἀρετῇ μέγα· οὐδαμῶς τ' ἂν ἁρμόζοι μεγαλοψύχῳ φεύγειν [s]παρασείσαντι, οὐδὲ ἀδικεῖν· τίνος γὰρ ἕνεκα πράξει αἰσχρὰ, ᾧ οὐθὲν μέγα; [t]Καθ' ἕκαστα δ' ἐπισκοποῦντι πάμπαν [u]γελοῖος φαίνοιτ' ἂν ὁ μεγαλόψυχος, μὴ ἀγαθὸς ὤν. Οὐκ εἴη δ' ἂν οὐδὲ τιμῆς ἄξιος, φαῦλος ὤν· τῆς ἀρετῆς γὰρ

[r] Καὶ ἄνευ δὲ λόγου φαίνονται &c. poterant hæc et hoc modo converti: *neque vero ratio est quærenda, cur dicamus magnanimos in honore versari.* Lamb. [s] Γρ. παραδείσαντι et παρασπείσαντι. Sed nostram scripturam confirmat, quod idem in Probl. dicit, *οἱ θέοντες θᾶττον θέουσι παρασείοντες τὰς χεῖρας. Sylb.* Vide Vict. Var. Lection. lib. ii, [t] Γρ. καθ' ἕκαστον. [u] Γελοῖον N C. et El.

mum. In honore igitur et infamia sic se gerit, ut oportet, vir magni animi. Neque vero verbis aut ratione opus est ad docendum, viros magnanimos in honore versari: honore enim maxime magni viri se dignos esse existimant; sed pro eo ac merentur. At, qui demisso et humili animo est, is modum deserit, sive ipsius persona, sive magnanimi existimatio spectetur: superbus autem si ejus personam spectes, superat; non, si eum cum viro magnanimo conferas. Quod si magnanimus maximis sit honoribus dignus, ille profecto sit vir optimus ac præstantissimus: nam quo quisque melior est, eo majore præmio atque honore dignus est, et quidem optimus quisque maximo. Vere igitur magnanimus, vir bonus sit necesse est: atque etiam quod in quaque virtute magnum et amplum est, viri magnanimi esse videatur: neque conveniat magnanimo dimissis manibus fugere, neque injuriam cuiquam facere: quid est enim cur turpe aliquid admittat, cui nihil sit magnum? Atque ei quidem, qui res sigillatim inspiciat, prorsus ridiculus esse videatur magnanimus, si non sit idem vir bonus. Quin ne honore quidem dignus erit, si

ἆθλον ἡ τιμὴ, καὶ ἀπονέμεται τοῖς ἀγαθοῖς. Ἔοικε μὲν οὖν ἡ μεγαλοψυχία, οἷον κόσμος τις εἶναι τῶν ἀρετῶν· μείζους γὰρ αὐτὰς ποιεῖ, καὶ οὐ γίνεται ἄνευ ἐκείνων. Διὰ τοῦτο χαλεπὸν τῇ ἀληθείᾳ μεγαλόψυχον εἶναι· οὐ γὰρ οἷόν τε ἄνευ καλοκαγαθίας. Μάλιστα μὲν οὖν περὶ τιμὰς καὶ ἀτιμίας ὁ μεγαλόψυχός ἐστι. Καὶ ἐπὶ μὲν ταῖς μεγάλαις, [x] καὶ ὑπὸ τῶν σπουδαίων μετρίως ἡσθήσεται, ὡς τῶν οἰκείων τυγχάνων, ἢ καὶ ἐλαττόνων· ἀρετῆς γὰρ παντελοῦς οὐκ ἂν γένοιτο ἀξία τιμή. Οὐ μὴν ἀλλ' ἀποδέξεταί γε, τῷ μὴ ἔχειν αὐτοὺς μείζω αὐτῷ ἀπονέμειν· τῆς δὲ παρὰ τῶν τυχόντων [y] καὶ ἐπὶ μικροῖς, πάμπαν ὀλιγωρήσει· οὐ γὰρ τούτων ἄξιος· ὁμοίως δὲ καὶ ἀτιμίας· οὐ γὰρ ἔσται δικαίως περὶ [z] αὐτόν. Μάλιστα μὲν οὖν ἐστιν, ὥσπερ εἴρηται, ὁ μεγαλόψυχος περὶ τιμάς. Οὐ μὴν ἀλλὰ καὶ περὶ πλοῦτον καὶ δυναστείαν, καὶ πᾶσαν εὐτυχίαν

[x] Γρ. καὶ ταῖς ὑπὸ τῶν σπουδ. [y] Καὶ μάλιστα ὅταν ἐπὶ μικροῖς αὐτὸν τιμῶσιν· οἷον εἴ τις ἐτίμα τὸν Ἀχιλλέα, ὅτι καλῶς ᾔδει κιθαρίζειν. Andr. [z] Γρ. αὐτόν.

sit malus et nequam: præmium enim virtutis est honos, et tribuitur viris bonis. Quocirca videtur animi magnitudo quasi quoddam virtutum omnium esse ornamentum: nam et majores eas, amplioresque facit, et sine illis constare nullo modo potest: atque ob hanc causam qui reapse magno sit animo, non facile reperias: quippe qui sine eximia quadam bonitate talis esse non possit. In honoribus igitur et ignominiis vir magni animi maxime cernitur. Ac magnis quidem honoribus, et iis, qui a viris bonis deferentur, modice delectabitur, tanquam suos, sibique accommodatos, aut etiam sua virtute minores et inferiores consecutus: virtuti enim omnibus suis numeris perfectæ et absolutæ non facile par ullus honos reperiri queat. Verum tamen eos æquo animo accipiet vel ob hanc causam, quod illi non possint ei tribuere majora: eum autem honorem, qui et a quibuslibet, et ob res parvas tribuetur, prorsus negliget atque aspernabitur; hos enim non meretur: itemque ignominiam atque infamiam contemnet, quia in eum jure cadere non poterunt. Maxime igitur et potissimum in honoribus versatur vir magnanimus. Verum tamen in divitiis quoque, et principatu, in omni denique secunda atque adversa fortuna quicquid ac-

καὶ ἀτυχίαν μετρίως ἕξει, ὅπως ἂν γένηται· καὶ οὔτ᾽ εὐτυχῶν περιχαρὴς ἔσται, οὔτε ἀτυχῶν περίλυπος· οὐδὲ γὰρ περὶ τιμὴν οὕτως ἔχει, [a]ὡς μέγιστον ὄν· αἱ γὰρ δυναστεῖαι καὶ ὁ πλοῦτος διὰ τὴν τιμήν ἐστιν αἱρετά· οἱ γοῦν ἔχοντες αὐτὰ, τιμᾶσθαι δι᾽ αὐτῶν βούλονται. Ὧ δὴ καὶ ἡ τιμὴ μικρόν ἐστι, τούτῳ καὶ τἄλλα· διὸ καὶ ὑπερόπται δοκοῦσιν εἶναι. Δοκεῖ δὲ καὶ τὰ εὐτυχήματα συμβάλλεσθαι πρὸς μεγαλοψυχίαν· οἱ γὰρ εὐγενεῖς ἀξιοῦνται τιμῆς· καὶ οἱ δυναστεύοντες, ἢ οἱ πλουτοῦντες, ἐν ὑπεροχῇ γάρ· τὸ δ᾽ ἀγαθῷ ὑπερέχον πᾶν, ἐντιμότερον. Διὸ καὶ τὰ τοιαῦτα μεγαλοψυχοτέρους ποιεῖ· τιμῶνται γὰρ ὑπό τινων. Κατ᾽ ἀλήθειαν δὲ ὁ ἀγαθὸς μόνος [b]τιμητός· ᾧ δ᾽ ἄμφω ὑπάρχει, μᾶλλον ἀξιοῦται τιμῆς· οἱ δ᾽ ἄνευ ἀρετῆς τὰ τοιαῦτα ἀγαθὰ ἔχοντες, οὔτε δικαίως ἑαυτοὺς μεγάλων ἀξιοῦσιν, οὔτε

[a] Ὡς μέγιστον ὂν valet *rem quam maximam*, non ut vulgo interpretantur, *tanquam rem maximam*. Sic enim loquuntur Græci, *ὡς μέγιστος, ὡς κάλλιστος, ὡς ἄριστος*, vel *ὅτι μέγιστος*, &c. id est, *quam maximus, quam pulcherrimus, quam optimus*. Lamb. *οὐ γὰρ μέγιστον ἡγήσεται τὴν τιμὴν, καὶ οὕτω περὶ αὐτὴν ἕξει ὡς μέγιστον ὄν*. Andr.
[b] *Τιμητέος· οἷς δ᾽ ἄμφω ὑπάρχει, μᾶλλον ἀξιοῦνται* El.

ciderit, in eo se moderatum præbebit: neque in rebus secundis lætitia efferetur, neque in adversis mœrore contrahetur: nam ne in honorem quidem sic animatus est; qui tamen quam maxima res est: principatus enim et divitiæ propter honorem sunt optabilia; nam qui hæc bona consecuti sunt, his ipsis honore affici volunt. Cui igitur honos in rebus parvis numeretur, huic ne cætera quidem magna erunt: ob id ipsum vero magnanimi etiam aliorum contemptores et superbi videntur esse. Videntur autem res secundæ ad animi magnitudinem conferre: nam et honesto summoque loco nati, honore digni putantur: et ii, qui principatum obtinent, aut opulenti, quoniam cæteris antecellunt: quo quidque porro bono aliquo magis excellit, eo honoratius est. Itaque etiam his talibus homines animi majoris efficiuntur: a nonnullis enim honorem consequuntur. Sed si verum quærimus, solus vir bonus afficiendus honore est: cujus autem virtuti conjuncta fortuna est, is honore dignior habetur: quibus vero sine virtute talia bona contigerunt, hi neque seipsos magnis honoribus dignos merito existimant, neque recte magnanimi appellantur; hæc enim sine virtute integra atque

ὀρθῶς μεγαλόψυχοι λέγονται· ἄνευ γὰρ ἀρετῆς παντελοῦς οὐκ ἔστι ταῦτα: [c]Ὑπερόπται δὲ καὶ ὑβρισταὶ, ϗ τὰ τοιαῦτα ἔχοντες, κακοὶ γίγνονται· ἄνευ γὰρ ἀρετῆς οὐ ῥάδιον φέρειν ἐμμελῶς τὰ εὐτυχήματα· οὐ δυνάμενοι δὲ φέρειν, καὶ οἰόμενοι τῶν ἄλλων ὑπερέχειν, ἐκείνων μὲν καταφρονοῦσιν· αὐτοὶ δὲ ὅ, τι ἂν τύχωσι, πράττουσι· μιμοῦνται γὰρ τὸν μεγαλόψυχον, ἐχ ὅμοιοι ὄντες· τοῦτο δὲ δρῶσιν ἐν οἷς δύνανται. Τὰ μὲν οὖν κατ' ἀρετὴν οὐ πράττουσι, καταφρονοῦσι δὲ τῶν ἄλλων. Ὁ δὲ μεγαλόψυχος, δικαίως καταφρονεῖ· δοξάζει γὰρ ἀληθῶς· οἱ δὲ πολλοὶ, τυχόντως. [d]Οὐκ ἔστι δὲ μικροκίνδυνος οὐδὲ φιλοκίνδυνος, διὰ τὸ ὀλίγα τιμᾶν· μεγαλοκίνδυνος δὲ, καὶ ὅταν κινδυνεύῃ, [e]ἀφειδὴς τοῦ βίου, ὡς οὐκ ἄξιον ὂν πάντως ζῆν. Καὶ οἷος εὖ ποιεῖν, εὐεργετούμενος δ' αἰσχύνεται· τὸ μὲν

[c] Ὑπερόπται ϗ ὑβρισταὶ, ϗ τὰ τοιαῦτα ἔχοντες ἀγαθὰ, γίγνονται nostri MSS. Alii ἔχοντες καλὰ καὶ ἀγαθὰ, γίγ. Sed, ni fallor, rectius legunt Cam. et Argyr. qui τὰ τοιαῦτα ἔχοντες ἀγ. omittunt: quod interpretamentum esse videtur. Vide Lamb.
[d] Οὐκ ἔστι πυκνοκίνδυνος, οὐδὲ φιλοκίνδ. N C. Ven. 1. 2. et Bas. Alii, ex testimonio Lambini, οὐκ ἔστι δὲ μικροκίνδ. οὐδὲ πυκνοκίνδ. Huic lectioni adstipulari videntur sequentia, διὰ τὸ ὀλίγα τιμᾶν. Pro πυκνοκίνδ. facit Andr. Ἔστι δὲ ὁ μεγαλόψυχος οὐ πυκνοκίνδυνος μέν· οὐ γὰρ συνεχῶς εἰς κινδύνους ἑαυτὸν ἐκβάλλει, διὰ τὸ μὴ τιμᾶν τὰ τυχόντα, καὶ μικρῶν τινων καὶ ὀλίγων προκινδυνεύειν. Vide Vict. [e] Ἀφειδεῖ N C. et C C C. inter lineas.

undique perfecta, constare nullo modo possunt. Sed aliorum contemptores ac superbi, et contumeliosi evadunt ii, qui talibus copiis circumfluunt: difficile est enim sine virtute res secundas composite concinneque ferre: cum porro ferre non possint, seseque cæteris præstare existiment, tum illos contemnunt, tum ipsi quicquid fors tulerit, agunt: virum magnanimum enim imitantur, cum sint ei dissimiles: quibuscunque autem in rebus possunt, hoc faciunt. Nec ea igitur, quæ virtuti consentanea sunt, agere student, et alios tamen fastidiose despiciunt. Magnanimus autem non injuria despicit: de rebus enim vere opinatur et judicat: at vulgus quomodocunque sors tulerit, opinatur. Jam vero neque sese offert ad casus parvorum periculorum, neque periculi adeundi cupidus est, quoniam pauca sunt, quæ magni faciat: magnis autem periculis sese objicit, et cum in discrimine versatur, vitæ non parcit, perinde quasi plane indignum sit, eum in vita manere. Et cum eo sit animo, ut libenter beneficium in a-

γὰρ ὑπερέχοντος, τὸ δὲ ὑπερεχομένου. Καὶ ἀντευεργετικὸς πλειόνων· οὕτω γὰρ προσοφλήσει ὁ ὑπάρξας, καὶ ἔσται εὖ πεπονθώς. Δοκοῦσι δὲ καὶ μνημονεύειν, οὓς ἂν ποιήσωσιν εὖ· ὧν δ' ἂν πάθωσιν, οὔ· ἐλάττων γὰρ ὁ παθὼν εὖ, τοῦ ποιήσαντος· βούλεται δὲ ὑπερέχειν· καὶ τὰ μὲν ἡδέως ἀκούει, τὰ δ' ἀηδῶς. Διὸ καὶ [f] τὴν Θέτιν οὐ λέγειν τὰς εὐεργεσίας τῷ Διΐ, οὐδ' [g] οἱ Λάκωνες πρὸς τοὺς Ἀθηναίους, ἀλλ' ἃ πεπόνθεσαν εὖ. Μεγαλοψύχου δὲ καὶ τὸ μηθενὸς [h] δεῖσθαι, ἢ μόγις, ὑπηρετεῖν δὲ προθύμως. Καὶ πρὸς μὲν τοὺς ἐν ἀξιώματι καὶ εὐτυχίαις, μέγαν εἶναι, πρὸς δὲ τοὺς μέσους, μέτριον· τῶν μὲν γὰρ ὑπερέχειν, χαλεπὸν καὶ σεμνὸν, τῶν δὲ, ῥάδιον·

[f] Γρ. ἡ Θέτις οὐ λέγει. Verba Thetidos, pro filio suo Achille Jovem deprecantis, occurrunt Iliad. α'. ver. 503.

Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα,
Ἢ ἔπει, ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ·
Τίμησόν μοι υἱόν.

In his Thetis sua in Jovem beneficia modo leviter et dubitanter attingit: non vero prolixe libereque ea commemorat, sicuti alias solebat. Andronicus hanc periodum ita παραφράζει quasi *μνημονικὸν ἁμάρτημα* subesset. *Διὰ τοῦτο καὶ ἡ Θέτις παρ' Ὁμήρῳ οὐ λέγει τὰς εὐεργεσίας τῷ Διΐ· οὐδὲ μέμνηται πρὸς αὐτὸν ὧν εὖ ἐποίησεν αὐτὸν, ἀλλ' ὧν εὖ πέπονθε παρ' αὐτοῦ.* [g] Testatur id Eustratius ex lib. i. Callisthenis Ἑλληνικῶν. Xenophon tamen lib. vi. Ἑλληνικῶν, sua erga Athenienses beneficia Spartanos enumerasse scribit. [h] Δεῖσθαι valet *rogare* et *egere*. Itaque hunc locum sic quoque licebit interpretari: *nullius indigere*. Lamb.

lios conferat, tum si accipiat, erubescit: illud enim præstantis et excellentis hominis est, hoc inferioris. Idem beneficium majore mensura, quam accepit, remetiri consuevit: sic enim is, qui de eo prior bene meritus est, etiam ei debebit, et beneficio devinctus erit. Præterea videntur magnanimi meminisse, quos beneficio affecerint; a quibus autem acceperint, non item: est enim is, qui beneficium accepit, eo, qui dedit, inferior: at vult magnanimus excellere: atque illa quidem audit libentissime ac jucundissime, hæc gravate. Itaque neque Thetis Jovi sua in eum beneficia commemorat, neque Lacedæmonii Atheniensibus; sed quæ ab illis acceperunt. Est etiam magnanimi neminem, aut vix quenquam rogare, libenter alteri operam dare atque inservire. Atque in eos quidem, qui aliqua dignitate præditi sunt, quorumque res valde sunt secundæ, magnum se atque excelsum: in eos vero, quorum mediocris fortuna est, modestum ac moderatum præbere: illis enim antecellere difficile, et amplum, his facile est: et in-

ϗ [i]ἐν ἐκείνοις μὲν σεμνύνεσθαι οὐκ ἀγεννὲς, ἐν δὲ τοῖς ταπεινοῖς, φορτικὸν, ὥσπερ εἰς τοὺς ἀσθενεῖς ἰσχυρίζεσθαι. [k]Καὶ εἰς τὰ ἔντιμα μὴ ἰέναι, ἢ οὗ [l]πρωτεύουσιν ἄλλοι. Καὶ ἀργὸν εἶναι ϗ μελλητὴν, ἀλλ' ἢ ὅπου τιμὴ μεγάλη ἢ ἔργον· ϗ ὀλίγων μὲν πρακτικὸν, μεγάλων δὲ καὶ ὀνομαστῶν. Ἀναγκαῖον δὲ καὶ φανερόμισον εἶναι ϗ φανερόφιλον· τὸ γὰρ λανθάνειν, φοβουμένου. Καὶ μέλειν τῆς ἀληθείας μᾶλλον ἢ τῆς δόξης. Καὶ λέγειν ϗ πράττειν φανερῶς· [m]καταφρονητικοῦ γάρ· διὸ παῤῥησιαστικός· παῤῥησιαστικοῦ δέ· διὸ καταφρονητικὸς ϗ ἀληθευτικός· πλὴν ὅσα μὴ δι' εἰρωνείαν· [n]εἴρωνα δὲ πρὸς τοὺς πολλούς. Καὶ πρὸς ἄλλον μὴ δύνασθαι ζῆν, ἀλλ' ἢ πρὸς

[i] Ἐν' ἐκείνοις El. et C C C. [k] Οὐδὲ περιελεύσεται ζητῶν οὗ τιμηθήσεται· μικρὸν γὰρ τοῦτο· οὐδὲ ἐθελήσει ποτὲ παραγίνεσθαι ὅπου πρωτεύουσιν ἄλλοι. *Neque curiose honorem sectabitur aut quæret (nam et hoc parvum est) nec unquam venturus est, ubi primum locum occupant alii.* Andr. [l] Προτιμεύουσιν El. [m] Παῤῥησιαστὴς γὰρ, διὰ τὸ καταφρονητικὸς εἶναι· καταφρονητικὸς δὲ, διὰ τὸ παῤῥησιαστικὸς καὶ ἀληθευτικὸς εἶναι N C. et C C C. hanc lectionem secutus est Lamb. In nonnullis sic legitur: παῤῥησιαστικοῦ γάρ· διὸ καταφρονητικός· καταφρονητικοῦ γάρ· διὸ παῤῥησιαστικός· Hanc periochen hoc modo παραφράζει Andr. Καὶ πάντα δὲ, ἃ λέγει καὶ πράττει, φανερῶς ϗ λέγει καὶ πράττει, διὰ τὸ καταφρονεῖν, ὡς εἴρηται, τῆς παρὰ τῶν πολλῶν δόξης· διὰ τοῦτο ϗ παῤῥησιαστικός ἐστι, ϗ ἀεὶ ἀληθεύει· εἰ μή που εἰρωνεύοιτο πρὸς τοὺς πολλοὺς, ϗ τὰ μικρὰ λέγει περὶ ἑαυτοῦ, διὰ τὸ μὴ βούλεσθαι παρὰ φαύλων ἀνθρώπων τιμᾶσθαι. *Sed et quicquid aut dicit aut agit, palam aut dicit aut agit, quia opinionem negligit vulgarem, ut dictum est: ac propterea libertatem in dicendo amat, semperque verum dicit: nisi forte cum dissimulatione inter plebeios utitur homines, parumque sibi tribuit, quia infimorum scilicet honorem negligit.* [n] Εἰρωνεία pro εἴρωνα nostri MSS. Bas. Ven. 1. et 2.

ter illos gloriari, generosi hominis est, inter humiles autem et infimos, ridiculum atque ineptum est: quemadmodum in imbecillos vires suas expromere atque experiri. Est et ejusdem ad ea non ire, quæ sunt honorata, aut in quibus alii principem locum obtinent. Præterea cessatorem et cunctatorem esse, nisi ubi aut magnus honor proponatur, aut magna res agatur: deinde res gerere paucas illas quidem, sed magnas et omnium sermone famaque celebrandas. Jam vero et apertas eum inimicitias gerere, et aperte amare necesse est: timentis est enim fronte occultare sententiam. Deinde majorem veritatis, quam opinionis curam habere. Tum aperte et dicere et agere omnia: contemnentis enim proprium est: quare amat libertatem loquendi: libere autem loquentis hoc est: quare aliorum contemptor, et veritatis studiosus est; nisi ubi dissimulanter loquitur: est autem dissimulator in vulgus. Est et ejusdem, alterius nutu atque arbitratu vivere non pos-

φίλον· δουλικὸν γάρ· διὸ καὶ πάντες οἱ κόλακες, θητικοί· καὶ οἱ ταπεινοὶ, κόλακες. Οὐδὲ θαυμαστικός· οὐδὲν γὰρ μέγα αὐτῷ ἐστιν. Οὐδὲ μνησίκακος· οὐ γὰρ μεγαλοψύχου τὸ ἀπομνημονεύειν, ἄλλως τε καὶ κακά· ἀλλὰ μᾶλλον παρορᾷν. Οὐδ᾽ ἀνθρωπολόγος· οὔτε γὰρ περὶ αὑτοῦ ἐρεῖ, οὔτε περὶ ἑτέρου· οὔτε γὰρ ἵνα ἐπαινῆται, μέλει αὐτῷ· οὔθ᾽ ὅπως οἱ ἄλλοι ψέγωνται. Οὐδ᾽ αὖ ἐπαινετικός ἐστι· διόπερ οὐδὲ κακολόγος, οὐδὲ τῶν ἐχθρῶν, εἰ μὴ δι᾽ ὕβριν. Καὶ περὶ ἀναγκαίων ἢ μικρῶν ἥκιστα ὀλοφυρτικὸς καὶ δεητικός· σπουδάζοντος γὰρ οὕτως ἔχειν περὶ ταῦτα. Καὶ οἷος κεκτῆσθαι μᾶλλον τὰ καλὰ καὶ ἄκαρπα τῶν καρπίμων καὶ ὠφελίμων· αὐτάρκους γὰρ μᾶλλον. Καὶ κίνησις δὲ βραδεῖα τοῦ μεγαλοψύχου δοκεῖ εἶναι, καὶ φωνὴ βαρεῖα, καὶ λέξις στάσιμος· οὐ γὰρ σπευστικὸς, ὁ περὶ ὀλίγα σπουδάζων· οὐδὲ σύντονος, ὁ μηθὲν μέγα οἰόμενος· ἡ δ᾽ ὀξυφωνία καὶ ἡ ταχυτὴς ° διὰ τούτων. Τοιοῦτος μὲν οὖν

° Διὰ ταῦτα legi vult Lambinus.

se, nisi amici: servile enim est: itaque ut assentatores omnes, mercenarii quidam sunt; sic humiles et demissi homines, assentatores. Neque facile admiratur: nihil enim ei magnum est. Neque meminit injurias: viri enim magnanimi non est memorem esse, præsertim vero malorum; sed ea potius pro nihilo putare. Neque de hominibus loquitur: quippe qui nec de se, nec de cæteris prædicaturus est: nam neque ut laudetur magnopere solicitus est, neque ut alii vituperentur. Nec rursus laudator est: et ob eandem causam neque maledicus, ne in inimicos quidem, nisi contumelia accepta. In iis autem rebus, quæ aut necessariæ, aut exiguæ sunt, minime queribundus est, neque supplex: est enim hominis nimium studium nimiamque curam in res humanas conferentis, sic affectum esse. Atque etiam ita comparatus est, ut res pulchras et elegantes, easdemque steriles, possidere malit, quam utiles et fructuosas: hoc enim magis proprium hominis est se ipso contenti, et bonorum omnium copia per se cumulati. Motum etiam magnanimi viri tardum futurum esse credibile est, vocem gravem, orationem stabilem ac sedatam: neque enim festinare solet is, qui paucis rebus studet: neque vehementer contendit, cui nihil magnum esse videtur: propter has causas autem et vox acuta, et celer in-

ὁ μεγαλόψυχος. Ὁ δ' ἐλλείπων, μικρόψυχος· ὁ δ' ὑπερβάλλων, χαῦνος. Οὐ κακοὶ μὲν οὖν δοκοῦσιν εἶναι οὐδ' οὗτοι· οὐ γὰρ κακοποιοί εἰσιν, ἡμαρτημένοι δέ· ὁ μὲν γὰρ μικρόψυχος, ἄξιος ὢν ἀγαθῶν, ἑαυτὸν ἀποστερεῖ ὧν ἄξιός ἐστι· καὶ ἔοικε κακὸν ἔχειν τι, ἐκ τοῦ μὴ ἀξιοῦν ἑαυτὸν τῶν ἀγαθῶν· καὶ [p] ἀγνοεῖν δ' ἑαυτόν· ὠρέγετο γὰρ ἂν ὧν ἄξιος ἦν, ἀγαθῶν γε ὄντων. Οὐ μὴν ἠλίθιοί γε οἱ τοιοῦτοι δοκοῦσιν εἶναι, ἀλλὰ μᾶλλον [q] ὀκνηροί. Ἡ τοιαύτη δὲ δόξα δοκεῖ καὶ χείρους ποιεῖν· ἕκαστοι γὰρ ἐφίενται τῶν κατ' ἀξίαν· ἀφίστανται δὲ καὶ τῶν πράξεων τῶν καλῶν καὶ τῶν ἐπιτηδευμάτων, ὡς ἀνάξιοι ὄντες· ὁμοίως δὲ καὶ τῶν ἐκτὸς ἀγαθῶν. Οἱ δὲ χαῦνοι, ἠλίθιοι, καὶ ἑαυτοὺς ἀγνοοῦντες, καὶ ταῦτ' ἐπιφανῶς· ὡς γὰρ ἄξιοι ὄντες, τοῖς ἐντίμοις ἐπιχειροῦσιν, εἶτα ἐξελέγχονται· καὶ ἐσθῆτι κοσμοῦνται, καὶ σχήματι, καὶ τοῖς τοιούτοις· καὶ βούλονται τὰ εὐτυχήματα φανερὰ εἶναι αὐτῶν, καὶ λέγουσι [r] περὶ αὐτῶν, ὡς

[p] Γρ. ἀγνοεῖ. [q] Νωθροὶ pro ὀκνηροὶ El. et Cam. νωθροὶ C C C. et El. ad oram, ita etiam Andr. [r] Περὶ αὐτῶν Argyr. et Vict.

gressus esse solet. Ac magnanimus quidem talis est. Qui autem modum deserit, is angusto parvoque animo dicitur: qui superat, elatus ac superbus. Qui sane minime mali videntur esse (nihil enim maleficii in quenquam admittunt) verum tamen peccant: nam qui demisso parvoque animo est, cum sit bonis dignus, ipse se iis fraudat, quæ meretur: videturque mali quiddam in hoc inesse ex eo, quod sese bonis indignum esse arbitratur; atque seipsum ignorat: nam ni ita esset, ea expeteret, quibus dignus est, cum bona sint. Tales homines tamen stulti non videntur esse, sed pigri potius et segnes. Talis autem opinio, quam de seipsis habent, etiam deteriores eos efficere videtur: ea enim, quæ meretur, quisque expetere consuevit. Proinde ab honestis actionibus et studiis, quasi indigni sint, itemque a bonis externis longe refugiunt. Superbi autem cum stulti sint, tum seipsos quoque ignorant, neque id obscure: nam proinde quasi digni sint, res amplas et honoratas conantur ac suscipiunt, deinde se ipsi quales sint, indicant, et ab aliis coarguuntur: tum vero ex vestitu, totoque habitu et gestu corporis, et consimilibus aliis ornatum sibi quærunt: suasque res secundas omnibus no-

διὰ τούτων τιμηθησόμενοι. Ἀντιτίθεται δὲ τῇ μεγαλοψυχίᾳ ἡ μικροψυχία μᾶλλον τῆς χαυνότητος· καὶ γὰρ γίγνεται μᾶλλον, καὶ [a]χεῖρόν ἐστιν. Ἡ μὲν οὖν μεγαλοψυχία περὶ τιμήν ἐστι μεγάλην, ὥσπερ εἴρηται.

ΚΕΦ. δ′.

ΕΟΙΚΕ δὲ καὶ περὶ ταύτην εἶναι ἀρετή τις, καθάπερ ἐν τοῖς πρώτοις ἐλέχθη, ἣ δόξειεν ἂν παραπλησίως ἔχειν πρὸς τὴν μεγαλοψυχίαν, ὥσπερ καὶ ἡ ἐλευθεριότης πρὸς τὴν μεγαλοπρέπειαν· ἄμφω γὰρ αὗται τοῦ μὲν μεγάλου ἀφεστᾶσι, περὶ δὲ τὰ μέτρια καὶ τὰ μικρὰ διατιθέασιν ἡμᾶς ὡς δεῖ. Ὥσπερ δὲ ἐν λήψει καὶ δόσει χρημάτων μεσότης ἐστὶ, καὶ ὑπερβολή τε καὶ ἔλλειψις· οὕτω καὶ ἐν τιμῆς ὀρέξει, τὸ μᾶλλον ἢ δεῖ, καὶ ἧττον, καὶ τὸ ὅθεν δεῖ, καὶ ὡς δεῖ· τόν τε γὰρ φιλότιμον ψέγομεν, ὡς καὶ μᾶλλον ἢ δεῖ, καὶ ὅθεν οὐ δεῖ, τῆς τιμῆς ἐφιέμενον· τόν τε ἀφιλότιμον, ὡς οὐδ᾽ ἐπὶ τοῖς καλοῖς προ-

[a] Χεῖρον C.C.C. et Argyr.

tas et manifestas esse volunt, et de se ipsi prædicant: quasi ex his honorem consecuturi. Magis autem animi magnitudini adversatur humilitas et demissio animi, quam elatio ac superbia: nam crebrior est, et deterius malum. Animi igitur magnitudo in magno honore versatur, quemadmodum ostendimus.

CAP. IV.

VIDETUR autem etiam in hoc alia quædam virtus esse occupata, ut in superioribus diximus, quæ parem ad animi magnitudinem rationem habere videatur, atque ad magnificentiam liberalitas: nam cum ambæ hæ virtutes a magno remotæ sint, tum in rebus mediocribus et parvis nos ita, ut par est, afficiunt. At in accipiendis autem et dandis pecuniis locum habent mediocritas, nimium et parum: sic etiam honos, et vehementius, et minus quam oportet, et rursum unde, et quo modo expetendus est, expeti potest; nam et ambitiosum vituperamus, tanquam nimia honoris cupiditate inflammatum, honoremque unde non oportet, aucupantem: et honoris contemptorem, tanquam ne ex honestis quidem rebus honoris adipiscendi consilium capientem. Inter-

αἱρούμενον τιμᾶσθαι. Ἔστι δ' ὅτε τὸν φιλότιμον ἐπαινοῦμεν, ὡς ἀνδρώδη καὶ φιλόκαλον· τὸν δὲ ἀφιλότιμον, ὡς μέτριον καὶ σώφρονα, [t]ὥσπερ καὶ ἐν τοῖς πρώτοις εἴπομεν. Δῆλον δ' ὅτι [u]πλεοναχῶς τοῦ φιλοτοιούτου λεγομένου, οὐκ ἐπὶ τὸ αὐτὸ ἀεὶ φέρομεν τὸ φιλότιμον· ἀλλ' ἐπαινοῦντες μὲν, ἐπὶ τὸ μᾶλλον, ἢ οἱ πολλοὶ, ψέγοντες δὲ, ἐπὶ τὸ μᾶλλον ἢ δεῖ. [x]Ἀνωνύμου δ' οὔσης τῆς μεσότητος, ὡς ἐρήμης, ἔοικεν ἀμφισβητεῖν τὰ ἄκρα· ἐν οἷς δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις, καὶ τὸ μέσον. Ὀρέγονται δὲ τιμῆς καὶ μᾶλλον ἢ δεῖ, καὶ ἧττον· ἔστι δὴ καὶ ὡς δεῖ. Ἐπαινεῖται γοῦν ἡ ἕξις αὕτη, μεσότης οὖσα περὶ τιμὴν ἀνώνυμος. Φαίνεται δὲ πρὸς μὲν τὴν φιλοτιμίαν, ἀφιλοτιμία, πρὸς δὲ τὴν ἀφιλοτιμίαν, φιλοτιμία· πρὸς ἀμφότερα δὲ, ἀμφότερά πως· ἔοικε δὲ τοῦτ' εἶναι καὶ περὶ τὰς ἄλλας ἀρετάς. [y]Ἀντικεῖσθαι δὲ ἐνταῦθα [z]οἱ ἄκροι φαίνονται, διὰ τὸ μὴ ὠνομάσθαι τὸν μέσον.

[t] Sc. in lib. ii. cap. 7. [u] Sc. in lib. iii. cap. 11. [x] Ita lib. ii. cap. 7. ἔνθεν ἐπιδικάζονται οἱ ἄκροι τῆς μέσης χώρας. [y] Vide lib. ii. cap. 8. [z] Sc. ὅροι.

dum autem ambitiosum quidem laudamus, ut virum fortem et honestatis studiosum: honoris vero contemptorem, tanquam modestum et temperantem, ut etiam supra diximus. Perspicuum est autem, cum multis modis quis hujus vel illius rei amans dicatur, non respectu eodem semper φιλοτίμου nomen efferri: sed si laudemus, de eo, qui studiosior sit honoris, quam vulgus: sin vituperemus, de eo, qui studiosior sit, quam oporteat. Quoniam autem mediocritas vacat nomine, idcirco fit ut extrema de ejus possessione, quasi de loco vacuo ac deserto, ambigant et concertent: cæterum quibus in rebus nimium reperitur et parum, in iis etiam mediocritas. At honorem homines et nimium expetunt, et parum: eum igitur quoque expetere licet intra modum, et ut oportet. Laudatur itaque hic habitus, qui mediocritas est in honore expetendo occupata, non nominata. Videtur autem, si cum ambitione comparetur, honoris contemptio: si cum honoris contemptione, ambitio: sed cum utraque comparata, utriusque speciem quodammodo præ se fert: quod etiam in reliquis virtutibus apparet. Pugnare autem hic videntur inter se extremi, quia ei, qui medius est, nomen impositum non est.

ΚΕΦ. έ.

ΠΡᾼΟΤΗΣ δ' ἐστὶ μὲν μεσότης περὶ ὀργάς. Ἀνωνύμου δ' ὄντος τοῦ μέσου, σχεδὸν δὲ καὶ τῶν ἄκρων, ἐπὶ [a] τὸν μέσον τὴν πρᾳότητα φέρομεν, πρὸς τὴν ἔλλειψιν ἀποκλίνουσαν, ἀνώνυμον οὖσαν. Ἡ δ' ὑπερβολὴ, ὀργιλότης τις λέγοιτ' ἄν· τὸ μὲν γὰρ πάθος ἐστὶν ὀργή· τὰ δ' ἐμποιοῦντα, πολλὰ καὶ διαφέροντα. Ὁ μὲν οὖν ἐφ' οἷς δεῖ, καὶ οἷς δεῖ ὀργιζόμενος, ἔτι δὲ καὶ ὡς δεῖ, καὶ ὅτε, καὶ ὅσον χρόνον, ἐπαινεῖται. Πρᾷος δὴ οὗτος ἂν εἴη, εἴ περ ἡ πρᾳότης ἐπαινεῖται· [1] βούλεται γὰρ ὁ πρᾷος ἀτάραχος εἶναι, καὶ μὴ ἄγεσθαι ὑπὸ τοῦ πάθους· ἀλλ' ὡς ἂν ὁ λόγος τάξῃ, οὕτω, καὶ ἐπὶ τούτοις, καὶ ἐπὶ τοσοῦτον χρόνον χαλεπαίνειν. Ἁμαρτάνειν δὲ δοκεῖ μᾶλλον ἐπὶ τὴν ἔλλειψιν· οὐ γὰρ τιμωρητικὸς ὁ πρᾷος, ἀλλὰ μᾶλλον συγγνωμονικός. Ἡ δ' ἔλλειψις, εἴτ' ἀοργησία τίς ἐστιν, εἴθ' ὅ, τι δή ποτε, ψέγεται· οἱ γὰρ μὴ ὀργιζόμενοι ἐφ'

[a] Γρ. τὸ μέσον. [1] Magn. Moral. lib. i. cap. 23. et Eud. lib. iii. cap. 3.

CAP. V.

LENITAS autem mediocritas est, quæ in iris versatur. Sed quia medius vacat nomine, ac fere etiam extremi, medio lenitatem ascribimus, ad id, quod est parum, propendentem, quod ipsum nomine vacat. Nimium autem iracundia dici potest: perturbatio enim ira est, cujus multæ et variæ causæ sunt efficientes. Atque is quidem, qui, quibus de rebus, quibusque hominibus oportet, irascitur: præterea vero et quemadmodum, quo tempore, et quamdiu oportet, laudatur. Mansuetus igitur ac lenis appellari poterit, si modo lenitas laudabilis est: ea enim videtur esse mansueti et lenis hominis natura, ut et ab omni animi tumultu sit liber ac solutus, nec se a perturbatione trahi patiatur; sed ut ratio præceperit, ita, et his de causis, et tamdiu irascatur, et ægre ferat. Peccare autem videtur in eam partem, quæ est infra modum: non enim ad ulciscendum implicatus est homo lenis, sed potius ad ignoscendum propensus. Parum autem, sive lentitudinem, sive quo alio nomine placet appellare, vituperatur: nam cum ii, qui non succensent ob eas

οἷς δεῖ, ἠλίθιοι δοκοῦσιν εἶναι, καὶ οἱ μὴ ὡς δεῖ, μηδ' ὅτε, μηδὲ οἷς δεῖ· δοκεῖ γὰρ οὐκ αἰσθάνεσθαι, οὐδὲ λυπεῖσθαι· [b] μὴ ὀργιζόμενός τε οὐκ εἶναι ἀμυντικός· τὸ δὲ [c] προπηλακιζόμενον ἀνέχεσθαι, καὶ τοὺς οἰκείους περιορᾶν, ἀνδραποδῶδες. Ἡ δ' ὑπερβολὴ κατὰ πάντα μὲν γίνεται· καὶ γὰρ οἷς οὐ δεῖ, καὶ ἐφ' οἷς οὐ δεῖ, καὶ μᾶλλον ἢ δεῖ, καὶ θᾶττον, καὶ πλείω χρόνον. Οὐ μὴν ἅπαντά γε τῷ αὐτῷ ὑπάρχει· οὐ γὰρ ἂν δύναιτο εἶναι· τὸ γὰρ κακὸν [d] καὶ αὐτὸ ἀπόλλυσι, κἂν ὁλόκληρον ᾖ, ἀφόρητον γίνεται. Οἱ μὲν οὖν ὀργίλοι, ταχέως μὲν ὀργίζονται, καὶ οἷς οὐ δεῖ, καὶ ἐφ' οἷς οὐ δεῖ, καὶ μᾶλλον ἢ δεῖ· παύονται δὲ ταχέως, ὃ καὶ βέλτιστον ἔχουσι. Συμβαίνει δὲ αὐτοῖς τοῦτο, ὅτι οὐ κατέχουσι τὴν ὀργὴν, ἀλλὰ ἀνταποδιδόασιν· ᾗ φανεροί εἰσι

[b] Μὴ ὀργιζόμενός τε οὐκ ἔστιν ἀμυντικὸς legisse videtur Argyr. Vir quidam doctus putat τε commutandum in δὲ, hoc modo, μὴ ὀργιζόμενος δὲ οὐκ εἶναι &c. id est, *cum autem minime irascatur, non facile ad propulsandam injuriam excitari.* Quæ sane lectio mihi videtur elegantior ac politior. *Lamb.* [c] Προπηλακιζόμενον manifestas et apertas injurias hic videtur intelligere, ut si quis luto aspergatur per contemptum, quod proprie Græci appellant προπηλακίζεσθαι. *Lamb.* [d] Γρ. καὶ καθ' ἑαυτό. Receptam lectionem confirmant nostri MSS. et Andr. τὸ γὰρ κακὸν, εἰ κατὰ μηδένα τρόπον ἀγαθὸν εἴη, οὐ δύναται συστῆναι, ἀλλὰ καὶ ἑαυτὸ ἀπόλλυσι.

causas, ob quas succensere debent, stulti videantur: tum ii, qui non quo modo, nec quo tempore, neque quibus debent: videtur enim hic prorsus sensu carere, neque unquam condolescere: cumque non irascatur, non facile ad propulsandam injuriam excitari: deinde vero aliorum in se et in suos contumelias perpeti ac negligere, mancipiorum est. Nimium autem in omnibus quidem peccandi modis contrahitur: nam et quibus, et propter quas causas irasci non debemus, et vehementius quam debemus, et citius et diutius quam oportet, irascimur. Non tamen hæc in uno insunt omnia: fieri enim non possit, ut insint: nam cum malum omne se ipsum perdat atque interimat, tum si integrum sit, intolerabile efficitur. Ὀργίλοι igitur sunt illi quidem irritabiles celeriterque irascuntur, et quibus, et propter quas causas non oportet, et vehementius quam oportet: sed iidem sunt placabiles, irascendique finem cito faciunt: quod quidem est in illis vel optimum. Atque hoc eis propterea accidit, quia iram non comprimunt neque cohibent, sed statim injuriam acceptam referunt (et hac ratione iram suam produnt) propter animi

διὰ τὴν ὀξύτητα· εἶτα ἀποπαύονται. Ὑπερβολῇ δ' εἰσὶν οἱ ἀκρόχολοι ὀξεῖς, καὶ πρὸς πᾶν ὀργίλοι, καὶ ἐπὶ παντί· ὅθεν καὶ τοὔνομα. Οἱ δὲ πικροὶ, δυσδιάλυτοι, καὶ πολὺν χρόνον ὀργίζονται· κατέχουσι γὰρ τὸν θυμόν· παῦλα δὲ γίνεται, ὅταν [e]ἀνταποδιδῷ· ἡ γὰρ τιμωρία παύει τῆς ὀργῆς, ἡδονὴν ἀντὶ τῆς λύπης ἐμποιοῦσα. Τούτου δὲ μὴ γινομένου, τὸ βάρος ἔχουσι· διὰ γὰρ τὸ μὴ ἐπιφανὲς εἶναι, οὐδὲ συμπείθει αὐτοὺς οὐδείς· [f]ἐν αὐτῷ δὲ πέψαι τὴν ὀργὴν, χρόνου δεῖ. Εἰσὶ δὲ οἱ τοιοῦτοι ἑαυτοῖς ὀχληρότατοι, καὶ τοῖς μάλιστα φίλοις. Χαλεποὺς δὲ λέγομεν, τοὺς ἐφ' οἷς τε μὴ δεῖ χαλεπαίνοντας, καὶ μᾶλλον ἢ δεῖ καὶ πλείω χρόνον, καὶ μὴ διαλλαττομένους ἄνευ τιμωρίας [g]ἢ κολάσεως. Τῇ πρᾳότητι δὲ μᾶλλον τὴν ὑπερβολὴν ἀντιτίθεμεν· καὶ γὰρ μᾶλλον γίνεται· ἀνθρωπικώτερον γὰρ τὸ [h]μᾶλλον τιμωρεῖσθαι. Καὶ πρὸς τὸ συμβιοῦν οἱ χαλεποὶ,

[e] Γρ. ἀνταποδιδῶσιν. [f] Ὅθεν καὶ κατέχουσιν αὐτὴν, μέχρις ἂν αὐτὴ ὑφ' ἑαυτῆς διαλυθῇ, καὶ πεφθῇ· τοῦτο δὲ διὰ χρόνου γίνεται. Andr. [g] Γρ. ἢ καὶ κολ. Καὶ pro ἢ habet El. [h] Μᾶλλον deest El. et Argyr.

concitati celeritatem: deinde irasci desinunt. Ἀκρόχολοι autem supra modum sunt celeres, et ad omnia, et omnibus de causis iracundia exardescunt: unde et nomen natum est. At πικροὶ, sive amari, propemodum sunt implacabiles, diuque in iracundia perseverant: iram enim continent et comprimunt: quæ tum quiescit, cum injuriam ulti fuerint: ultio enim iram sedat, doloris loco voluptatem afferens. Quod si assequi non possint, gravi onere premuntur: jam quia onus eorum non est aliis notum, nemo eis, ut se placabiles præbeant, persuadet: ad iram autem in se ipso concoquendam tempore opus est. Est quinetiam hoc hominum genus cum sibi ipsi molestissimum, tum amicissimis. Χαλεποὺς autem, hoc est, sævos et asperos, eos appellamus, qui et propter quas causas non debent, et gravius, et diutius, quam debent, irascuntur, et qui nunquam placantur, nisi injuriam ulti sint, vel etiam eos, quibus irati sunt, castigarint. Lenitati autem magis opponimus nimium, quam parum: frequentius enim est: quandoquidem hominibus usitatius et solennius est injuriam ulcisci. Præterea sævi et asperi homines, ad convictum, vitæque consuetudinem minus accommodati sunt. Sed quod

χείρους. [1]Ὃ δὲ καὶ ἐν τοῖς πρότερον εἴρηται, καὶ ἐκ τῶν λεγομένων δῆλον· οὐ γὰρ ῥᾴδιον διορίσαι τὸ πῶς, καὶ τίσι, καὶ ἐπὶ ποίοις, καὶ πόσον χρόνον ὀργιστέον, καὶ μέχρι τίνος ὀρθῶς ποιεῖ τις, ἢ ἁμαρτάνει. Ὁ μὲν γὰρ μικρὸν παρεκβαίνων, οὐ ψέγεται, οὔτ' ἐπὶ τὸ μᾶλλον, οὔτ' ἐπὶ τὸ ἧττον· ἐνίοτε γὰρ τοὺς ἐλλείποντας ἐπαινοῦμεν, καὶ πρᾴους φαμέν· καὶ τοὺς χαλεπαίνοντας ἀνδρώδεις, ὡς δυναμένους ἄρχειν. Ὁ δὴ πόσον καὶ πῶς παρεκβαίνων, ψεκτὸς, οὐ ῥᾴδιον τῷ λόγῳ ἀποδοῦναι· ἐν γὰρ τοῖς καθ' ἕκαστα καὶ τῇ αἰσθήσει ἡ κρίσις. Ἀλλὰ τό γε [i]τοσοῦτον δῆλον, ὅτι ἡ μὲν μέση ἕξις ἐπαινετὴ, καθ' ἣν οἷς δεῖ ὀργιζόμεθα, καὶ ἐφ' οἷς δεῖ, καὶ ὡς δεῖ, καὶ πάντα τὰ τοιαῦτα· αἱ δὲ ὑπερβολαὶ καὶ ἐλλείψεις, ψεκταί· καὶ ἐπὶ μικρὸν μὲν γινόμεναι, ἠρέμα, ἐπὶ πλέον δὲ, μᾶλλον, ἐπὶ πολὺ δὲ, σφόδρα. Δῆλον οὖν ὅτι τῆς μέσης ἕξεως ἀνθεκτέον. Αἱ μὲν οὖν περὶ τὴν ὀργὴν ἕξεις εἰρήσθωσαν.

[1] Lib. ii. cap. ult.   [i] Ita El. et Aurel. τοιοῦτον vulgo scribitur.

etiam supra dictum est, ex iis quoque, quæ nunc dicimus, intelligi potest, non esse facile oratione distinguere, quomodo, et quibus hominibus, et quibus de causis, et quamdiu sit irascendum, et quousque quis in iracundia perseverans recte faciat, aut peccet. Qui enim paulum quiddam a modo sive in nimium, sive in id, quod est parum, digreditur, non vituperatur: interdum enim eos, qui modum deserunt, laudamus, mansuetosque ac lenes appellamus; interdum, eos qui graviter irascuntur, esse animo virili dicimus, tanquam ad imperandum idoneos. Quam longe igitur, et quomodo a modo deflectens aliquis sit vituperabilis, non est facile verbis definire: in rebus enim singularibus, et sensu, judicium hujus rei situm est. Sed illud certe perspicuum est, medium habitum esse laudabilem, per quem, et quibus, et propter quas causas, et quomodo oportet, irascimur, cæteraque id genus omnia; nimium autem et parum, vituperabilia: quæ si non longe absunt a medio, leviter: si longius, graviter: si longissime, gravissime sunt vituperanda. Perspicuum igitur est, medium habitum diligenter esse retinendum. Atque ii animi habitus, qui in ira versantur, hactenus sint a nobis explicati.

ΚΕΦ. ϛ'.

ΕΝ δὲ ταῖς ὁμιλίαις καὶ τῷ συζῆν, καὶ λόγων καὶ πραγμάτων κοινωνεῖν, οἱ μὲν ἄρεσκοι δοκοῦσιν εἶναι· οἱ πάντα πρὸς ἡδονὴν ἐπαινοῦντες, καὶ οὐθὲν ἀντιτείνοντες, ἀλλὰ [k] δὴ οἰόμενοι δεῖν ἄλυποι τοῖς ἐντυγχάνουσιν εἶναι· οἱ δ' ἐξεναντίας τούτοις πρὸς πάντα [l] ἀντιτυποῦντες, καὶ τοῦ λυπεῖν οὐδ' ὁ, τιοῦν φροντίζοντες, δύσκολοι καὶ δυσέριδες καλοῦνται. Ὅτι μὲν οὖν αἱ εἰρημέναι ἕξεις ψεκταί εἰσιν, οὐκ ἄδηλον· καὶ ὅτι ἡ μέση τούτων ἐπαινετὴ, καθ' ἣν ἀποδέξεται ἃ δεῖ, καὶ ὡς δεῖ, ὁμοίως δὲ καὶ δυσχερανεῖ. Ὄνομα δὲ οὐκ ἀποδέδοται αὐτῇ τι· ἔοικε δὲ μάλιστα φιλίᾳ· τοιοῦτος γάρ ἐστιν ὁ κατὰ τὴν μέσην ἕξιν, οἷον βουλόμεθα λέγειν [m] τὸν ἐπιεικῆ φίλον, τὸ στέργειν προσλαβόντα. Διαφέρει δὲ τῆς φιλίας, ὅτι ἄνευ πάθους ἐστὶ καὶ τοῦ στέργειν, οἷς ὁμιλεῖ· [n] οὔτε γὰρ τῷ φιλεῖν ἢ ἐχθραίνειν ἀποδέχεται ἕκαστα ὡς δεῖ· ἀλλὰ τῷ τοιοῦτος εἶναι· ὁμοίως γὰρ

[k] Δὴ abest ab El. et C C C. [l] Ἀντιτείνοντες pro ἀντιτυποῦντες El. C C C. Ven. 1. 2. et Bas. [m] Γρ. τὸν ἐπιεικῆ καὶ φίλον. [n] Γρ. οὐ γὰρ pro οὔτε γάρ.

CAP. VI.

IN congressu autem hominum et vitæ quotidianæ consuetudine, denique in sermonum ac factorum communicatione, alii blandi, seu placendi studiosi videntur esse; qui ut sint voluptati, laudant omnia, nullaque in re adversantur, sed putant se eos, quibuscum quotidie congrediuntur, nullo modo offendere oportere: alii contra, qui in omni re adversantur, neque magnopere laborant ne quem offendant, appellantur morosi, et in contentionibus pugnaces ac pervicaces. Hi igitur (quos diximus) animi habitus, nimirum sunt vituperabiles, horumque medius laudabilis, quo vir bonus ea omnia, quæ probanda, et ut probanda sunt, probabit, offendeturque contrariis. Nomen autem ei nullum impositum est: sed ad amicitiæ similitudinem proxime videtur accedere: nam qui hoc medio animi habitu præditus est, ejusmodi est, cujusmodi hominem commodum et bonum amicum significamus, cum amandi affectum assumpserit. Eo autem differt ab amicitia, quod animi motu, amorisque affectu in eos, quibuscum versatur, caret: non enim eo quod vel amet, vel oderit, unumquidque, ut oportet, approbat:

πρὸς ἀγνῶτας καὶ γνωρίμους, καὶ συνήθεις καὶ ἀσυνήθεις αὐτὰ ποιήσει, πλὴν καὶ ἐν ἑκάστοις ὡς ἁρμόζει· οὐ γὰρ ὁμοίως προσήκει συνήθων καὶ ὀθνείων φροντίζειν, οὐδ' αὖ λυπεῖν. Καθόλου μὲν [o] οὖν εἴρηται, ὅτι ὡς δεῖ ὁμιλήσει· ἀναφέρων δὲ πρὸς τὸ καλὸν καὶ τὸ συμφέρον, στοχάσεται τοῦ μὴ λυπεῖν, ἢ συνηδύνειν. Ἔοικε μὲν γὰρ περὶ ἡδονὰς καὶ λύπας εἶναι τὰς ἐν ταῖς ὁμιλίαις γινομένας· [p] τούτων δ' ὅσας μὲν αὐτῷ ἐστι μὴ καλὸν ἢ βλαβερὸν συνηδύνειν, δυσχερανεῖ, καὶ προαιρήσεται λυπεῖν. Κἂν τῷ ποιοῦντι δὲ ἀσχημοσύνην φέρῃ, καὶ ταύτην μὴ μικράν, ἢ βλάβην· ἡ δ' ἐναντίωσις μικρὰν λύπην, οὐκ ἀποδέξεται, ἀλλὰ δυσχερανεῖ. Διαφερόντως δ' ὁμιλήσει τοῖς ἐν ἀξιώμασι, καὶ τοῖς τυχοῦσι, καὶ μᾶλλον ἢ ἧττον γνωρίμοις· ὁμοίως δὲ καὶ

[o] Οὖν abest a nostris MSS.

[p] Ὅσαι μὲν ἡδοναὶ οὐ πρὸς τὸ ἀγαθὸν ἀποβλέπουσιν, ταύτας οὐ συνησθήσεται τοῖς ἐντυγχάνουσιν, ἀλλὰ μᾶλλον ἡδομένοις δυσχερανεῖ· καὶ προαιρήσεται λυπηρὸς ὀφθῆναι μᾶλλον, ἢ ἡδὺς τοῦ ἀγαθοῦ ἕνεκα· μάλιστα ἂν ἡ ἡδονὴ αἰσχύνην φέρῃ καὶ βλάβην τῷ ποιοῦντι μεγάλην. Τότε γὰρ αἱρήσεται μᾶλλον λυπῆσαι, καὶ αἰσχῦναι μικρόν, καὶ τῆς μείζονος ἀπαλλάξαι λύπης καὶ αἰσχύνης, ἢ μικρὸν εὐφράναντα διὰ τοῦ συνησθῆναι, τῇ μείζονι λύπῃ περιβαλεῖν. Andr.

sed quia eo ingenio est, idque instituendæ vitæ consilium cepit: æque enim hanc facilitatem erga notos atque ignotos, æque erga eos, quorum consuetudine utitur, atque eos, quibuscum nulla consuetudine conjunctus est, adhibebit; sed ita, ut cuique conveniet: non enim æque convenit homines consuetudine et familiaritate conjunctos, atque alienos, vereri, et observare: neque rursus offendere. Universe igitur jam dictum est, eum cum hominibus ita, ut debet, versaturum et communicaturum sed tamen ad honestum et utile suas actiones referens, hunc sibi scopum propositum habebit, ne quem offendat, aut ut delectet potius. In iis enim voluptatibus, ac molestiis versari videtur, quæ ex sermonibus et cœtibus hominum capiuntur: quando autem non nisi cum turpitudine aut etiam cum damno delectare potest, eam obsecundationem improbabit ac respuet, multoque malet offendere. Quod si quid erit, quod ei, qui faciat, dedecori sit, aut damno non parvo: adversando autem, levi illum molestia afficiat: factum illud turpe aut damnosum non probabit, sed improbabit potius, ac moleste feret. Aliter autem cum iis communicabit et loquetur, qui dignitate aliqua præditi sunt, aliter cum infimis, et forte fortuna oblatis ho-

κατὰ τὰς ἄλλας διαφορὰς, ἑκάστοις ἀπονέμων τὸ πρέπον. Καὶ καθ' αὑτὸ μὲν αἱρούμενος τὸ συνηδύνειν, λυπεῖν δὲ εὐλαβούμενος· τοῖς δὲ ἀποβαίνουσιν, ἐὰν ᾖ μείζω, συνεπόμενος, λέγω δὲ τῷ καλῷ καὶ τῷ συμφέροντι· καὶ ἡδονῆς δὲ ἕνεκα τῆς εἰσαῦθις μεγάλης, μικρὰ λυπήσει. Ὁ μὲν οὖν μέσος, τοιοῦτός ἐστιν· οὐκ ὠνόμασται δέ. Τοῦ δὲ συνηδύνοντος, ὁ μὲν τοῦ ἡδὺς εἶναι στοχαζόμενος, μὴ διά τι ἄλλο, ἄρεσκος· ὁ δ' ὅπως ὠφέλειά τις αὐτῷ γίγνηται εἰς χρήματα, καὶ ὅσα διὰ χρημάτων, κόλαξ. Ὁ δὲ πᾶσι δυσχεραίνων, εἴρηται ὅτι δύσκολος καὶ δύσερις. Ἀντικεῖσθαι δὲ φαίνεται τὰ ἄκρα [q] ἑαυτοῖς, διὰ τὸ ἀνώνυμον εἶναι τὸ μέσον.

ΚΕΦ. ζ'.

[s] ΠΕΡΙ τὰ αὐτὰ δὲ σχεδόν ἐστι καὶ ἡ τῆς ἀλαζονείας μεσότης· [r] ἀνώνυμος δὲ καὶ αὕτη. Οὐ χεῖρον δὲ καὶ τὰς

[q] Οὐ τῷ μέσῳ, *non medio*. Andr. [s] Magn. Moral. lib. i. cap. 3. et Eud. lib. iii. cap. 7. [r] Eam vero in lib. ii. cap. 7. ἀλήθειαν vocavit, et eo habitu præditum, ἀληθῆ. Id forsan eo loci perspicuitatis causa fecit: ibi enim dicit, πειρατέον ὀνοματοποιεῖν σαφηνείας ἕνεκα· hic vero non nisi receptis verbis utitur. *Zwing.*

minibus: aliter cum notioribus, aliter cum minus notis: similiterque in aliis dissimilitudinibus suum cuique tribuet decorum. Ac delectationem quidem per se sequetur atque eliget, offensionem vero vitabit: iis autem quæ sunt eventura, si majora sint, adhærescet, honesto, inquam, et utili: denique magnæ in posterum voluptatis causa leviter offendet. Talis igitur medius est, quamvis non nominatus. Eorum autem, qui delectant, is, qui nihil aliud sibi proponit, quod assequi velit, quam ut sit jucundus, blandus et placendi studiosus appellatur: qui vero id facit, ut aliquam ex eo utilitatem capiat, quæ vel in pecunia, vel in iis rebus quæ pecunia æstimantur, positæ sunt, assentator. At eum, qui omnibus offenditur, morosum et in contentionibus pugnacem diximus appellari. Pugnare autem idcirco inter se videntur extrema, quia mediocritati nomen impositum non est.

CAP. VII.

IN iisdem autem fere arrogantiæ quoque mediocritas vertitur: hæc vero etiam nomine vacat. Non erit autem incommodum tales quoque

τοιαύτας ἐπελθεῖν· μᾶλλόν τε γὰρ ἂν εἰδείημεν τὰ περὶ τὸ ἦθος, καθ' ἕκαστον διελθόντες· καὶ μεσότητας εἶναι τὰς ἀρετὰς πιστεύσαιμεν ἄν, ἐπὶ πάντων οὕτως ἔχον [s] συνιδόντες. Ἐν δὴ τῷ συζῆν οἱ μὲν πρὸς ἡδονὴν καὶ λύπην ὁμιλοῦντες εἴρηνται. Περὶ δὲ τῶν ἀληθευόντων τε καὶ ψευδομένων εἴπωμεν, ὁμοίως ἐν λόγοις καὶ πράξεσι καὶ τῷ προσποιήματι. Δοκεῖ [t] δὴ ὁ μὲν ἀλαζὼν, προσποιητικὸς τῶν ἐνδόξων εἶναι, καὶ μὴ ὑπαρχόντων, καὶ μειζόνων ἢ ὑπάρχει· ὁ δὲ εἴρων ἀνάπαλιν, ἀρνεῖσθαι τὰ ὑπάρχοντα, ἢ ἐλάττω ποιεῖν· ὁ δὲ μέσος αὐθέκαστός τις ὢν, ἀληθευτικὸς καὶ τῷ βίῳ, καὶ τῷ λόγῳ, τὰ ὑπάρχοντα ὁμολογῶν εἶναι περὶ αὑτὸν, καὶ οὔτε μείζω, οὔτε ἐλάττω. Ἔστι δὲ τούτων ἕκαστα, καὶ ἕνεκά τινος ποιεῖν καὶ μηθενός. Ἕκαστος δὲ οἷός ἐστι, τοιαῦτα λέγει καὶ πράττει, καὶ οὕτω ζῇ, ἐὰν μή τινος ἕνεκα πράττῃ. Καθ' αὑτὸ δὲ τὸ μὲν ψεῦδος, φαῦλον καὶ ψεκτόν· τὸ δὲ ἀληθὲς, καλὸν καὶ ἐπαινετόν· οὕτω δὲ

[s] Συνειδότες El. [t] Γρ. δέ.

habitus persequi: nam et planius ea, quæ ad mores pertinent, cognoscemus singulis explicatis: et virtutes mediocritates esse magis erit nobis persuasum ac probatum, cum ita esse in omnibus perspexerimus. De iis igitur, qui in convictu vitæque societate voluptatem et offensionem eorum, quibuscum versantur, spectant, dictum est. Nunc de iis qui veritatem colunt, aut mentiuntur, idque verbis pariter ac factis, et simulatione, pauca dicenda sunt. Videtur igitur gloriosus seu arrogans res sibi gloriosas vendicare solere, quæ non insunt, quæque sunt iis, quæ insunt, majores: dissimulator contra vel ea, quæ insunt, negare, vel minora fingere atque extenuare: medius vero cum singulis in rebus sui juris atque arbitrii sit, vita et oratione verax esse: qui ea, quæ habet, in se inesse confitetur, neque ea verbis auget, neque extenuat. Nihil autem obstat, quominus quis hæc singula et alicujus, et nullius rei causa faciat. Qualis vero quisque est, talis ejus et actio et oratio est, talis denique et vita; nisi rei alicujus agat et loquatur gratia. Per se autem mendacium quidem, malum, et vituperabile est; verum autem, et honestum et laudabile: ita et verax cum sit medius, laudabilis est: at qui

καὶ ὁ μὲν ἀληθευτικὸς, μέσος ὢν, ἐπαινετός· οἱ δὲ ψευδόμενοι, ἀμφότεροι μὲν ψεκτοί· μᾶλλον δ' ὁ ἀλαζών. Περὶ ἑκατέρου δ' εἴπωμεν· πρότερον δὲ περὶ τοῦ ἀληθευτικοῦ· οὐ γὰρ περὶ τοῦ [u] ἐν ταῖς ὁμολογίαις ἀληθεύοντος λέγομεν, οὐδ' ὅσα εἰς ἀδικίαν ἢ δικαιοσύνην συντείνει· ἄλλης γὰρ ἂν εἴη ταῦτ' ἀρετῆς· [x] ἀλλ' ὃς ἂν, μηθενὸς τοιούτου διαφέροντος, καὶ ἐν λόγῳ καὶ ἐν βίῳ ἀληθεύῃ, τῷ τὴν ἕξιν τοιοῦτος εἶναι. Δόξειε δ' ἂν ὁ τοιοῦτος ἐπιεικὴς εἶναι· ὁ γὰρ φιλαλήθης, καὶ ἐν οἷς μὴ διαφέρει ἀληθεύων, ἀληθεύσει καὶ ἐν οἷς διαφέρει ἔτι μᾶλλον· ὡς γὰρ αἰσχρὸν, τὸ ψεῦδος εὐλαβήσεται, ὅγε καὶ καθ' αὑτὸ ηὐλαβεῖτο· ὁ δὲ τοιοῦτος ἐπαινετός. [y] Ἐπὶ τὸ ἔλαττον δὲ μᾶλλον τοῦ ἀληθοῦς [z] ἀποκλίνει· ἐμμελέστερον γὰρ φαίνεται, διὰ τὸ ἐπαχθεῖς τὰς ὑπερβολὰς εἶναι. Ὁ δὲ μείζω τῶν ὑπαρχόντων προσποιούμενος μηθενὸς ἕνεκα, φαύλῳ μὲν ἔοικεν· οὐ γὰρ ἂν ἔχαιρε τῷ ψεύδει· μάταιος δὲ φαίνεται μᾶλ-

[u] Ἐν ταῖς συμφωνίαις, *in pactis* aut *conventibus*. Andr. [x] Ἀλλ' ἐν οἷς μηθ. El. Vet. Interp. et Bas. [y] Ὅς εἰ δεήσει παρεκκλῖναι τοῦ μέσου, πρὸς τὴν ἔλλειψιν, οὐ πρὸς τὴν ὑπερβολὴν νεύσει. *Et ita quidem, ut si recedendum fuerit a medio, ad defectum potius quam ad excessum abiturus est.* Andr. [z] Γρ. ἀποκλινεῖ.

mentiuntur, ambo sunt illi quidem vituperandi; sed magis arrogans. De utroque autem dicamus, ac primum de veraci: non enim de eo loquimur, qui in pactis conventis, neque de eo, qui in rebus, quæ ad injustitiam, justitiamve pertinent, verus est, (alius enim hæc sunt fortasse virtutis) sed de eo, qui, quibus in rebus nihil refert, utrum sit ejusmodi, necne, tum in oratione, tum in vita, veritatem colit et sequitur, eo ipso quod tali animi habitu sit præditus. Talis autem qui est, vir bonus non immerito videri possit: nam qui veritatem amat, veraque loquitur quibus in rebus id facere nihil attinet, is multo magis in iis vere loquetur, in quibus magnopere referet: mendacium enim ut turpe fugiet ac vitabit, quod jam etiam per se suapteque natura fugiebat: at talis vir laudabilis est. Ad extenuandam autem rerum veritatem propensior est: concinnius enim hoc esse videtur: quoniam omne nimium, grave et odiosum est. Qui vero majora sibi, quam quæ insunt, tribuit ac vendicat, nullius rei causa; est ille quidem improbo similis (non enim mendacio delectaretur) verunta-

λον ἢ κακός. Εἰ δ' ἕνεκά τινος, ὁ μὲν δόξης ἢ τιμῆς, οὐ λίαν ψεκτὸς, ὡς ὁ ἀλαζών· ὁ δὲ ἀργυρίου, ἢ ὅσα εἰς ἀργύριον, ἀσχημονέστερος. [a]Οὐκ ἐν τῇ δυνάμει δ' ἐστὶν ὁ ἀλαζὼν, ἀλλ' ἐν τῇ προαιρέσει· κατὰ τὴν ἕξιν γὰρ, καὶ τῷ τοιόσδε εἶναι, ἀλαζών ἐστιν, ὥσπερ καὶ ψεύστης· ὁ μὲν τῷ ψεύδει αὐτῷ χαίρων, ὁ δὲ δόξης ὀρεγόμενος ἢ κέρδους. Οἱ μὲν οὖν δόξης χάριν ἀλαζονευόμενοι, τὰ τοιαῦτα προσποιοῦνται, ἐφ' οἷς ἔπαινος ἢ εὐδαιμονισμός· οἱ δὲ κέρδους, [b]ὧν ἀπόλαυσίς ἐστι τοῖς πέλας, καὶ ἃ διαλαθεῖν ἐστι μὴ ὄντα, [c]οἷον ἰατρὸν ἢ μάντιν σοφόν. Διὰ τοῦτο οἱ πλεῖστοι προσποιοῦνται τὰ τοιαῦτα, καὶ ἀλαζονεύονται· ἔστι γὰρ ἐν αὐτοῖς τὰ εἰρημένα. Οἱ δ' εἴρωνες

[a] Non intelligitur is esse gloriosus, qui eam vim ac facultatem habet, ut possit sibi, quæ non habeat, arrogare: sed qui suum consilium eo contulit, ut sibi ea arroget, quæ non habet. Eadem fere habet Aristot. lib. i. Rhet. ὁ γὰρ σοφιστικὸς οὐκ ἐν τῇ δυνάμει, ἀλλ' ἐν τῇ προαιρέσει. [b] Ὧν καὶ ἀπ. C C C. et N C. ὧν ἡδεῖα καὶ ἀπ. El. [c] Οἷον ἰατρὸν, ἢ μάντιν, ἢ σοφὸν El. et Vet. Interp. quæ lectio haud mala est: οἱ σοφοὶ *Sophistæ*, enim olim erant sapientes doctique viri: sed postea improbitate et avaritia hominum factum est, ut nomen σοφοῦ odiosissimum fieret, et illis tantum conveniret, qui sub eruditionis specie quæstum facerent, et imperitis adolescentibus imponerent, vanis pollicitationibus, et mendacibus promissis eorum animos alliciendo. Vide Victor.

men levis hominis potius ac nugatoris, quam mali similitudinem gerere videtur. Quod si alicujus rei gratia faciat, is, qui gloriæ vel honoris causa facit, non est valde vituperandus, ut arrogans: at qui pecuniæ, aut aliarum rerum, quæ pecuniæ loco sunt, multo turpior est. Non autem vi ac potestate, sed consilio et instituta ratione vitæ, intelligitur arrogans: ex habitu enim, et eo quia talis sit, arrogans est; quomodo et mendax: alius enim mendacio ipso delectatur; alius vero gloriæ quæstusve causa sibi plus, quam par est, sumit atque arrogat. Atque ii quidem, qui cupiditate gloriæ incensi sibi plus æquo tribuunt, ea sibi vendicant, propter quæ homines vel laudari, vel beati prædicari solent: qui autem quæstus causa id faciunt, ea sibi sumunt, quæ aliis fructum ac voluptatem afferunt, et in quibus tenebras aliis licet offundere, ne videre possint, eum non esse talem, qualem se esse profiteatur: verbi gratia, medicum, aut vatem, aut sophistam. Atque ob hanc causam complures talia in se inesse simulant, taliaque sibi arrogant: in eis enim ea reperiuntur, quæ a nobis dicta sunt. Dissimulatores autem, qui sua omnia verbis elevant,

ἐπὶ τὸ ἔλαττον λέγοντες, χαριέστεροι μὲν τὰ ἤθη φαίνονται· οὐ γὰρ κέρδους ἕνεκα δοκοῦσι λέγειν, ἀλλὰ φεύγοντες τὸ [d] ὀγκηρόν. Μάλιστα δὲ καὶ οὗτοι τὰ ἔνδοξα ἀπαρνοῦνται· [1] οἷον καὶ Σωκράτης ἐποίει. Οἱ δὲ καὶ τὰ μικρὰ καὶ τὰ φανερὰ προσποιούμενοι, [e] βαυκοπανοῦργοι λέγονται, καὶ εὐκαταφρόνητοί εἰσι. Καὶ ἐνίοτε ἀλαζονεία, φαίνεται, οἷον ἡ τῶν [f] Λακώνων ἐσθής· καὶ γὰρ ἡ ὑπερβολὴ καὶ ἡ λίαν ἔλλειψις, ἀλαζονικόν. Οἱ δὲ μετρίως χρώμενοι τῇ εἰρωνείᾳ, καὶ περὶ τὰ μὴ λίαν ἐμποδὼν καὶ φανερὰ εἰρωνευόμενοι, χαρίεντες φαίνονται. Ἀντικεῖσθαι δ' ὁ ἀλαζὼν φαίνεται τῷ ἀληθευτικῷ· χείρων γάρ.

ΚΕΦ. η΄.

ΟΥΣΗΣ δὲ καὶ ἀναπαύσεως ἐν τῷ βίῳ, καὶ ἐν ταύτῃ διαγωγῆς μετὰ παιδιᾶς, δοκεῖ καὶ ἐνταῦθα εἶναι ὁμιλία

[d] Ὀχληρὸν C C C. et El. ὀγκηρὸν vero ad oram. [1] Vide Quintil. lib. ix. cap. 2. et Plat. Dial. [e] Βλακοπανοῦργοι C C C. et Vet. Interp. [f] Lacedæmonii, ut testatur Xenophon in lib. de Rep. Laced. vestibus utebantur vilissimis, quæ vix genua tegebant, ut frugalitatis laudem aucuparentur. Vide Ælian. Var. Hist. lib. ix.

moribus videntur illi quidem esse politioribus: non enim lucri causa ita loqui videntur, sed quod elationem animi jactationemque fugiant. Maxime autem etiam hi gloriosa omnia de se negant: quod faciebat et Socrates. Qui vero res parvas, et in promptu positas dissimulant, versuti seu delicati veteratores appellantur, suntque hi abjecti et contempti homines. Atque adeo interdum hoc vitium arrogantiæ similitudinem gerit, qualis est Lacedæmoniorum vestitus: nam sibi et nimium assumere, et parum admodum tribuere, de seque omnia detrahere, arrogantis est. Qui vero intra modum dissimulatione utuntur, eaque dissimulant, quæ non admodum nota, neque in promptu sunt posita, ii politi homines videntur. Arrogans autem potius quam dissimulator, veraci videtur opponi: deterior enim est.

CAP. VIII.

SED cum sit in vita suus etiam requieti locus, atque in hac temporis aliquid cum ludo et joco ponere liceat: hic quoque videtur conversatio

τις ἐμμελὴς, καὶ οἷα δεῖ λέγειν, καὶ ὥς· ὁμοίως δὲ καὶ ἀκούειν. Διοίσει δὲ καὶ τῷ ἐν τοιούτοις λέγειν, ἢ τοιούτων ἀκούειν. Δῆλον δ' ὡς καὶ περὶ ταῦτά ἐστιν ὑπερβολή τε καὶ ἔλλειψις τοῦ μέσου. Οἱ μὲν οὖν τῷ γελοίῳ ὑπερβάλλοντες, βωμολόχοι δοκοῦσιν εἶναι καὶ φορτικοὶ, γλιχόμενοι πάντως τοῦ γελοίου, καὶ μᾶλλον στοχαζόμενοι τοῦ γέλωτα ποιῆσαι, ἢ τοῦ λέγειν εὐσχήμονα, καὶ μὴ λυπεῖν τὸν σκωπτόμενον. Οἱ δὲ μήτ' αὐτοὶ ἂν εἰπόντες μηθὲν γελοῖον, τοῖς τε λέγουσι δυσχεραίνοντες, ἄγριοι καὶ σκληροὶ δοκοῦσιν εἶναι. Οἱ δὲ ἐμμελῶς παίζοντες, εὐτράπελοι προσαγορεύονται, οἷον εὔτροποι· τοῦ γὰρ ἤθους αἱ τοιαῦται δοκοῦσι κινήσεις εἶναι· [g] ὥσπερ δὲ τὰ σώματα ἐκ τῶν κινήσεων κρίνεται, οὕτω καὶ τὰ ἤθη. Ἐπιπολάζοντος δὲ τοῦ γελοίου, καὶ τῶν πλείστων χαιρόντων τῇ παιδιᾷ, καὶ τῷ σκώπτειν

[g] Ὥσπερ γὰρ αἱ κινήσεις τὰ σώματα χαρακτηρίζουσιν, οἷον πῦρ μὲν ἡ εἰς τὸ ἄνω κίνησις, καὶ πᾶν κοῦφον, βαρὺ δὲ ἡ εἰς τὸ μέσον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· οὕτω καὶ ἀπὸ τῶν ἔξω καὶ φαινομένων τοῦ ἀνθρώπου κινήσεων, αἱ ἕξεις τῆς ψυχῆς φαίνονται καὶ τὰ ἤθη. *Sicut enim corpora distinguunt sui motus: ut exempli gratia, ignem, et quicquid leve est, motus qui in altum fertur, grave contra motus qui ad medium, eodemque modo in aliis: ita ex exterioribus et quæ in oculos incurrunt hominum motibus habitus quoque apparent animæ, et mores.* Andr.

quædam apta et concinna consistere: ut, cum talia dicantur, qualia, et quemadmodum dici debent, tum etiam audiantur. Intererit autem etiam inter quales quis loquatur, qualesve loquentes audiat. Jam vero perspicuum est, in his et nimium esse et parum: quorum utrumque abest a medio. Atque ii quidem, qui risu movendo ultra modum prodeunt, scurræ videntur esse, et ridiculi contemptique homines, qui ridiculorum singulari cupiditate ac desiderio affecti sunt, magisque sibi hunc scopum propositum habent, ut risum moveant, quam ut honesta ac decora loquantur, nec ejus, in quem salse dicunt, animum offendant. Qui autem nec ipsi quicquam ridicule salseque dicere queunt, et iis, qui dicunt, infensi sunt, agrestes et insulsi homines habendi sunt. At qui concinne et lepide salibus et jocis utuntur, εὐτράπελοι, faceti aut urbani, nominantur, quasi εὔτροποι, flexibili ac versatili ingenio præditi: ingenii enim et morum tales motus videntur esse: quemadmodum autem corpora ex motibus judicantur, ita et mores. Jam vero cum sales et ridicula increbruerint, compluresque jocis, et salse dictis magis, quam par sit, delectentur: fit ut

μᾶλλον ἢ δεῖ· καὶ οἱ βωμολόχοι εὐτράπελοι προσαγορεύονται, ὡς χαρίεντες· ὅτι δὲ διαφέρουσι, καὶ οὐ μικρὸν, ἐκ τῶν εἰρημένων δῆλον. Τῇ μέσῃ δ' ἕξει οἰκεῖον καὶ ἡ ἐπιδεξιότης ἐστί. Τοῦ δ' ἐπιδεξίου ἐστὶ τοιαῦτα λέγειν καὶ ἀκούειν, οἷα τῷ ἐπιεικεῖ καὶ ἐλευθέρῳ ἁρμόττει· ἔστι γάρ τινα πρέποντα τῷ τοιούτῳ λέγειν ἐν παιδιᾶς μέρει, καὶ ἀκούειν. Καὶ ἡ τοῦ ἐλευθέρου παιδιὰ διαφέρει τῆς τοῦ ἀνδραποδώδους, καὶ αὖ τοῦ πεπαιδευμένου καὶ ἀπαιδεύτου. [h] Ἴδοι δ' ἄν τις καὶ ἐκ τῶν κωμῳδιῶν τῶν παλαιῶν καὶ τῶν καινῶν· τοῖς μὲν γὰρ ἦν γελοῖον ἡ αἰσχρολογία· τοῖς δὲ μᾶλλον ἡ [i] ὑπόνοια· διαφέρει δ' οὐ μικρὸν ταῦτα πρὸς εὐσχημοσύνην. Πότερον οὖν τὸν εὖ σκώπτοντα ὁριστέον τῷ λέγειν ἃ πρέπει ἐλευθέρῳ; ἢ τῷ μὴ λυπεῖν τὸν ἀκούοντα, ἢ καὶ τέρπειν; ἢ καὶ τόγε τοιοῦτον, ἀόριστον; ἄλλο

[h] Andronicus hoc exemplum sic explicat: Τοῦτο δὲ ἀπὸ τῶν κωμῳδιῶν γίνεται δῆλον, τῶν τε παλαιῶν καὶ τῶν νέων· ἐν γὰρ ταῖς κωμῳδίαις οἱ μὲν φαύλους τινὰς καὶ ἀνδραποδώδεις ὑποκρινόμενοι, γελοῖα καὶ ἡδέα ἡγοῦνται τὰ αἰσχρά· οἱ δὲ ἐλευθερίους τινὰς, καὶ ἐπιδεξίους, καὶ ἐπιεικεῖς ὑποκρινόμενοι, τὰ μεθ' ὑπονοίας. *Quod vel ex comœdiis apparet, tum antiquis tum novis: in iis enim qui plebeias repræsentant personas et illiberales, ridicula putant et jucunda quæ obscœna sunt: qui contra ingenuos dexterosque homines et probos, quæ suspicionem movent tantum.* Veteris comœdiæ *αἰσχρολογία*, et novæ *ὑπόνοια* haud ineleganter depinguntur ab Horatio in Sat. 4. lib. i. et Art. Poet. Vide Erasm. in Chiliad. et Scal. lib. i. Poet. cap. 7.

[i] Ὑπόνοια ab antiquis scriptoribus vocabatur, quæ ab inferiore ætate nominata est ἀλληγορία.

scurræ, faceti appellentur, tanquam humanitate politi homines: sed ex iis, quæ diximus, multum inter eos interesse perspicuum est. Medio autem habitui etiam ea, quæ dexteritas appellatur, accommodata est. Dexteri porro hominis est ea et dicere, et audire, quæ viro bono ac libero conveniunt: sunt enim quædam, quæ talem virum joco deceat et dicere et audire. Magnum quoque inter ingenuo dignum, et servilem jocum, intervallum interjectum est; magnum inter eruditi jocum, et ineruditi. Quod quidem ex veteribus et novis comœdiis cuivis intelligere licet: illis enim ridicula res erat verborum obscœnitas: his sententia potius verbis tecta: inter hæc autem ad speciem honestam ac decoram multum interest. Utrum igitur is, qui bene in alterum dicta salsa dicit, ex eo definiendus est, quod ea dicat, quæ liberum decent? an quod eum, qui audit, non offendat, aut etiam delectet? an vero hoc quoque incertum, nec definitum est? alia enim aliis

γὰρ ἄλλῳ μισητόν τε καὶ ἡδύ. [k]Τοιαῦτα δὲ καὶ ἀκούσεται· ἃ γὰρ ὑπομένει ἀκούων, ταῦτα καὶ ποιεῖν δοκεῖ. [l]Οὐ δὴ πᾶν ποιήσει· τὸ [m]γὰρ σκῶμμα, λοιδόρημά τι ἐστίν· οἱ δὲ νομοθέται ἔνια λοιδορεῖν κωλύουσιν· ἔδει δ' ἴσως καὶ σκώπτειν. Ὁ δὴ χαρίεις καὶ ἐλευθέριος οὕτως ἕξει, οἷον νόμος ὢν ἑαυτῷ. Τοιοῦτος μὲν οὖν ὁ μέσος ἐστὶν, εἴτ' ἐπιδέξιος, εἴτ' εὐτράπελος λέγεται. [n]Ὁ δὲ βωμολόχος ἥττων ἐστὶ τοῦ γελοίου, καὶ οὔτε ἑαυτοῦ, οὔτε τῶν ἄλλων ἀπεχόμενος, εἰ γέλωτα ποιήσει· καὶ τοιαῦτα λέγων, ὧν οὐθὲν ἂν ὁ χαρίεις εἴποι, ἔνια δὲ οὐδ' ἂν ἀκοῦσαι. Ὁ δ' ἄγριος εἰς τὰς τοιαύτας ὁμιλίας ἀχρεῖος· οὐδὲν γὰρ συμβαλλόμενος, πᾶσι δυσχεραίνει. [o]Δοκεῖ δὲ ἡ ἀνάπαυσις καὶ ἡ παιδιὰ ἐν τῷ βίῳ εἶναι [p]ἀναγκαῖον. Τρεῖς οὖν αἱ εἰρημέναι ἐν τῷ

[k] Γρ. Τοιαῦτα δὲ καὶ ἀκούσεται ἥδιον. Per τοιαῦτα intelligit οἷα τῷ ἐπιεικεῖ καὶ ἐλευθερίῳ ἁρμόττει. [l] Οὐ δὴ πᾶν λέξει alii legunt: οὐ δὴ πάντα ποιήσει, ἢ λέξει Lambinus legisse videtur. Ego methodo persuasus, οὐ δὴ πάντα ἀκούσει legere malim; nisi forte οὐ δὴ πᾶν ποιήσει assumptionem esse intelligas: tum conclusio erit subintelligenda. *Zuing.* [m] Γὰρ hoc in loco non ejus, quod præcessit, οὐ δὴ πᾶν ποιήσει, causam continet: sed posterior est causa ejus, quod proposuerat, τοιαῦτα δὲ καὶ ἀκούσεται: cum prior fuerit, ἃ γὰρ ὑπομένει &c. Frequens est alioqui Arist. quando causas unius rei plures affert, in singulis voce γὰρ uti, cujus loco alias voces ἔπειτα, πρὸς τούτῳ et similes usurpat. *Zuing.* [n] Ὁ δὲ βωμολόχος σφόδρα ἐρῶν τοῦ γελοίου, οὐδενὸς φείδεται τῶν γέλωτα ποιούντων, οὔτε ἔργων, οὔτε ῥημάτων· καὶ οὔτε ἑαυτοῦ, οὔτε τῶν ἀκουόντων ἀπέχεται. Andr. [o] Γρ. δοκεῖ δὲ καὶ ἡ ἀν. [p] Ἀναγκαῖα El.

odiosa sunt, et jucunda. Talia autem etiam audiet: nam quæ quisque æquo animo audit, hæc facere quoque videtur. Non igitur quidvis faciet, aut in alterum dicet; nam salse dictum, quoddam maledicti genus est: at latores legum quædam maledicti loco objicere vetant: sed oportebat eosdem fortasse vetare quoque ne quidvis in alterum salse dicere liceret. Homo igitur politus et ingenuus sic erit affectus, proinde ac si ipse sibi lex sit. Ac medius quidem talis est, sive dexter, sive facetus, sive urbanus appellandus sit. Scurra autem ridiculo moderari non potest, cum nec sibi, nec aliis parcat, dummodo risum moveat: cum talia denique dicat, quæ humanitate politus homo nunquam dixerit: nonnulla autem etiam ejus aures respuerint. Agrestis autem ille et rusticus atque insulsus ad tales congressiones prorsus ineptus et inutilis est: nam cum ipse nihil ad eas operæ conferat, tum omnibus offenditur. Videntur autem ad hominum vitam requies et jocus esse necessaria. Tres igitur sunt illæ, quas diximus, in

βίῳ μεσότητες· εἰσὶ δὲ πᾶσαι περὶ λόγων τινῶν καὶ πράξεων κοινωνίαν· διαφέρουσι δ', ὅτι ἡ μὲν περὶ ἀλήθειάν ἐστιν, αἱ δὲ περὶ τὸ ἡδύ. Τῶν δὲ περὶ τὴν ἡδονὴν, ἡ μὲν ἐν ταῖς παιδιαῖς, ἡ δ' ἐν ταῖς κατὰ τὸν ἄλλον βίον ὁμιλίαις.

ΚΕΦ. θ'.

ΠΕΡΙ[1] δὲ αἰδοῦς ὥς τινος ἀρετῆς οὐ προσήκει λέγειν· πάθει γὰρ μᾶλλον ἔοικεν, ἢ ἕξει. Ὁρίζεται γοῦν φόβος τις ἀδοξίας· ἀποτελεῖται δὲ τῷ περὶ τὰ δεινὰ φόβῳ παραπλήσιον· ἐρυθραίνονται γὰρ οἱ αἰσχυνόμενοι· οἱ δὲ τὸν θάνατον φοβούμενοι ὠχριῶσι. Σωματικὰ δὴ φαίνεταί πως εἶναι ἀμφότερα· ὅπερ δοκεῖ πάθους μᾶλλον ἢ ἕξεως εἶναι. Οὐ πάσῃ δ' ἡλικίᾳ τὸ πάθος ἁρμόζει, ἀλλὰ τῇ νέᾳ· οἰόμεθα γὰρ δεῖν τοὺς τηλικούτους, αἰδήμονας εἶναι, διὰ τὸ πάθει ζῶντας πολλὰ ἁμαρτάνειν, ὑπὸ τῆς αἰδοῦς δὲ [q]κωλύεσθαι. Καὶ ἐπαινοῦμεν τῶν μὲν νέων τοὺς αἰδήμονας· πρεσβύτερον δ' οὐδεὶς ἂν ἐπαι-

[1] Magn. Moral. lib. i. cap. 30. et Eud. lib. iii. cap. 7. [q] Κικωλῦσθαι C C C. Ven. 1. et Bas.

vita mediocritates: quæ omnes in quorundam sermonum et actionum communitate versantur: sed eo differunt, quod una in veritate, reliquæ duæ in jucunditate sitæ sunt. Atque harum ipsarum, quæ ad jucunditatem pertinent, altera in jocis, altera in congressionibus reliquæque vitæ communitatibus vertitur.

CAP. IX.

DE verecundia autem, quasi virtus sit aliqua, non attinet dicere: perturbationi enim quam habitui similior est. Definitur itaque, infamiæ metus quidam: existit autem similiter, atque metus, qui in rebus formidolosis versatur: erubescunt enim ii, qui pudore afficiuntur; pallescunt autem, qui mortem extimescunt. Apparet igitur, utrumque quodammodo ad corpus pertinere: quod quidem perturbationis potius, quam habitus proprium videtur esse. Non omni porro ætati, sed adolescentiæ, hæc perturbatio convenit: nam qui hac ætate sunt, pudentes et verecundos esse putamus oportere: quia cum eorum vita assiduis perturbationibus agitetur, multa peccent, a quibus pudore revocantur. Juvenes itaque laudamus eos, qui sunt pudentes; senem vero quod facile

νέσειεν, ὅτι αἰσχυντηλός· οὐθὲν γὰρ οἰόμεθα δεῖν αὐτὸν πράττειν, ἐφ' οἷς ἐστιν αἰσχύνη· οὐδὲ γὰρ ἐπιεικοῦς ἐστιν ἡ αἰσχύνη, εἴπερ γίγνεται ἐπὶ τοῖς φαύλοις· οὐδὲ γὰρ πρακτέον [r] τὰ τοιαῦτα. Εἰ δ' ἔστι τὰ μὲν κατ' ἀλήθειαν αἰσχρὰ, τὰ δὲ κατὰ δόξαν, οὐθὲν διαφέρει· οὐδέτερα γὰρ πρακτέα· ὥς' οὐκ αἰσχυντέον. Φαύλου δὲ καὶ τὸ εἶναι τοιοῦτον, οἷον πράττειν τι τῶν αἰσχρῶν· τὸ δ' οὕτως ἔχειν, ὥστ' εἰ πράξειέ τι τῶν τοιούτων, αἰσχύνεσθαι, καὶ διὰ τοῦτ' οἴεσθαι ἐπιεικῆ εἶναι, ἄτοπον· ἐπὶ τοῖς ἑκουσίοις γὰρ ἡ αἰδώς· ἑκὼν δὲ ὁ ἐπιεικὴς οὐδέποτε πράξει τὰ φαῦλα. Εἴη δ' ἂν ἡ αἰδὼς ἐξ ὑποθέσεως ἐπιεικές· εἰ γὰρ πράξαι, αἰσχύνοιτ' ἄν· οὐκ ἔστι δὲ τοῦτο περὶ τὰς ἀρετάς· εἰ δὲ ἡ ἀναισχυντία φαῦλον, καὶ τὸ μὴ αἰδεῖσθαι τὰ αἰσχρὰ πράττειν, οὐθὲν μᾶλλον τὸ [s] τοιαῦτα πράττοντα αἰσχύνεσθαι, ἐπιεικές. Οὐκ ἔστι δὲ οὐδ' ἡ ἐγκράτεια ἀρετὴ, ἀλλά τις μικτή· δειχθήσεται δὲ περὶ αὐτῆς ἐν τοῖς ὕστερον. Νῦν δὲ περὶ δικαιοσύνης εἴπωμεν.

[r] Γρ. ταῦτα pro τοιαῦτα. [s] Γρ. ταῦτα pro τοιαῦτα.

pudore afficiatur, nemo laudaverit: nihil enim eum arbitramur agere oportere eorum, propter quæ pudor existere solet: nam nec viri boni est pudor, siquidem ex rebus malis nascitur: res enim hujusmodi ne agendæ quidem sunt. Nihil vero refert, utrum alia sint re turpia, alia opinione; neutra enim sunt agenda: ergo pudore affici non oportet. Præterea vero improbi hominis est talem esse, ut turpe aliquid agat: ita autem animatum esse aliquem, ut si quid tale admiserit, pudore afficiatur, atque ob hanc causam se virum bonum esse putare, absurdum est: eorum enim, quæ sponte nostra agimus, nos pudet: at vir bonus nunquam quicquam mali sponte sua admittet. Sed tamen ex conditione pudor potest bonum videri: nam si quid turpe admittat, pudore afficiatur: sed hoc non inest in virtutibus: neque vero si impudentem esse, nulloque pudore a turpibus actionibus revocari, malum est: idcirco turpia agentem pudore affici, bonum erit. Jam vero ne continentia quidem virtus est, sed quiddam virtutis habet admixtum: de qua posterius dicemus. Nunc autem de justitia disseramus.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

[a]ΤΟ Ε΄.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. V.

ΚΕΦ. α΄.

ΠΕΡΙ δὲ δικαιοσύνης καὶ ἀδικίας σκεπτέον, περὶ ποίας τε τυγχάνουσιν οὖσαι πράξεις, καὶ ποία μεσότης ἐστὶν ἡ δικαιοσύνη, καὶ τὸ δίκαιον τίνων μέσον. Ἡ δὲ σκέψις ἡμῖν ἔστω κατὰ τὴν αὐτὴν μέθοδον τοῖς προειρημένοις. Ὁρῶμεν δὴ πάντας τὴν τοιαύτην ἕξιν βουλομένους λέγειν δικαιοσύνην, ἀφ᾽ ἧς [b] πρακτικοὶ τῶν δικαίων εἰσὶ, καὶ ἀφ᾽ ἧς δικαιοπρα-

[a] Hic et duo proxime sequentes libri totidem fere verbis in iv. v. et vi. libb. Eud. leguntur. Vide Magn. Moral. lib. i. cap. 34. [b] Πρακτικοὶ male a nonnullis Interpp. *apti* et *idonei* vertitur: non enim justitia, sed natura ipsa homines ad res justas agendas *aptos* et *idoneos* efficit: et injustissimi quoque apti sunt ad

CAP. I.

DE justitia autem et injustitia hoc videndum est, quibus in actionibus versentur, quænam mediocritas sit justitia, quarum denique rerum medium sit jus. Quibus in rebus exquirendis et explicandis, eadem atque in superioribus via rationeque utamur. Videmus igitur eum animi habitum, quo ad res justas gerendas homines efficiuntur propensi, quoque res justas et agunt, et volunt, ab omnibus justitiam intelligi at-

καὶ πλεονέκτης ὁ ἄδικος, περὶ τὰ ἀγαθὰ [i]ἔσται, οὐ πάντα, ἀλλὰ περὶ ὅσα εὐτυχία καὶ ἀτυχία· [k]ἃ ἐστι μὲν ἁπλῶς ἀεὶ ἀγαθὰ, τινὶ δὲ οὐκ ἀεί. Οἱ δ' ἄνθρωποι ταῦτα εὔχονται καὶ διώκουσι· δεῖ δ' οὔ· ἀλλ' εὔχεσθαι μὲν τὰ ἁπλῶς ἀγαθὰ, καὶ αὐτοῖς ἀγαθὰ εἶναι, αἱρεῖσθαι δὲ τὰ αὐτοῖς ἀγαθά. Ὁ δ' ἄδικος οὐκ ἀεὶ τὸ πλέον αἱρεῖται, ἀλλὰ καὶ τὸ ἔλαττον, ἐπὶ τῶν ἁπλῶς κακῶν. Ἀλλ' ὅτι δοκεῖ καὶ τὸ [l]μεῖον κακὸν ἀγαθόν πως εἶναι, τοῦ δ' ἀγαθοῦ ἐστιν ἡ πλεονεξία, διὰ τοῦτο δοκεῖ πλεονέκτης εἶναι. [m]Ἔστι δὲ ἄνισος· τοῦτο γὰρ περιέχει

[i] Ἔσται deest in Eud. [k] Hæc Philosophi sententia optime exprimitur a Terentio in Heautont.

Quid relliqui est, quin habeat, quæ quidem in homine dicuntur bona?
Parentes, patriam incolumem, amicos, genus, cognatos, divitias.
Atque hæc perinde sunt, ut illius animus, qui ea possidet:
Qui uti scit, ei bona; illi, qui non utitur recte, mala.

[l] Μὴ κακὸν pro μεῖον κακὸν in Eud. [m] Hunc locum sic legendum esse: Ἔστι δ' ἄνισος, καὶ παράνομος· τοῦτο γὰρ περιέχει καὶ κοινόν ἐστι et cætera verba iis admista, delenda esse censeo: in quo quid librarios deceperit non est difficile conjicere hominibus in hoc genere exercitatis. Hanc correctionem a me acceptam Lambinus, vir acutissimo ingenio, acerrimoque judicio præditus, retulit in Scholia in eos libros sua: nisi quod, cum meam sententiam exponeret, verba illa πᾶσαν ἀδικίαν, et πάσης ἀδικίας reliquit: quæ mihi vel maxima causa fuit hoc quoque loco testificandi, quid sentirem. Non tantum enim existimo e glossematis illa fluxisse, verum etiam e falsis et ineptis glossematis: nam verba illa, περιέχει, καὶ κοινόν ἐστι, si quis attente consideret, non πρὸς πᾶσαν ἀδικίαν, sed πρὸς τὸ πλέον, καὶ πρὸς τὸ ἔλαττον referenda sunt. *Mur.* Var. Lect. lib. vi. cap. 8. τὸ γὰρ ἄνισον ἔχει τὸ πλέον καὶ τὸ ἔλαττον post κοινὸν inseruntur in Mich. Eph. Ven. 1. 2. et Bas. ἡ παρανομία ἤτοι ἡ ἀνισότης desunt CCC. Ἔστι δὲ ὁ ἄδικος ἄνισος· τοῦτο γὰρ περιεκτικὸν ὄνομα καὶ κοινόν ἐστι πᾶσι τοῖς εἴδεσι τῆς ἀδικίας, ἡ ἀνισότης· καὶ γὰρ καὶ ὁ παράνομος, ἄνισός τις ἐστι, καὶ ὁ πλεονέκτης. Andr. Vide Zuing. et Lamb. καὶ κοινὸν, καὶ παράνομον in Eud.

injustus etiam plus bonorum, quam par sit, sibi deposcit ac vendicat: in bonis erit occupatus, non omnibus, sed in iis duntaxat, in quibus secunda et adversa fortuna locum habet: quæ sunt bona simpliciter et absolute quidem illa semper, sed huic vel illi non semper. Homines autem hæc votis omnibus expetuntque, ac persequuntur: quod facere non oportet, sed optare sane, ut quæ simpliciter bona sunt, ea nobis quoque bona sint: eligere autem ac sumere, quæ nobis sunt bona. Sed injustus non semper id, quod plus est, eligit, verum etiam quod minus est, in iis, quæ absolute mala sunt. Sed quia videtur etiam minus malum quodammodo bonum esse: cupiditas autem ejus, quod plus est, boni cupiditas est: idcirco videtur ille esse ejus, quod plus est, appetens et cupidus. Porro iniquus etiam contra legem peccat: nam hoc ipsum, quod peccatum in le-

καὶ κοινόν· καὶ παράνομος· τοῦτο γὰρ ἡ παρανομία, ἤτοι ἡ ἀνισότης, περιέχει πᾶσαν ἀδικίαν, καὶ κοινόν ἐστι πάσης ἀδικίας. Ἐπεὶ δ' ὁ παράνομος ἄδικος ἦν, ὁ δὲ νόμιμος δίκαιος, δῆλον ὅτι πάντα τὰ νόμιμά ἐστί πως δίκαια· τά τε γὰρ ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς, νόμιμά ἐστι· καὶ ἕκαστον τούτων δίκαιον εἶναί φαμεν. Οἱ δὲ νόμοι [n] ἀγορεύουσι περὶ ἁπάντων, στοχαζόμενοι ἢ τοῦ κοινῇ συμφέροντος πᾶσιν, ἢ τοῖς ἀρίστοις, ἢ τοῖς κυρίοις, ἢ κατ' ἀρετὴν, ἢ κατ' ἄλλον τινὰ τρόπον τοιοῦτον. Ὥστε ἕνα μὲν τρόπον δίκαια λέγομεν, τὰ ποιητικὰ, καὶ φυλακτικὰ τῆς εὐδαιμονίας καὶ τῶν μορίων αὐτῆς, τῇ πολιτικῇ κοινωνίᾳ. Προστάττει δὲ ὁ νόμος, καὶ τὰ τοῦ ἀνδρείου ἔργα ποιεῖν, οἷον μὴ [o] λείπειν τὴν τάξιν, μηδὲ φεύγειν, μηδὲ ῥίπτειν τὰ ὅπλα· καὶ τὰ τοῦ σώφρονος, οἷον μὴ μοιχεύειν, μηδὲ ὑβρίζειν· καὶ τὰ τοῦ πράου, οἷον μὴ τύπτειν, μηδὲ κακηγορεῖν· ὁμοίως δὲ καὶ κατὰ τὰς ἄλλας ἀρετὰς καὶ μοχθηρίας, τὰ μὲν κελεύων, τὰ δ' ἀπαγορεύων· ὀρθῶς μὲν, ὁ κείμενος ὀρθῶς,

[n] Ὁρίζουσι pro ἀγορεύουσι quidam legi volunt. [o] Λιπεῖν C C C.

gem dicimus, omnem injustitiam continet, omnisque injustitiæ commune est. Quoniam autem eum, qui contra leges committit, injustum esse diximus; qui vero leges servat, justum: perspicuum est, ea omnia, quæ legitima sunt, quodammodo esse justa: nam cum ea, quæ a scientia legum ferendarum descripta et definita sunt, legitima sunt, tum unumquodque horum jus esse dicimus. Leges autem omnibus de rebus ita loquuntur, ut vel communem omnium utilitatem spectent, vel optimorum, vel eorum, penes quos summa rerum est potestas: et vel secundum virtutem, vel secundum quem alium modum talem. Quocirca uno modo jura appellamus ea, quæ vitam beatam, ejusque partes, civili societate conciliare et conservare possunt. Ac lex quidem et viri fortis muneribus fungi jubet, ut locum atque ordinem in acie tenere, neque fugere, neque arma abjicere: et temperantis, ut non adulterari, neque cuiquam stuprum inferre: et lenis ac mansueti, ut neminem verberare, neque cuiquam maledicere: itemque in cæteris virtutibus ac vitiis, partim jubendo, partim vetando: recte quidem ea lex, quæ recte ac salutariter: per-

[p] χεῖρον δὲ, ὁ ἀπεσχεδιασμένος. Αὕτη μὲν οὖν ἡ δικαιοσύνη, ἀρετὴ μέν ἐστι τελεία, [q] ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ πρὸς ἕτερον. Καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη· καὶ οὔθ' ἕσπερος, οὔθ' ἑῷος οὕτω [r] θαυμαστός. Καὶ παροιμιαζόμενοί φαμεν,

[s] Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι.

Καὶ τελεία μάλιστα ἀρετὴ, ὅτι τῆς τελείας ἀρετῆς χρῆσίς ἐστι· τελεία δ' ἐστὶν, ὅτι ὁ ἔχων αὐτὴν, καὶ πρὸς ἕτερον δύναται τῇ ἀρετῇ χρῆσθαι, ἀλλ' οὐ μόνον καθ' αὑτόν· πολλοὶ γὰρ, ἐν μὲν τοῖς οἰκείοις, τῇ ἀρετῇ δύνανται χρῆσθαι· ἐν δὲ τοῖς πρὸς ἕτερον, ἀδυνατοῦσι. Καὶ διὰ τοῦτο εὖ δοκεῖ ἔχειν τὸ τοῦ Βίαντος, ὅτι ἀρχὰ τὸν ἄνδρα [t] δείξει· πρὸς ἕτερον γὰρ, καὶ ἐν κοινωνίᾳ ἤδη ὁ ἄρχων. Διὰ δὲ τὸ αὐτὸ τοῦτο, καὶ ἀλλότριον ἀγαθὸν δοκεῖ εἶναι ἡ δικαιοσύνη, μόνη τῶν ἀρετῶν, [u] ὅτι πρὸς ἕτερόν ἐστιν· ἄλλῳ γὰρ τὰ συμφέροντα πράττει, ἢ ἄρχοντι, ἢ [x] κοινῷ.

[p] Γρ. χείρων. [q] Ἀλλ' οὐχ ἁπλῶς desunt in Eud. [r] Γρ. θαυμαστόν. [s] Versus est Theogn. 147. [t] Γρ. δείκνυσιν. [u] Γρ. ὅτι καί. [x] Κοινωνῷ in Eud. et ad oram C C C. et Bas.

peram autem, quæ negligenter et inconsiderate lata est. Hæc igitur justitia virtus est illa quidem perfecta, non tamen simpliciter neque absolute, sed si ad alterum referatur. Atque ob hanc causam sæpe omnium præstantissima virtutum videtur esse justitia: neque vesper, neque lucifer tanta homines admiratione afficere. Tum solemus hoc uti proverbio:

Justitia una alias virtutes continet omnes.

Ac perfectissima virtus est, quia perfectæ virtutis usus est: ideo autem perfecta est, quia qui ea præditus est, etiam cum aliis, et erga alios, non secum solum, virtutem colere potest: plerique enim in suis quidem rebus uti virtute possunt, in iis autem, quas cum altero contraxerunt, non possunt. Quocirca præclare Biantis illud videtur esse dictum: Magistratus virum declarabit: nam qui magistratum gerit, is jam cum altero rationem habet, et in communione vitæ versatur. Atque ob hanc eandem causam sola ex omnibus virtutibus justitia alienum videtur esse bonum, quia ad alterum refertur ac pertinet: aliorum enim utilitati consulit, nempe aut principis, aut reipublicæ.

Κάκιστος μὲν οὖν ὁ πρὸς αὐτὸν, καὶ πρὸς τοὺς φίλους χρώμενος τῇ μοχθηρίᾳ· ἄριστος δ' οὐχ [y] ὁ πρὸς αὐτὸν τῇ ἀρετῇ, ἀλλ' ὁ πρὸς ἕτερον· τοῦτο γὰρ ἔργον [z] χαλεπόν. Αὕτη μὲν οὖν ἡ δικαιοσύνη οὐ μέρος ἀρετῆς, ἀλλὰ ὅλη ἀρετή ἐστιν· οὐδ' ἡ ἐναντία ἀδικία, μέρος κακίας, ἀλλ' ὅλη κακία. Τί δὲ διαφέρει ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη αὕτη, δῆλον ἐκ τῶν εἰρημένων· ἔστι μὲν γὰρ ἡ αὐτή· τὸ δὲ εἶναι, οὐ τὸ αὐτό· ἀλλ', ᾗ μὲν πρὸς ἕτερον, δικαιοσύνη, ᾗ δὲ τοιάδε [a] ἕξις, ἁπλῶς ἀρετή.

ΚΕΦ. β'.

ΖΗΤΟΥΜΕΝ δέ γε τὴν ἐν μέρει ἀρετῆς δικαιοσύνην· ἔστι γάρ τις, ὥς φαμεν· ὁμοίως δὲ καὶ περὶ ἀδικίας τῆς κατὰ μέρος. Σημεῖον δὲ ὅτι ἐστί· κατὰ μὲν γὰρ τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν, ἀδικεῖ μὲν, πλεονεκτεῖ δ' οὐδέν· οἷον ὁ ῥίψας τὴν ἀσπίδα, διὰ δειλίαν, ἢ ὁ κακῶς εἰπὼν, διὰ χα-

[y] Ὁ καὶ πρὸς El. [z] Χαλεπὸν glossam esse ostendunt libri quidam, in quibus scriptum est, τοῦτο γὰρ ἔργον, τοῦτ' ἔστι χαλεπόν· ἔργον autem sæpe idem valere quod ἐργῶδες aut χαλεπὸν satis notum est: ita quoque a Latino poeta dictum est:

Hoc opus, hic labor est. Muret.

[a] Γρ. ἕξις ἁπλῶς, ἀρετή.

Deterrimus igitur ille quidem habendus est, qui improbitate et in se, et in amicos utitur: optimus autem, non qui secum et sibi, sed qui cum aliis, et erga alios virtutem colit: hoc enim difficile atque operosum est. Ergo hæc justitia non virtutis pars est, sed virtus universa: neque ei contraria injustitia, pars vitii est, sed vitium integrum atque universum. Quid intersit autem inter virtutem et hanc justitiam, ex iis, quæ diximus, perspicuum est: est enim eadem illa quidem, sed ejus essentia non est eadem: verum qua cum altero rationem habet, justitia est; qua talis quidam habitus est, absolute virtus est.

CAP. II.

JUSTITIAM autem quærimus eam, quæ pars virtutis est; est enim aliqua, ut dicimus: itemque injustitiam eam, quæ in partibus vitii numeratur. Aliquam porro esse hujusmodi, argumento est, quod qui agit aliquid eorum, quæ ad cætera vitia pertinent, facit ille quidem injuste, sibi tamen plus boni, quam oportet, non sumit, aut vendicat: verbi gratia, qui clypeum abjecit propter ignaviam, aut qui maledixit alteri

λεπτότητα, ἢ οὐ βοηθήσας χρήμασι, δι' ἀνελευθερίαν· ὅταν δὲ πλεονεκτῇ, πολλάκις κατ' οὐδεμίαν τῶν τοιούτων· ἀλλὰ μὴν οὐδὲ κατὰ πάσας, κατὰ πονηρίαν δέ γέ τινα· ψέγομεν γὰρ καὶ κατ' ἀδικίαν. Ἔστιν ἄρα γέ τις ἄλλη ἀδικία, ὡς μέρος τι τῆς ὅλης, καὶ ἄδικόν τι ἐν μέρει τοῦ ὅλου ἀδίκου, τοῦ παρὰ τὸν νόμον. Ἔτι εἰ ὁ μὲν τοῦ κερδαίνειν ἕνεκα μοιχεύοι καὶ προσλαμβάνοι, ὁ δὲ προστιθεὶς καὶ ζημιούμενος δι' ἐπιθυμίαν· οὗτος μὲν ἀκόλαστος δόξειεν ἂν εἶναι μᾶλλον ἢ πλεονέκτης, ἐκεῖνος δ' ἄδικος, ἀκόλαστος δ' οὔ· δῆλον ἄρα ὅτι διὰ τὸ κερδαίνειν. Ἔτι περὶ μὲν τἄλλα πάντα ἀδικήματα γίνεται ἡ ἐπαναφορὰ ἐπί τινα μοχθηρίαν ἀεί· οἷον εἰ ἐμοίχευσεν, ἐπ' ἀκολασίαν· εἰ ἐγκατέλιπε τὸν παραστάτην, ἐπὶ δειλίαν· εἰ δὲ ἐπάταξεν, ἐπὶ ὀργήν· εἰ δ' ἐκέρδανεν, ἐπὶ οὐδεμίαν μοχθηρίαν, ἀλλ' ἢ ἐπ' ἀδικίαν. Ὥστε φανερὸν ὅτι ἐστί τις ἀδικία παρὰ τὴν ὅλην ἄλλη ἐν μέρει, συνώνυμος· ὅτι ὁ ὁρι-

propter asperitatem, aut qui pecunia non est alicui opitulatus ob illiberalitatem: cum autem sibi plus boni sumit aut vendicat, quam oportet, sæpe nullo tali vitio, certe non omnibus, sed uno tamen aliquo peccat: nam eum vituperamus, et injustitiæ nomine vituperamus. Est igitur alia quædam injustitia, tanquam injustitiæ pars quædam universæ: itemque injustum quoddam, ut totius pars injusti, ejus, quod contra leges committitur. Præterea si quis quæstus causa adulterium committat, mercedemque etiam ferat, alius autem cupiditate inflammatus idem faciat, dans etiam aliquid de suo, jacturamque rei suæ faciens: hic quidem intemperans potius, quam plus sibi sumens et vendicans esse videtur; ille autem injustus, sed non intemperans: propterea scilicet quia quæstus causa faciat. Præterea in cæteris quidem omnibus injuste factis, si quid peccetur, id semper ad aliquod genus improbitatis refertur: verbi causa, si quis adulterium commisit, ad intemperantiam; si eum, qui in acie proximus locatus erat, deseruit, ad timiditatem; si quem pulsavit, ad iracundiam: sed si quæstum fecit, ad nullum aliud vitium, nisi ad injustitiam refertur. Perspicuum igitur est, præter universam injustitiam, aliam quandam esse ejus partem uno eodemque nomine appellatam: quoniam eodem

σμὸς ἐν τῷ αὐτῷ γένει· ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον ἔχουσι τὴν δύναμιν· ἀλλ᾽ ἡ μὲν περὶ τιμὴν, ἢ χρήματα, ἢ σωτηρίαν, ἢ εἴ τινι [b]ἔχοιμεν ἑνὶ ὀνόματι περιλαβεῖν ταῦτα πάντα· καὶ δι᾽ ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους· ἡ δὲ περὶ ἅπαντα περὶ ὅσα ὁ σπουδαῖος. Ὅτι μὲν οὖν εἰσι δικαιοσύναι πλείους, καὶ ὅτι ἐστί τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρετὴν, δῆλον· τίς δὲ [c]καὶ ὁποία τις, ληπτέον. Διώρισται δὴ τὸ ἄδικον, τό, τε παράνομον, καὶ τὸ ἄνισον· τὸ δὲ δίκαιον, τό, τε νόμιμον, καὶ τὸ ἴσον. Κατὰ μὲν οὖν τὸ παράνομον, ἡ πρότερον εἰρημένη ἀδικία ἐστίν. [d]Ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον οὐ ταὐτὸν, ἀλλ᾽ ἕτερον, ὡς μέρος

[b] Γρ. ἔχομεν. [c] Γρ. καὶ ποία. [d] Admodum diverse legitur hæc perioche. In Bas. sic: ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ παράνομον οὐ ταὐτὸν, ἀλλ᾽ ἕτερον, ὡς μέρος πρὸς ὅλον· τὸ μὲν γὰρ ἄνισον ἅπαν παράνομον· τὸ δὲ παράνομον, οὐχ ἅπαν ἄνισον· τὸ μὲν γὰρ πλέον ἅπαν ἄνισον, τὸ δὲ ἄνισον οὐ πᾶν πλέον· καὶ τὸ ἄδικ. Ita etiam habet El. nisi quod post primum παράνομον scribitur πλέον: ejus vero ad oram est vulgata lectio. In CCC. sic: ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ παράνομον, reliqua vero ut vulg. lect. ad oram γρ. ut in Bas. In Vet. Interp. sic: ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον οὐ ταὐτὸν, reliqua ut in Bas. Lambinus inter οὐ πᾶν πλέον et καὶ τὸ ἄδικ. inserit καὶ ἐπεὶ τὸ παράνομον καὶ τὸ ἄνισον οὐ ταὐτὸν, ἀλλ᾽ ἕτερον, ὡς μέρος πρὸς ὅλον· τὸ μὲν γὰρ ἄνισον ἅπαν παράνομον, τὸ δὲ παράνομον οὐχ ἅπαν ἄνισον. Andronicus pro vulgata lectione facit. Ἐπεὶ δὲ τὸ πλέον οὐ ταὐτόν ἐστι τῷ ἀνίσῳ, ἀλλ᾽ ἔστι τὸ μὲν ἄνισον ὥσπερ ὅλον, τὸ δὲ πλέον ὡς μέρος· τὸ γὰρ πλέον καὶ ἄνισον, οὐ πᾶν δὲ τὸ ἄνισον πλέον· ἔστι τις ἀδικία καὶ περὶ τὸ ἄνισον ἄλλη. De varietate lectionis hoc in loco sequentia habet Muretus: In quadam admirabili exemplarium, tum veterum tum recentium, varietate secutus sum eam scripturam, quæ mihi visa est optima, est autem hæc: ἐπεὶ δὲ τὸ ἄνισον, καὶ τὸ παράνομον οὐ ταὐτὸν, ἀλλ᾽ ἕτερον, ὡς μέρος πρὸς ὅλον· τὸ μὲν γὰρ ἄνισον ἅπαν παράνομον, τὸ δὲ παράνομον οὐ πᾶν ἄνισον· καὶ τὸ ἄδικ. quæ scriptura, ut mihi quidem videtur, et veram et perspicuam sententiam continet. Quæ ab aliis interjiciuntur de comparatione τοῦ πλέονος καὶ τοῦ ἀνίσου, vera quidem sunt, sed nihil, ut arbitror, faciunt ad id quod hic docetur.

genere utriusque definitio continetur; utriusque enim vis in eo posita est, ut ad alterum referatur: sed hæc quidem in honore versatur, aut pecunia, aut salute, aut si quo uno nomine hæc omnia complecti possimus; et propter voluptatem suscipitur eam, quæ e lucro proficiscitur: illa autem in iis omnibus, in quibus vir bonus occupatus est. Justitias ergo plures esse, aliamque quandam præter universam virtutem esse, perspicuum est: quæ sit porro et qualis, est intelligendum. Hæc igitur a nobis proposita est injuriæ distinctio, unam esse, quæ contra leges infertur; alteram, quæ ab æquitate, seu æqualitate remota est: itemque, jus esse unum legitimum, æquale alterum. Atque ex ea quidem, quæ contra leges infertur, injuria, superior injustitia et orta et appellata est. Verum quoniam non est idem iniquum, seu inæquale, seu ab æquitate

λεπτότητα, ἢ οὐ βοηθήσας χρήμασι, δι' ἀνελευθερίαν· ὅταν δὲ πλεονεκτῇ, πολλάκις κατ' οὐδεμίαν τῶν τοιούτων· ἀλλὰ μὴν οὐδὲ κατὰ πάσας, κατὰ πονηρίαν δέ γέ τινα· ψέγομεν γὰρ καὶ κατ' ἀδικίαν. Ἔστιν ἄρα γέ τις ἄλλη ἀδικία, ὡς μέρος τι τῆς ὅλης, καὶ ἄδικόν τι ἐν μέρει τοῦ ὅλου ἀδίκου, τοῦ παρὰ τὸν νόμον. Ἔτι εἰ ὁ μὲν τοῦ κερδαίνειν ἕνεκα μοιχεύοι καὶ προσλαμβάνοι, ὁ δὲ προστιθεὶς καὶ ζημιούμενος δι' ἐπιθυμίαν· οὗτος μὲν ἀκόλαστος δόξειεν ἂν εἶναι μᾶλλον ἢ πλεονέκτης, ἐκεῖνος δ' ἄδικος, ἀκόλαστος δ' οὔ· δῆλον ἄρα ὅτι διὰ τὸ κερδαίνειν. Ἔτι περὶ μὲν τἄλλα πάντα ἀδικήματα γίνεται ἡ ἐπαναφορὰ ἐπί τινα μοχθηρίαν ἀεί· οἷον εἰ ἐμοίχευσεν, ἐπ' ἀκολασίαν· εἰ ἐγκατέλιπε τὸν παραστάτην, ἐπὶ δειλίαν· εἰ δὲ ἐπάταξεν, ἐπὶ ὀργήν· εἰ δ' ἐκέρδανεν, ἐπὶ οὐδεμίαν μοχθηρίαν, ἀλλ' ἢ ἐπ' ἀδικίαν. Ὥστε φανερὸν ὅτι ἐστί τις ἀδικία παρὰ τὴν ὅλην ἄλλη ἐν μέρει, συνώνυμος· ὅτι ὁ ὁρι-

propter asperitatem, aut qui pecunia non est alicui opitulatus ob illiberalitatem: cum autem sibi plus boni sumit aut vendicat, quam oportet, sæpe nullo tali vitio, certe non omnibus, sed uno tamen aliquo peccat: nam eum vituperamus, et injustitiæ nomine vituperamus. Est igitur alia quædam injustitia, tanquam injustitiæ pars quædam universæ: itemque injustum quoddam, ut totius pars injusti, ejus, quod contra leges committitur. Præterea si quis quæstus causa adulterium committat, mercedemque etiam ferat, alius autem cupiditate inflammatus idem faciat, dans etiam aliquid de suo, jacturamque rei suæ faciens: hic quidem intemperans potius, quam plus sibi sumens et vendicans esse videtur; ille autem injustus, sed non intemperans: propterea scilicet quia quæstus causa faciat. Præterea in cæteris quidem omnibus injuste factis, si quid peccetur, id semper ad aliquod genus improbitatis refertur: verbi causa, si quis adulterium commisit, ad intemperantiam; si eum, qui in acie proximus locatus erat, deseruit, ad timiditatem; si quem pulsavit, ad iracundiam: sed si quæstum fecit, ad nullum aliud vitium, nisi ad injustitiam refertur. Perspicuum igitur est, præter universam injustitiam, aliam quandam esse ejus partem uno eodemque nomine appellatam: quoniam eodem

σμὸς ἐν τῷ αὐτῷ γένει· ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον ἔχουσι τὴν δύναμιν· ἀλλ' ἡ μὲν περὶ τιμὴν, ἢ χρήματα, ἢ σωτηρίαν, ἢ εἴ τινι [b] ἔχοιμεν ἑνὶ ὀνόματι περιλαβεῖν ταῦτα πάντα· καὶ δι' ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους· ἡ δὲ περὶ ἅπαντα περὶ ὅσα ὁ σπουδαῖος. Ὅτι μὲν οὖν εἰσι δικαιοσύναι πλείους, καὶ ὅτι ἐστί τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρετὴν, δῆλον· τίς δὲ [c] καὶ ὁποία τις, ληπτέον. Διώρισται δὴ τὸ ἄδικον, τό, τε παράνομον, καὶ τὸ ἄνισον· τὸ δὲ δίκαιον, τό, τε νόμιμον, καὶ τὸ ἴσον. Κατὰ μὲν οὖν τὸ παράνομον, ἡ πρότερον εἰρημένη ἀδικία ἐστίν. [d] Ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον οὐ ταὐτὸν, ἀλλ' ἕτερον, ὡς μέρος

[b] Γρ. ἔχομεν. [c] Γρ. καὶ ποία. [d] Admodum diverse legitur hæc perioche. In Bas. sic: ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ παράνομον οὐ ταὐτὸν, ἀλλ' ἕτερον, ὡς μέρος πρὸς ὅλον· τὸ μὲν γὰρ ἄνισον ἅπαν παράνομον· τὸ δὲ παράνομον, οὐχ ἅπαν ἄνισον· τὸ μὲν γὰρ πλέον ἅπαν ἄνισον, τὸ δὲ ἄνισον οὐ πᾶν πλέον· καὶ τὸ ἄδικ. Ita etiam habet El. nisi quod post primum παράνομον scribitur πλέον: ejus vero ad oram est vulgata lectio. In CCC. sic: ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ παράνομον, reliqua vero ut vulg. lect. ad oram γρ. ut in Bas. In Vet. Interp. sic: ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον οὐ ταὐτὸν, reliqua ut in Bas. Lambinus inter οὐ πᾶν πλέον et καὶ τὸ ἄδικ. inserit καὶ ἐπεὶ τὸ παράνομον καὶ τὸ ἄνισον οὐ ταὐτὸν, ἀλλ' ἕτερον, ὡς μέρος πρὸς ὅλον· τὸ μὲν γὰρ ἄνισον ἅπαν παράνομον, τὸ δὲ παράνομον οὐχ ἅπαν ἄνισον. Andronicus pro vulgata lectione facit. Ἐπεὶ δὲ τὸ πλέον οὐ ταὐτόν ἐστι τῷ ἀνίσῳ, ἀλλ' ἔστι τὸ μὲν ἄνισον ὥσπερ ὅλον, τὸ δὲ πλέον ὡς μέρος· τὸ γὰρ πλέον καὶ ἄνισον, οὐ πᾶν δὲ τὸ ἄνισον πλέον· ἔστι τις ἀδικία καὶ περὶ τὸ ἄνισον ἄλλη. De varietate lectionis hoc in loco sequentia habet Muretus: In quadam admirabili exemplarium, tum veterum tum recentium, varietate secutus sum eam scripturam, quæ mihi visa est optima, est autem hæc: ἐπεὶ δὲ τὸ ἄνισον, καὶ τὸ παράνομον οὐ ταὐτὸν, ἀλλ' ἕτερον, ὡς μέρος πρὸς ὅλον· τὸ μὲν γὰρ ἄνισον ἅπαν παράνομον, τὸ δὲ παράνομον οὐ πᾶν ἄνισον· καὶ τὸ ἄδικ. quæ scriptura, ut mihi quidem videtur, et veram et perspicuam sententiam continet. Quæ ab aliis interjiciuntur de comparatione τοῦ πλέονος καὶ τοῦ ἀνίσου, vera quidem sunt, sed nihil, ut arbitror, faciunt ad id quod hic docetur.

genere utriusque definitio continetur; utriusque enim vis in eo posita est, ut ad alterum referatur: sed hæc quidem in honore versatur, aut pecunia, aut salute, aut si quo uno nomine hæc omnia complecti possimus; et propter voluptatem suscipitur eam, quæ e lucro proficiscitur: illa autem in iis omnibus, in quibus vir bonus occupatus est. Justitias ergo plures esse, aliamque quandam præter universam virtutem esse, perspicuum est: quæ sit porro et qualis, est intelligendum. Hæc igitur a nobis proposita est injuriæ distinctio, unam esse, quæ contra leges infertur; alteram, quæ ab æquitate, seu æqualitate remota est: itemque, jus esse unum legitimum, æquale alterum. Atque ex ea quidem, quæ contra leges infertur, injuria, superior injustitia et orta et appellata est. Verum quoniam non est idem iniquum, seu inæquale, seu ab æquitate

πρὸς ὅλον· τὸ μὲν γὰρ πλέον ἅπαν ἄνισον, τὸ δ' ἄνισον οὐ πᾶν πλέον· καὶ τὸ ἄδικον καὶ ἡ ἀδικία οὐ ταὐτὰ, ἀλλ' ἕτερα ἐκείνων· τὰ μὲν ὡς μέρη, τὰ δ' ὡς ὅλα· μέρος γὰρ αὕτη ἡ ἀδικία τῆς ὅλης ἀδικίας· ὁμοίως δὲ καὶ ἡ δικαιοσύνη τῆς δικαιοσύνης. Ὥστε καὶ [e] περὶ τῆς ἐν μέρει δικαιοσύνης καὶ ἀδικίας λεκτέον, καὶ τοῦ δικαίου καὶ τοῦ ἀδίκου ὡσαύτως. Ἡ μὲν οὖν κατὰ τὴν ὅλην ἀρετὴν [f] τεταγμένη δικαιοσύνη καὶ ἀδικία, ἡ μὲν τῆς ὅλης ἀρετῆς οὖσα χρῆσις πρὸς ἄλλον, ἡ δὲ τῆς κακίας, ἀφείσθω. Καὶ τὸ δίκαιον δὲ καὶ τὸ ἄδικον τὸ κατὰ ταύτας φανερὸν ὡς διοριστέον· σχεδὸν γὰρ τὰ πολλὰ τῶν νομίμων τὰ ἀπὸ τῆς ὅλης ἀρετῆς [g] προςαττόμενά ἐστι· καθ' ἑκάστην γὰρ ἀρετὴν προστάττει ζῆν, καὶ καθ' ἑκάστην μοχθηρίαν κωλύει ὁ νόμος. Τὰ δὲ ποιητικὰ τῆς ὅλης ἀρετῆς ἐστι τῶν

[e] Περὶ τῆς ἐν μέρει ἀδικίας El. C C C. et in Eud. [f] Τεταμένη, ut in aliis libris scriptum reperio, legere malo. *Mur.* [g] Γρ. πραττόμενα.

remotum, quod plus, sed aliud ad aliud relatum, ut pars ad totum (quicquid enim plus est, iniquum seu inæquale est: sed non quicquid est iniquum, plus est) quoniamque itidem iniquitas, et ea injuria, quæ sit contra leges, non sunt idem, (nam quicquid iniquum est, contra leges committitur: sed non quicquid contra leges committitur, continuo est iniquum) efficitur ut hæc injuria, et hæc injustitia, non sint eædem atque illæ, sed ab illis differant: partiumque rationem ad tota obtineant: hæc enim injustitia totius injustitiæ pars est; itemque totius justitiæ hæc justitia. Itaque et de justitia ea, quæ generi subjecta est, et de injustitia, quæ illius injustitiæ pars est, dicendum est: eodemque modo de jure atque injuria. Eam igitur justitiam, eamque injustitiam, quæ in eodem atque virtus universa vitiumque universum ordine locatæ sunt, quarum altera totius virtutis, altera totius vitii usus est cum altero, prætermittamus. Jus quoque et injuria, quæ sunt his consentanea, quonam modo distinguenda et discernenda sint, non est obscurum: nam pleraque fere jura legitima, ea officia sunt, quæ ab universa virtute præscribuntur: unicuique enim virtuti convenienter vivere lex jubet, et unumquodque vitium sequi vetat. Causæ autem efficientes virtutis universæ sunt ea omnia jura legitima,

νομίμων ὅσα νενομοθέτηται [h] περὶ παιδείαν τὴν πρὸς τὸ κοινόν. Περὶ δὲ τῆς καθ' ἕκαστον παιδείας, καθ' ἣν ἁπλῶς ἀνὴρ ἀγαθός ἐστι, πότερον τῆς πολιτικῆς ἐστιν, ἢ ἑτέρας, [i] ὕστερον διοριστέον· οὐ γὰρ ἴσως ταὐτὸν ἀνδρί τε ἀγαθῷ εἶναι, καὶ πολίτῃ παντί. Τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου ἓν μέν ἐστιν εἶδος, τὸ ἐν ταῖς διανομαῖς, ἢ τιμῆς, ἢ χρημάτων, ἢ τῶν ἄλλων, ὅσα μεριστὰ τοῖς κοινωνοῦσι τῆς πολιτείας· ἐν τούτοις γάρ ἐστι καὶ ἄνισον ἔχειν, καὶ ἴσον ἕτερον ἑτέρου· ἓν δὲ, τὸ ἐν τοῖς συναλλάγμασι διορθωτικόν. Τούτου δὲ μέρη δύο· τῶν γὰρ συναλλαγμάτων τὰ μὲν ἑκούσιά ἐστι, τὰ δὲ ἀκούσια. Ἑκούσια μὲν τὰ τοιάδε, οἷον πρᾶσις, ὠνὴ, δανεισμὸς, ἐγγύη, χρῆσις, παρακαταθήκη, μίσθωσις· ἑκούσια δὲ λέγεται, ὅτι ἡ ἀρχὴ τῶν συναλλαγμάτων τούτων, ἑκούσιος. Τῶν δ' ἀκουσίων τὰ μὲν λαθραῖα, οἷον κλοπὴ, μοιχεία, φαρμακεία, [k] προαγωγεία, δουλαπατεία, δολοφονία, ψευδο-

[h] Γρ. περὶ παιδείας τῆς πρὸς τὸ κοιν. quam lectionem Muretus approbat. [i] Polit. lib. iii. cap. 4. [k] Προαγωγὴ in Eud.

quæ legibus de disciplina ad rempublicam utili comprehensa, descripta et constituta sunt. Sed de disciplina quidem cujusque privata, qua quis absolute vir bonus est, utrum sit prudentiæ civilis, an alius facultatis, præcipere, posterius erit disputandum: non est enim fortassis idem, virum bonum esse, et bonum civem, in quovis administrandæ reipublicæ genere. Ejus autem justitiæ, quæ ut pars subjecta generi est, jurisque ejus, quod ei consentaneum est, una species est, quæ in distributione vel honoris, vel pecuniæ, vel aliarum rerum, quæ inter eos dividi possunt, qui ejusdem reipublicæ communione inter se conjuncti sunt, versatur; in his enim est, ut alter cum altero et æquum et iniquum consequatur: altera, quæ in rebus contrahendis vim corrigendi atque emendandi habet. Hujus porro duæ sunt partes: contractuum enim alii sponte nostra, alii nobis invitis fiunt. Sponte fiunt, exempli causa, hi, venditio, emptio, mutuum, fidejussio, commodatum, depositum, locatio et conductio: dicuntur vero sponte fieri, quia horum contractuum principium nostra sponte instituitur. Eorum autem, qui nobis invitis fiunt, alii sunt clandestini, ut furtum, adulterium, veneficium,

μαρτυρία· τὰ δὲ βίαια, οἷον αἰκία, δεσμὸς, θάνατος, ἁρπαγὴ, πήρωσις, κακηγορία, προπηλακισμός.

ΚΕΦ. γʹ.

ΕΠΕΙ δ᾽ ὅ, τε ἄδικος ἄνισος, καὶ τὸ ἄδικον ἄνισον, δῆλον ὅτι καὶ μέσον τί ἐστι τοῦ ἀνίσου· τοῦτο δ᾽ ἐστὶ τὸ ἴσον· ἐν ὁποίᾳ γὰρ πράξει ἐστὶ τὸ πλέον καὶ τὸ ἔλαττον, ἐστὶ καὶ τὸ ἴσον. Εἰ οὖν τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον· ὅπερ καὶ ἄνευ λόγου δοκεῖ πᾶσιν. Ἐπεὶ δὲ τὸ ἴσον μέσον, [l]τὸ δίκαιον μέσον τι ἂν εἴη. Ἔστι δὲ τὸ ἴσον ἐν ἐλαχίστοις δυσίν· ἀνάγκη τοίνυν τὸ δίκαιον, μέσον τε καὶ ἴσον, εἶναι καὶ πρός τι, καί τισι· καὶ ᾗ μὲν μέσον, τινῶν· ταῦτα δ᾽ ἐστὶ πλεῖον καὶ ἔλαττον· ᾗ δὲ ἴσόν ἐστι, [m]δυοῖν· ᾗ δὲ δίκαιον, [n]τισίν. Ἀνάγκη ἄρα τὸ δίκαιον ἐν ἐλαχίστοις εἶναι τέτταρσιν· οἷς τε γὰρ δίκαιον τυγχάνει ὂν, δύο ἐστὶ, καὶ ἐν οἷς τὰ πράγματα, δύο. Καὶ ἡ αὐτὴ ἔσται

[l] Καὶ τὸ δίκ. Eud. [m] Γρ. ἐν δυσί. [n] Lege τισὶ καὶ πρός τινας. Græcus Interpres: τὸ δέ τισι καὶ πρός τινας, ἐκ παραλλήλου κεῖται ταὐτὸν σημαῖνον. Vet. Interp. ita legit, et hoc amplius addit: πρὸς ἄλλους γάρ ἐστι. Casaub.

lenocinium, servi alieni deceptio aut corruptio, cædes dolo commissa, falsum testimonium: alii sunt violenti, ut verbera, vincula, mors, rapina, debilitatio corporis, maledicentia, contumelia.

CAP. III.

QUONIAM autem et injustus iniquus, et injuria iniquitas est; perspicuum est, aliquod esse etiam ejus, quod iniquum est, medium: hoc autem est æquum seu æquale: in quacunque enim actione plus est et minus, in ea æquum quoque seu æquale reperitur. Si igitur injuria est iniquitas seu inæqualitas, jus erit æqualitas: quod, etiamsi ratio cur ita sit non afferatur, ita videtur omnibus. Quoniam autem æquale medium est: jus quoque medium quoddam erit. Atque æquale quidem in duobus minimum reperitur: quare necesse est jus, quod et medium est et æquale, et ad aliquid referri, et quibusdam jus esse: ac qua medium est, aliquorum est, quæ quidem sunt plus et minus: qua æquale, in duobus consistit: qua jus, aliquibus est jus. Necessario igitur jus in quatuor minimum versatur: nam et quibus ut sit jus accidit, duo sunt, et in quibus jus ipsum situm est, res duæ. At-

ἰσότης, οἷς, καὶ ἐν οἷς· ὡς γὰρ ἐκεῖνα ἔχει τὰ ἐν οἷς, οὕτω [o] κἀκεῖνα ἔχει· εἰ γὰρ μὴ ἴσοι, οὐκ ἴσα ἕξουσιν. Ἀλλ' ἐντεῦθεν αἱ μάχαι καὶ τὰ ἐγκλήματα, [p] ὅταν ἢ ἴσοι μὴ ἴσα, ἢ μὴ ἴσοι ἴσα [q] ἔχωσι καὶ νέμωνται. Ἔτι ἐκ τοῦ κατ' ἀξίαν τοῦτο δῆλον· τὸ γὰρ δίκαιον ἐν ταῖς [r] διανομαῖς ὁμολογοῦσι πάντες κατ' ἀξίαν τινὰ δεῖν εἶναι. Τὴν μέν τοι ἀξίαν οὐ τὴν αὐτὴν λέγουσι πάντες ὑπάρχειν· ἀλλ' οἱ μὲν δημοκρατικοὶ ἐλευθερίαν, [s] οἱ δ' ὀλιγαρχικοὶ, οἱ μὲν πλοῦτον, οἱ δ' εὐγένειαν· οἱ δ' ἀριστοκρατικοὶ ἀρετήν. Ἔστιν ἄρα τὸ δίκαιον, ἀνάλογόν τι· τὸ γὰρ ἀνάλογον οὐ μόνον ἐστὶ μοναδικοῦ ἀριθμοῦ ἴδιον, ἀλλ' ὅλως ἀριθμοῦ· ἡ γὰρ ἀναλογία ἰσότης ἐστὶ [t] λόγου, καὶ ἐν τέτταρσιν ἐλαχίστοις. Ἡ μὲν οὖν διῃρημένη, ὅτι ἐν τέτταρσι, δῆλον· ἀλλὰ καὶ ἡ συνεχής· τῷ γὰρ ἑνὶ ὡς δυσὶ χρήσεται, καὶ δὶς λέγει· οἷον ὡς ἡ τοῦ α πρὸς τὴν τοῦ β, οὕτως καὶ ἡ τοῦ β πρὸς

[o] Κἀκεῖνα ἔχει τὰ οἷς Bas. [p] Ὅταν οἱ ἴσοι in Eud. [q] Γρ. ἔχουσι καὶ νέμονται. [r] Γρ. νομαῖς. [s] Οἱ δ' ὀλιγ. πλοῦτον, οἱ δ' ἀριστ. in Eud. [t] Γρ. λόγων.

que eadem erit æqualitas, et eorum, quibus jus tribuitur, et earum rerum, in quibus jus consistit: nam ut res illæ, in quibus jus positum est, se habent, sic et illi, quibus jus tribuitur: nisi enim sint æquales, non habebunt æqualia. Sed hinc prælia, querelæque et expostulationes, cum aut æquales non æqualia, aut non æquales æqualia consequuntur atque obtinent. Præterea ex eo, quod cuique pro sua dignitate tribuitur, hoc perspicuum est: nam quod jus in distributionibus positum est, id fatentur omnes pro cujusque dignitate esse oportere. Verum dignitatem non eandem omnes dicunt esse: sed qui forma reipublicæ administrandæ populari utuntur, libertatem: eorum, qui paucorum principatu, alii divitias, alii nobilitatem generis: ii autem, apud quos reipublicæ præsunt optimates, virtutem. Jus igitur proportione et comparatione quadam constat: non enim solum ejus numeri, quo aliquid numeramus, proprium est, proportione constare; sed etiam ejus, qui universe et omnino numerus est: proportio enim rationis est æqualitas, quæ in quatuor minimum reperitur. Disjunctam igitur proportionem in quatuor consistere non obscurum est: similiterque continuatam, seu continentem: hæc enim loco duorum, uno utetur, et bis unum sumet: exempli gratia, quæ proportio est primæ li-

τὴν τοῦ γ· δὶς οὖν ἡ τοῦ β εἴρηται. Ὥςε ἂν ἡ τοῦ β τεθῇ δὶς, τέτταρα ἔσται τὰ ἀνάλογα. Ἔστι δὲ καὶ τὸ δίκαιον ἐν τέτταρσιν ἐλαχίστοις, ϗ ὁ λόγος ὁ αὐτός· [u] διῄρηνται γὰρ ὁμοίως, [x] οἷς τε, καὶ ἅ. Ἔσται ἄρα ὡς ὁ α ὅρος πρὸς τὸν β, οὕτως ὁ γ πρὸς τὸν δ· ϗ ἐναλλὰξ ἄρα, ὡς ὁ α πρὸς τὸν γ, ὁ β πρὸς τὸν δ. Ὥστε ϗ τὸ ὅλον πρὸς τὸ ὅλον, ὅπερ ἡ νομὴ συνδυάζει· κἂν οὕτως συντεθῇ, δικαίως συνδυάζει. Ἡ ἄρα τοῦ α ὅρου τῷ γ, ϗ ἡ τοῦ β τῷ δ σύζευξις, τὸ ἐν διανομῇ δίκαιόν ἐστι· [y] καὶ μέσον τὸ δίκαιον, τουτέστι τοῦ παρὰ τὸ ἀνάλογον· τὸ γὰρ ἀνάλογον, μέσον· τὸ δὲ δίκαιον, ἀνάλογον. Καλοῦσι δὲ τὴν τοιαύτην ἀναλογίαν γεωμετρικὴν οἱ μαθηματικοί· ἐν γὰρ τῇ γεωμετρικῇ συμβαίνει καὶ τὸ ὅλον πρὸς τὸ ὅλον, ὅπερ ἑκάτερον πρὸς ἑκάτερον. Ἔστι δ' οὐ συνεχὴς αὕτη ἡ ἀναλογία·

[u] Διῄρηνται in Eud. [x] Οἷς τε νέμεται καὶ ἃ νέμεται Cam. [y] Hic locus pridem corruptus fuit. Vet. Interp. ita legit: καὶ μέσον τὸ δίκαιον τοῦτ' ἔστι· τὸ δ' ἄδικον, παρὰ τὸ ἀνάλ. Argyr. καὶ μέσον τοῦτ' ἔστι τοῦ παρὰ ἀνάλ. optime: nam quod MSS. quidam habent τοῦτ' ἔστι τοῦ πλείονος καὶ τοῦ ἐλάττονος, παρὰ τὸ ἀνάλ. glossa est ex Græco commentario deprompta. *Casaub.* Nostri MSS. eodem modo legunt, quo edidimus, nisi quod habent τὸ pro τοῦ ante παρὰ, ut est in Eud. ad oram CCC. γρ. τοῦ ἀδίκου, quod Lambinus inserit post δίκαιον, minime necessarium est.

neæ ad secundam, eadem secundæ ad tertiam: bis igitur secunda sumpta est. Quare si linea secunda bis posita fuerit, quatuor erunt proportione inter se comparata. Est autem et jus minimum in quatuor, eademque ejus ratio est: disjuncti sunt enim similiter et ii, quibus jus tribuitur, et eæ res, quæ distribuuntur. Itaque quæ erit extremi A ad extremum B proportio, eadem extremi C ad extremum D: alterna igitur ratione, ut extremum A ad extremum C, sic B ad D. Ergo et totum cum toto comparabitur, idque distributio copulat: et vero si ita inter se componantur, juste copulat. Extremi igitur A cum extremo C, et extremi B cum extremo D conjugatio, jus illud est, quod in distributione consistit: et jus est injuriæ medium, id est, ejus rei, quæ a proportione remota atque aversa est: nam quod proportione constat, medium est: jus autem proportione constat. Appellant porro mathematici talem proportionem, geometricam: in geometrica enim proportione evenit, ut, quomodo utrumque cum utroque, sic totum cum toto comparetur. Non est autem continens hæc propor-

οὐ γὰρ γίνεται [y] εἷς ἀριθμῷ ὅρος, ᾧ καὶ ὅ. Τὸ μὲν οὖν δίκαιον τοῦτο, ἀνάλογον· τὸ δ' ἄδικον, τὸ παρὰ τὸ ἀνάλογον· γίνεται ἄρα τὸ μὲν πλέον, τὸ δὲ ἔλαττον. Ὅπερ καὶ ἐπὶ τῶν ἔργων συμβαίνει· ὁ μὲν γὰρ ἀδικῶν, πλεῖον ἔχει· ὁ δ' ἀδικούμενος, [z] ἔλαττον τοῦ ἀγαθοῦ. Ἐπὶ δὲ τοῦ κακοῦ, ἀνάπαλιν· ἐν ἀγαθοῦ γὰρ λόγῳ γίνεται τὸ ἔλαττον κακὸν, πρὸς τὸ μεῖζον κακόν· ἔστι γὰρ τὸ ἔλαττον κακὸν μᾶλλον αἱρετὸν τοῦ μείζονος· τὸ δ' αἱρετὸν ἀγαθόν· καὶ τὸ μᾶλλον, μεῖζον. Τὸ μὲν οὖν ἓν εἶδος τοῦ δικαίου τοῦτ' ἔστι.

ΚΕΦ. δ'.

ΤΟ δὲ λοιπὸν ἓν, τὸ διορθωτικὸν, ὃ γίνεται ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἑκουσίοις, καὶ τοῖς ἀκουσίοις. Τοῦτο δὲ τὸ δίκαιον ἄλλο εἶδος ἔχει τοῦ προτέρου· [a] τὸ μὲν γὰρ διανεμη-

[y] Ἰσάριθμος pro εἷς ἀριθμῷ in Eud. [z] Ἔλαττον ἐπὶ τοῦ ἀγαθοῦ in Eud. [a] Τὸ μὲν γὰρ διανεμητικὸν δίκαιον ἀπὸ τῶν κοινῶν εἰς τοὺς πολίτας ποιούμενον τὴν διανομὴν, ἀναλόγως ἑκάστῳ δίδωσι κατὰ τὴν ἀξίαν ἑκάστου, καὶ τὴν εἰσφορὰν, ἣν εἰς τὸ κοινὸν συνετέλεσεν· ἐπεὶ οὐ πάντες ὅμοιοι, οὐδὲ πάντες ὁμοίως εἰσφέρουσιν· ὅθεν οὐ τὰ ἴσα, ἀλλὰ τὰ ἀνάλογα δέχονται. *Cum enim distributivum jus aliquid ex publicis distribuat in cives, servata proportione pro dignitate singulis distribuit, et prout quisque aliquid contulit in publicum, quia neque similes sunt omnes, nec similiter conferunt: unde fit ut neque accipiant æqualia, sed pro proportione tantum.* Andr.

tio: non enim fit extremum unum numero is, cui tribuitur, et res, quæ tribuitur. Ex his igitur satis intelligitur hoc jus proportione constare; injuriam autem a proportione alienam atque aversam esse: quo fit, ut alterum sit plus, alterum minus. Quod quidem etiam in factis reperitur: nam is, qui injuriam facit, plus boni sibi sumpsit ac vendicavit, quam oportet; ei, qui afficitur injuria, minus boni obtigit. Contra fit in malo: boni enim rationem obtinet levius malum, si cum graviore malo comparetur; nam levius malum optabilius graviore est: at quod optabile et expetendum est, id bonum est: et quo quidque optabilius est, eo majus bonum est. Atque hoc sane juris unum genus est.

CAP. IV.

RELIQUUM autem alterum est id, quod ad corrigendum et emendandum valet, versaturque in rebus et sponte et invite contractis. Hujus autem juris forma alia est a priore: jus enim, quod in distribuendis rebus com-

τικὸν δίκαιον τῶν κοινῶν ἀεὶ κατὰ τὴν ἀναλογίαν ἐστὶ τὴν εἰρημένην· καὶ γὰρ ἀπὸ χρημάτων κοινῶν, ἐὰν γίγνηται ἡ διανομὴ, ἔσται κατὰ τὸν λόγον τὸν αὐτὸν, ὅν περ ἔχουσι πρὸς ἄλληλα τὰ [b] εἰσενεχθέντα· καὶ τὸ ἄδικον, τὸ ἀντικείμενον τῷ δικαίῳ τούτῳ, παρὰ τὸ ἀνάλογόν ἐστι. Τὸ δ' ἐν τοῖς συναλλάγμασι δίκαιον, ἐστὶ μὲν ἴσόν τι, καὶ τὸ ἄδικον, ἄνισον· ἀλλ' οὐ κατὰ τὴν ἀναλογίαν ἐκείνην, ἀλλὰ κατὰ τὴν ἀριθμητικήν· οὐθὲν γὰρ διαφέρει, εἰ ἐπιεικὴς φαῦλον ἀπεστέρησεν, ἢ φαῦλος ἐπιεικῆ· οὐδ' εἰ ἐμοίχευσεν ἐπιεικὴς ἢ φαῦλος· ἀλλὰ πρὸς τοῦ βλάβους τὴν διαφορὰν μόνον βλέπει ὁ νόμος, καὶ χρῆται ὡς ἴσοις, εἰ ὁ μὲν ἀδικεῖ, ὁ δ' ἀδικεῖται· καὶ εἰ ὁ μὲν ἔβλαψεν, ὁ δὲ [c] βέβλαπται. Ὥστε τὸ ἄδικον τοῦτο, ἄνισον ὂν, ἰσάζειν πειρᾶται ὁ δικαστής· καὶ γὰρ ὅταν ὁ μὲν πληγῇ, ὁ δὲ πατάξῃ, ἢ καὶ κτείνῃ, ὁ δ' ἀποθάνῃ, διῄρηται τὸ πάθος καὶ ἡ πρᾶξις εἰς ἄνισα· ἀλλὰ πειρᾶται τῇ ζημίᾳ ἰσάζειν, ἀφαιρῶν τοῦ κέρδους. Λέγεται γὰρ, ὡς ἁπλῶς εἰπεῖν,

[b] Προσενεχθέντα El. [c] Γρ. βλάπτεται.

munibus vertitur, semper ea, quam dixi, proportione constat: nam si pecuniæ communis distributio fiat, eadem ratione utendum erit, quam habent inter se res eæ quæ ab unoquoque in medium allatæ sunt: eaque injuria, quæ huic juri opponitur, a proportione remota atque aversa est. Jus autem, quod in contractibus versatur, est illud quidem æquale quiddam; et injuria, inæquale: verum non illa proportione, sed arithmetica: nihil enim refert, utrum vir bonus malum hominem fraudarit, an malus homo virum bonum: neque utrum vir bonus, an malus homo adulterium fecerit: sed damni tantum differentiam intuetur lex, iisque utitur tanquam æqualibus, faciatne hic injuriam, ille injuria afficiatur: et an hic damnum intulerit, ille acceperit. Itaque hanc injuriam, quæ inæqualitas est, judex exæquare conatur: nam cum hic percussus fuerit, ille percusserit, aut etiam occiderit, hic autem mortuus sit: perpessio et actio in partes inæquales divisa est: sed damno et mulcta conatur judex exæquare, de lucro detrahens. Nam, ut semel et simpliciter dicam, in talibus, etiamsi qui-

ἐπὶ τοῖς τοιούτοις, κἂν εἰ μή τισιν οἰκεῖον ὄνομα εἴη, τὸ κέρδος, οἷον τῷ πατάξαντι, καὶ ἡ ζημία τῷ παθόντι· ἀλλ' ὅταν γε μετρηθῇ τὸ πάθος, καλεῖται τὸ μὲν ζημία, τὸ δὲ κέρδος. Ὥστε τοῦ μὲν πλείονος καὶ τοῦ ἐλάττονος τὸ ἴσον, μέσον. Τὸ δὲ κέρδος καὶ ἡ ζημία, τὸ μὲν πλέον, τὸ δ' ἔλαττον ἐναντίως· τὸ μὲν, τοῦ ἀγαθοῦ πλέον, [d] τοῦ κακοῦ δὲ ἔλαττον, κέρδος, τὸ δ' ἐναντίον, ζημία· ὧν ἦν μέσον τὸ ἴσον, ὃ λέγομεν εἶναι δίκαιον. Ὥστε τὸ μὲν ἐπανορθωτικὸν δίκαιον ἂν [e] εἴη, τὸ μέσον ζημίας καὶ κέρδους. Διὸ καὶ ὅταν ἀμφισβητῶσιν, ἐπὶ τὸν δικαστὴν καταφεύγουσι· τὸ δ' ἐπὶ τὸν δικαστὴν ἰέναι, ἰέναι ἐστὶ ἐπὶ τὸ δίκαιον· ὁ γὰρ δικαστὴς βούλεται εἶναι οἷον δίκαιον ἔμψυχον· καὶ ζητοῦσι δικαστὴν μέσον· καὶ καλοῦσιν ἔνιοι [f] μεσιδίους, ὡς ἐὰν τοῦ μέσου τύχωσι, τοῦ δικαίου τευξόμενοι. Μέσον ἄρα τι τὸ δίκαιον, εἴ περ καὶ ὁ δικαστής. Ὁ δὲ δικαστὴς ἐπανισοῖ, καὶ ὥσπερ γραμμῆς εἰς ἄνισα τετμημένης, ᾧ τὸ μεῖζον

[d] Γρ. τὸ δὲ τοῦ κακοῦ ἔλαττ. [e] Γρ. δοκεῖ εἶναι. [f] Γρ. μεσοδίκους, male: nam μεσιδίους agnoscit Hesych. et Aristoteles Polit. lib. v. cap. 6. ea voce utitur. Exstat etiam apud Phrynichum vox μεσιδιωθῆναι. *Casaub.*

busdam nomen non conveniat, lucrum appellatur, verbi gratia, in eo, qui percusserit; in eo qui percussus fuerit damnum: sed cum perpessionem mensus fuerit judex, hoc damnum, illud lucrum nominatur. Itaque eorum quidem, quæ sunt plus et minus, æquale est medium. Lucrum autem et damnum, illud quidem plus est, hoc autem minus, contrarie: boni plus, et minus mali, lucrum: contrarium, damnum: quorum medium esse æquale modo demonstrabamus, id, quod jus esse dicimus. Erit igitur id jus, quod ad corrigendum et emendandum valet, damni et lucri medium. Itaque et cum aliqua de re inter se ambigunt, ad judicem confugiunt: adire autem ad judicem, adire ad jus est: nihil enim videtur aliud esse judex, quam jus animatum: quæruntque judicem medium: et vocant eos nonnulli μεσιδίους, id est, medium dividentes, seu medium adjudicantes: proinde quasi facile futurum sit, ut jus suum obtineant, si medium consequantur. Jus ergo medium quiddam est, siquidem etiam judex medius est. Ac judex quidem exæquat, et veluti linea in duas partes inæquales secta, quo major pars dimidiam superat, hoc de illa de-

τμῆμα τῆς ἡμισείας ὑπερέχει, τοῦτ' ἀφεῖλε, καὶ τῷ ἐλάττονι τμήματι προσέθηκεν· ὅταν δὲ δίχα διαιρεθῇ τὸ ὅλον, τότε φασὶν ἔχειν τὸ αὑτοῦ, ὅταν λάβωσι τὸ ἴσον. Τὸ δ' ἴσον μέσον ἐστὶ τοῦ μείζονος καὶ ἐλάττονος κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. Διὰ τοῦτο καὶ ὀνομάζεται δίκαιον, ὅτι δίχα ἐστὶν, ὥσπερ ἂν εἴ τις εἴποι δίχαιον, καὶ ὁ δικαστὴς, διχαστής· ἐπὰν γὰρ δύο ἴσων ἀφαιρεθῇ ἀπὸ θατέρου, πρὸς θάτερον δὲ προστεθῇ, δυσὶ τούτοις ὑπερέχει τὸ ἕτερον· εἰ γὰρ ἀφῃρέθη μὲν, μὴ προσετέθη δὲ, ἑνί γ' ἂν μόνον ὑπερεῖχε· τοῦ μέσου ἄρα ἑνὶ καὶ τὸ μέσον τὸ ἀφ' οὗ ἀφῃρέθη, ἑνί. Τούτῳ ἄρα γνωριοῦμεν, τί τε ἀφελεῖν δεῖ ἀπὸ τοῦ πλέον ἔχοντος, καὶ τί προσθεῖναι τῷ ἔλαττον ἔχοντι· ᾧ μὲν γὰρ τὸ μέσον ὑπερέχει, τοῦτο προσθεῖναι δεῖ τῷ ἔλαττον ἔχοντι· ᾧ δ' ὑπερέχεται, ἀφελεῖν ἀπὸ τοῦ μεγίστου. Ἴσαι αἱ ἐφ' ὧν, αα, ββ, γγ, ἀλλήλαις· ἀπὸ τῆς αα ἀφῃρήσθω τὸ αε, καὶ προσκείσθω τῇ γγ, τὸ ἐφ' ὧν γδ· ὥστε ὅλη ἡ δγγ, τῆς αε ὑπερέχει τῷ γδ, καὶ τῷ γζ· τῆς ἄρα

trahit, et ad partem minorem addit: toto autem in duas partes æquales diviso, tum se suum dicunt obtinere, cum partes æquales abstulerint. Est autem æquale medium rei majoris et minoris, proportione arithmetica. Propterque hanc adeo causam jus a Græcis δίκαιον appellatur, quia δίχα ἐστὶν, id est, in duo æqualia divisum est, proinde ac si quis dixerit δίχαιον: et δικαστὴς nominatus est, quasi διχαστὴς, quæ vox eum significaret, qui rem in duas partes æquales secat: nam si cum duæ res sint æquales, id quod ab uno fuerit detractum, addatur alteri, his duobus hæc illam superabit: si enim detractum quidem uni rei fuisset, non autem etiam alteri additum, uno duntaxat altera alteram superaret: mediam igitur ea res, cui accessit aliquid, uno superat; et media, eam, cui quippiam detractum est, uno. Ex hoc itaque cognoscemus et quid ei, qui plus habet, detrahendum sit: et quid ei, qui minus, addendum: nam quo res media minorem superat, id ei, quæ minus habet, addendum est: quo media superatur, id maximæ detrahendum. Sint tres lineæ, AA, BB, CC, inter se æquales: lineæ AA detracta sit pars AE, addaturque ad lineam CC: sitque ea pars, CD: ita tota linea DCC lineam AE superabit linea CD, et linea CF: ergo et lineam BB, linea

ββ, τῷ γδ.

α ε α
β β
γ ζ γ δ

[g] Ἔστι δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν τοῦτο· ἀνῃροῦντο γὰρ ἄν, εἰ μὴ ἐποίει τὸ ποιοῦν καὶ ὅσον καὶ οἷον, καὶ τὸ πάσχον ἔπασχε τοῦτο, καὶ τοσοῦτο, καὶ τοιοῦτο. Ἐλήλυθε [h] δὲ τὰ ὀνόματα ταῦτα, ἥ τε ζημία καὶ τὸ κέρδος, ἐκ τῆς ἑκουσίου ἀλλαγῆς· τὸ μὲν γὰρ πλέον ἔχειν, ἢ τὰ ἑαυτοῦ, κερδαίνειν λέγεται, τὸ δ' ἔλαττον τῶν ἐξ ἀρχῆς, ζημιοῦσθαι· οἷον ἐν τῷ πωλεῖν καὶ ὠνεῖσθαι, καὶ ἐν ὅσοις ἄλλοις ἄδειαν [i] ἔδωκεν ὁ νόμος. Ὅταν δὲ μήτε πλέον, μήτ' ἔλαττον, ἀλλὰ αὐτὰ δι' αὐτῶν γένηται, τὰ αὐτῶν φασιν ἔχειν, καὶ οὔτε ζημιοῦσθαι, οὔτε κερδαίνειν. Ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον τὸ δίκαιόν ἐστι τῶν παρὰ τὸ ἑκούσιον, [k] τὸ ἴσον ἔχειν καὶ πρότερον καὶ ὕστερον.

[g] Hanc periochen, quæ tota occurrit in sequenti capite, hic in alieno loco positam esse judicat Muretus. Ab Andronico vero et Mich. Ephes. hic agnoscitur, in sequenti autem capite, non. [h] Δὶ καὶ τὰ C C C. et Ven. 1. [i] Δίδωσιν El. et C C C. [k] Hic locus alioqui obscurus clare vertitur a nostro interprete, et ex sententia Mich. Eph. qui sic explicat: τοῦτο γάρ ἐστι δίκαιον τὸ ἔχειν τοσοῦτον ὕστερον, ὅσον εἶχε καὶ πρότερον πρὸ τοῦ ἀδικηθῆναι. Alii τῷ ἔχειν legunt; alii vero, ut CD.

A E A
B B
C F C D

Hoc autem inest etiam in aliis artibus: tollerentur enim et conciderent, nisi quantum et quale, id, quod efficiendi vim habet, efficit, tantundem et tale perpeteretur id, quod patitur. Nata autem et translata sunt hæc nomina, damnum et lucrum, ab eo contractu, qui sponte initur: nam plus suo obtinere, lucrum facere appellatur: minus autem, quam quod initio suppetebat, habere, damno affici: ut fit in rebus vendendis et emendis, aliisque contractibus, in quibus per legem licet impune suis rationibus consulere, lucrumque facere. Ubi vero neque plus neque minus habent, sed paria paribus respondent, tunc se sua dicunt habere, et neque damnum accepisse, neque quicquam lucri fecisse. Itaque lucri cujusdam et damni, quæ non sponte, sed præter voluntatem obvenerint, medium, jus est: ut tantundem uterque eorum, qui contrahunt, habeat posterius, quantum prius habuit.

ΚΕΦ. ε'.

ΔΟΚΕΙ δέ τισι καὶ τὸ ἀντιπεπονθὸς εἶναι ἁπλῶς δίκαιον, ὥσπερ οἱ Πυθαγόρειοι ἔφασαν· ὡρίζοντο γὰρ ἁπλῶς τὸ δίκαιον τὸ ἀντιπεπονθὸς ἄλλῳ. [l]Τὸ δ' ἀντιπεπονθὸς οὐκ ἐφαρμόττει, οὔτ' ἐπὶ τὸ διανεμητικὸν δίκαιον, οὔτ' ἐπὶ τὸ διορθωτικόν· καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ Ῥαδαμάνθυος δίκαιον·

[m]Εἴκε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο·

πολλαχοῦ γὰρ διαφωνεῖ· οἷον εἰ ἀρχὴν ἔχων ἐπάταξεν, οὐ δεῖ ἀντιπληγῆναι· καὶ εἰ ἄρχοντα ἐπάταξεν, οὐ πληγῆναι μόνον δεῖ, ἀλλὰ καὶ κολασθῆναι. Ἔτι τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον διαφέρει πολύ. Ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις ταῖς ἀλλακτικαῖς συνέχει τὸ τοιοῦτον δίκαιον τὸ ἀντιπεπονθὸς κατ' ἀνα-

testatur Lambinus, τῷ παρὰ τὸ ἑκούσιον ἴσον ἔχειν καὶ πρότερον καὶ ὕστερον. cujus lectionis hanc sententiam esse dicunt: lucri cujusdam et damni hoc jus medium est, ut nisi aliter ipsorum voluntate convenerit, tantundem posterius habeant, quantum prius habuerunt. [l] Τὸ δ' ἀντιπεπονθὸς οὐκ ἐφαρμόττει, οὔτε ἐπὶ τὸ νόμιμον, οὔτε ἐπὶ τὸ πολιτικόν· πολιτικὸν δὲ λέγω τὸ κοινωνικὸν, quæ inseruntur in El. Bas. Ven. 1. et 2. inter ἄλλῳ et τὸ δ' ἀντιπεπ. omnino superflua videntur. [m] Hunc versum Hesiodi esse ait Mich. Ephes.

CAP. V.

VIDETUR autem quibusdam Talio quoque, id est, reciproca quædam perpessio, jus esse simpliciter, et absolute, quemadmodum Pythagorei dixerunt: definiebant enim jus absolute, id, quod quis a se factum, vicissim ab altero pateretur, id est, talionem, seu mutuam perpessionem. Jus talionis vero neque ad id jus, quod in distributione bonorum versatur, neque ad id, quod ad emendationem factorum valet, accommodari potest: quamvis jus Rhadamanthi hoc fuisse videntur significare,

Si quis, quod fecit, patiatur, jus erit æquum:

multis enim locis a jure dissidet ac discrepat: veluti si quis magistratum gerens, aliquem pulsaverit, non est referiendus: et si quis eum, qui magistratum gerat, pulsaverit, non modo verberandus, sed etiam castigandus est. Præterea permultum interest inter id, quod sponte nostra, et id, quod invite facimus. Sed in communitatibus rerum contrahendarum ac permutandarum sane tale jus, quod reciprocam perpessionem, seu ta-

λογίαν, καὶ μὴ κατ' ἰσότητα. Τῷ ἀντιποιεῖν γὰρ ἀνάλογον συμμένει ἡ πόλις· ἢ γὰρ τὸ κακῶς ζητοῦσιν· εἰ δὲ μὴ, δουλεία δοκεῖ εἶναι, [n]εἰ μὴ ἀντιποιήσει· ἢ τὸ εὖ· εἰ δὲ μὴ, μετάδοσις οὐ γίνεται· τῇ μεταδόσει δὲ συμμένουσι. Διὸ καὶ Χαρίτων ἱερὸν ἐμποδὼν ποιοῦνται, ἵνα ἀνταπόδοσις ᾖ· τοῦτο γὰρ χάριτος ἴδιον· ἀνθυπηρετῆσαι γὰρ δεῖ τῷ χαρισαμένῳ, καὶ πάλιν αὐτὸν ἄρξαι χαριζόμενον. Ποιεῖ δὲ τὴν ἀντίδοσιν [o]τὴν κατὰ ἀναλογίαν ἡ κατὰ διάμετρον σύζευξις· οἷον οἰκοδόμος ἐφ' ᾧ α, σκυτοτόμος ἐφ' ᾧ β, οἰκία ἐφ' ᾧ γ, ὑπόδημα ἐφ' ᾧ δ.

α	β
οἰκοδόμος	σκυτοτόμος
γ	δ
οἰκία	ὑπόδημα.

Δεῖ οὖν λαμβάνειν τὸν οἰκοδόμον παρὰ τοῦ σκυτοτόμου [p]τὸ ἐκείνου ἔργον, καὶ αὐτὸν ἐκείνῳ [q]μεταδιδόναι τὸ αὐτοῦ. Ἐὰν

[n] Εἰ μὴ ἀντιποιήσει deleo, ut inculcatum ab aliquo, qui declarare voluerit illud Aristotelis, εἰ δὲ μή· abest autem etiam a quibusdam veteribus libris. *Mur.*
[o] Τῆς ἀναλογίας ad oram C C C. [p] Τοῦ ἐκείνου ἔργου Ven. 1. et 2. τὸ ἐκείνου ἔργου Mur. [q] Μεταδιδόναι τοῦ αὐτοῦ legit Cam. ut apud Xenoph. est τοῦ βάρους μεταδι-

lionem nominant, proportione, non æqualitate civilem societatem continet. Factis enim proportione reciprocis, manet conjunctio civitatis: aut enim malum acceptum reponere conantur (quod si non liceat, servitus esse videtur, injuriam referre non posse) aut ei, qui bene meritus sit, referre gratiam volunt: quod si non fiat, sublata est rerum communicatio et officiorum quasi mutuatio: at rerum communicatione officiorumque mutuatione, societas et conjunctio civium manet. Itaque et Gratiarum templum in propatulo urbis loco constituitur, ut sit remuneratio: hoc enim gratiæ proprium est: nam ei, qui beneficium dederit, referendum beneficium est; et is rursus alterum beneficio provocare debet. Facit autem remunerationem proportione constantem ea, quæ mediis transversis lineis fit, conjugatio: exempli causa, sit ædificiorum opifex A, sutor B, domus C, calceus D.

A	B
Ædificiorum opifex	*Sutor*
C	D
Domus	*Calceus.*

Ædificiorum opificem igitur oportet a sutore opus illius sumere, eique vicissim suum impertiri. Ergo si primum

οὖν πρῶτον ᾖ τὸ κατὰ τὴν ἀναλογίαν ἴσον, εἶτα τὸ ἀντιπεπονθὸς γένηται, ἔσται τὸ λεγόμενον· εἰ δὲ μὴ, οὐκ ἴσον, οὐδὲ συμμένει· οὐθὲν γὰρ κωλύει κρεῖττον εἶναι τὸ θατέρου ἔργον, ἢ τὸ θατέρου. Δεῖ οὖν δὴ ταῦτα ἰσασθῆναι· [r]ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἀνῃροῦντο γὰρ ἂν, εἰ μὴ ἐποίει τὸ ποιοῦν, [s]ὅσον καὶ οἷον, καὶ τὸ πάσχον ἔπασχε [t]τοῦτο καὶ τοσοῦτον, καὶ τοιοῦτον. Οὐ γὰρ ἐκ δύο ἰατρῶν γίνεται κοινωνία, ἀλλ' ἐξ ἰατροῦ καὶ γεωργοῦ, καὶ ὅλως ἑτέρων, καὶ οὐκ ἴσων· ἀλλὰ τούτους δεῖ ἰσασθῆναι. Διὸ πάντα συμβλητὰ δεῖ πως εἶναι, ὧν ἐστιν ἀλλαγή. [u]Ἐφ' ὃ τὸ νόμισμ' ἐλήλυθε· καὶ γίνεταί πως [x]μέτρον· πάντα γὰρ μετρεῖ· ὥστε καὶ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν· πόσα ἄττα δὴ ὑποδήματα ἴσον οἰκίᾳ, ἢ τροφῇ. Δεῖ τοίνυν ὅπερ ὁ οἰκοδόμος πρὸς σκυτοτόμον, τοσαδὶ ὑποδήματα πρὸς οἰκίαν, ἢ τροφήν· εἰ γὰρ μὴ τοῦτο, οὐκ ἔσται ἀλλαγὴ, οὐδὲ

δόναι τοῖς φίλοις. Sed reperiuntur tamen et alterius scripturæ exempla: ut apud Aristoph. οὐδὲν μετίδωκεν ἐμοί. *Sylb.* [r] Ἔστι δὲ τοῦτο &c. usque ad διὸ πάντα συμβλητὰ non agnoscuntur ab Andronico. [s] Καὶ ὅσον καὶ οἷον El. [t] Τοῦτο redundare arbitratur Muretus. [u] Γρ. ἐφ' ᾧ. [x] Ita Bas. Muret. et Casaub. Vulgo μέσον.

æqualitas sit ea, quæ proportione constat, deinde reciproca perpessio seu talio fiat, (id est, tantundem accipiatur, quantum datum sit) exstabit id, quod a nobis dicitur: sin minus, neque erit æqualitas, neque manebit societas: nihil enim prohibet, quo minus unius opus alterius opere sit præstabilius. Hæc igitur exæquata sint oportet: quod idem fit in aliis artibus: tollantur enim funditus et concidant, nisi et quantum et quale id, quod efficiendi vim habet, efficit, tantundem et tale accipiat id, quod patitur. Non enim ex duobus medicis societas constare potest, sed ex medico et agricola, et omnino ex diversis et dissimilibus atque inæqualibus: quos tamen oportet exæquari. Quapropter quarum rerum sit permutatio, eas res oportet esse ejusmodi, ut inter se quodammodo comparari possint. Atque ad hanc rem nummus quæsitus et comparatus est, qui omnium rerum quodammodo sit medius, seu mensura: nam res omnes metitur: quare et nimium et parum metitur: quot igitur calcei domui, vel alimento sunt æquales. Oportet ergo, quam proportionem et comparationem habet ædificandi artifex ad sutorem, tot numero calceos cum domo aut alimento comparari: nam si hoc non ita

κοινωνία. Τοῦτο δ', εἰ μὴ ἴσα εἴη πως, οὐκ ἔσται. Δεῖ ἄρα ἑνί τινι πάντα μετρεῖσθαι, ὥσπερ ἐλέχθη πρότερον· τοῦτο δ' ἐστὶ τῇ μὲν ἀληθείᾳ ἡ χρεία, ἣ πάντα συνέχει· εἰ γὰρ μηθὲν δέοιντο, ἢ μὴ ὁμοίως, ἢ οὐκ ἔσται ἀλλαγὴ, ἢ οὐχ ἡ αὐτή. Οἷον δ' ὑπάλλαγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην· καὶ διὰ τοῦτο τοὔνομα ἔχει νόμισμα, ὅτι οὐ φύσει, ἀλλὰ νόμῳ ἐστὶ, καὶ ἐφ' ἡμῖν μεταβάλλειν καὶ ποιῆσαι ἄχρηστον. Ἔσται δὴ ἀντιπεπονθὸς, ὅταν ἰσασθῇ. Ὥστε ὅπερ γεωργὸς πρὸς σκυτοτόμον, τὸ ἔργον τοῦ σκυτοτόμου πρὸς τὸ τοῦ γεωργοῦ. Εἰς σχῆμα δὲ ἀναλογίας [y]δεῖ ἄγειν, ὅταν ἀλλάξωνται· εἰ δὲ μὴ, [z]ἀμφοτέρας ἕξει τὰς ὑπεροχὰς τὸ ἕτερον ἄκρον. [a]Ἀλλ' ὅταν ἔχωσι τὰ αὑτῶν, οὕτως ἴσοι καὶ κοινωνοὶ, ὅτι αὕτη ἡ

[y] Ita Argyr. Vet. Interp. Mur. et Cas. nostri vero οὐ ante δεῖ habent: quod omnino displicet: cum sequentibus enim parum convenit. [z] Verbi gratia, ædificator haberet excellentiam artis eam, qua sutori præstat ædificandi artifex: et excellentiam operis, qua domus calceo præstabilior est. Vel per *utramque excellentiam*, intellige plus et minus: plus, quia ædificiorum opifex sutore præstantior est opifex: minus, quia sutoris opus, quod ædificiorum opifici datur, ejus opere sit deterius. Vel plus laboris, quia plus laboris insumitur in domo facienda, quam in calceo conficiendo: et plus damni, quia cum calceus minoris pretii sit quam domus, si calceum pro domo acciperet, damno afficeretur. ὑπερβολὰς pro ὑπεροχὰς habet C C C. [a] *Ἀλλ' ὅταν ἀντιπεπονθότως ἔχωσι, τότε ἀλλαγὴ κυρίως καὶ κοινωνία γίνεται· cum reciproca vicissitudo accedit* (sc. cum quæ commutantur et

fiet, neque erit permutatio, neque communitas. Non poterunt autem comparari, nisi quodammodo sint æqualia. Ergo, quemadmodum supra dixi, unum quiddam esse oportet, quod cætera omnia metiatur: hoc autem re quidem vera usus seu indigentia est, quæ omnia continet: nam si nulla re egerent homines, aut si non similiter egerent: vel nulla, vel non eadem esset permutatio. Sed in indigentiæ locum ex hominum quasi compacto et convento quodammodo successit nummus: atque ob hanc causam, νόμισμα vocatur a Græcis, ἀπὸ τοῦ νόμου, id est, a lege: quia non natura, sed lege valeat, sitque in nobis situm eum immutare, inutilemque reddere. Erit igitur tum perpessio mutua et reciproca, cum res fuerint exæquatæ. Itaque quam rationem obtinet ægricola ad sutorem, eandem rationem habere debet sutoris opus ad opus agricolæ. Sunt autem tum in figuram proportionis deducendi, cum permutaturi sunt: quod si non fiet, alterum extremum utramque exuperantiam habebit. Verum tamen cum suas res habent,

ἰσότης δύναται [b]ἐπ' αὐτῶν γίνεσθαι. Γεωργὸς α, τροφὴ γ, σκυτοτόμος β, τὸ ἔργον αὐτοῦ τὸ ἰσασμένον δ.

α	β
γεωργὸς	σκυτοτόμος
γ	δ
τροφὴ	σκυτοτόμου ἔργον τῇ τροφῇ ἰσασμένον.

Εἰ δ' οὕτω μὴ ἦν ἀντιπεπονθέναι, οὐκ ἂν ἦν κοινωνία. Ὅτι δ' ἡ χρεία συνέχει ὥσπερ ἕν τι ὄν, δηλοῖ, ὅτι ὅταν μὴ ἐν χρείᾳ ὦσιν ἀλλήλων, ἢ ἀμφότεροι, [c]ἢ ἕτερος, οὐκ ἀλλάττονται· ὥσπερ ὅταν οὗ ἔχει αὐτὸς, [d]δέηταί τις, οἷον οἴνου, διδόντες σίτου ἐξαγωγήν. Δεῖ ἄρα τοῦτο ἰσασθῆναι. Ὑπὲρ δὲ τῆς μελλούσης ἀλλαγῆς, εἰ νῦν μηδὲν δεῖται, ὅτι ἔσται, ἐὰν δεηθῇ, [e]τὸ νόμισμα οἷον ἐγγυητής ἐστιν ἡμῖν· [f]δεῖ γὰρ τοῦτο φέροντι, εἶναι λαβεῖν. Πάσχει μὲν οὖν καὶ τοῦτο τὸ αὐτό· οὐ γὰρ ἀεὶ

qui commutant proportione respondent) *tum demum jure mutatio fit et communicatio.* Andr. [b] Γρ. ἀπ' αὐτῶν. [c] Γρ. ἢ ἄτερος. [d] Οὐ δέηται Bas. [e] *Καὶ τὸ νόμισμα δυνάμει ἐστὶ πάντα σχεδὸν, ὧν δεῖται ἕκαστος ἑκάστου· estque ipsa potentia nummus, omne illud, quo alterius indigere posset alter.* Andr. [f] Ἐστὶ pro δεῖ legit Bas.

ita sunt æquales inter se, ac socii, quia hæc æqualitas in eis effici potest. Agricola A, alimentum C, sutor B, opus sutoris exæquatum cum alimento D.

A	B
Agricola	*Sutor*
C	D
Alimentum	*Opus sutoris cum alimento exæquatum.*

Quod si hoc modo non liceret vicissim perpeti, seu accipere, nulla societas esset, nulla communitas. Indigentia autem societatem hominum contineri, tanquam uno quodam, quod vinculi instar sit, ex eo perspici potest, quod ubi aut neuter eget re alterius, aut alter eorum non eget, permutatio inter eos contrahi non solet: quemadmodum cum ejus, quod quis habet, alter indiget, ut puta vini, exportandi frumenti fit potestas. Hoc igitur oportet exæquatum esse. In permutationem futuram autem, si forte re aliqua nunc non egeamus, tunc ejus nobis facultatem et copiam fore cum egebimus, veluti sponsor nummus intercedit: oportet enim unicuique eam rem, qua egeat, accipere licere, ubi nummum attulerit. Sed idem nummo quoque interdum accidit: non enim semper æqualem vim habet: veruntamen immuta-

ἴσον δύναται· ὅμως ἢ βούλεται μένειν μᾶλλον. Διὸ δεῖ πάντα τετιμῆσθαι· οὕτω γὰρ ἔσται [g] αἰεὶ ἀλλαγή· εἰ δὲ τοῦτο, κοινωνία. Τὸ δὴ νόμισμα, ὥσπερ [h] μέτρον σύμμετρα ποιῆσαν, ἰσάζει· οὔτε γὰρ ἂν μὴ οὔσης ἀλλαγῆς, κοινωνία ἦν, οὔτ' ἀλλαγὴ, ἰσότητος μὴ οὔσης, οὔτ' ἰσότης, μὴ οὔσης συμμετρίας. Τῇ μὲν οὖν ἀληθείᾳ, ἀδύνατον τὰ τοσοῦτον διαφέροντα, σύμμετρα γενέσθαι· πρὸς δὲ τὴν χρείαν, ἐνδέχεται ἱκανῶς. Ἓν δή τι δεῖ εἶναι· τοῦτο δὲ ἐξ ὑποθέσεως. Διὸ νόμισμα καλεῖται· τοῦτο γὰρ πάντα ποιεῖ σύμμετρα· μετρεῖται γὰρ πάντα νομίσματι. [i] Οἰκία, ἐφ' ἧς α, μναῖ δέκα β, κλίνη γ. Τὸ δὴ α τοῦ β ἥμισυ, εἰ πέντε μνῶν ἀξία ἡ οἰκία, ἢ ἴσον· ἡ δὲ κλίνη ἢ δέκατον μέρος τὸ γ [k] τοῦ β· δῆλον τοίνυν πόσαι κλῖναι ἴσον οἰκίᾳ, ὅτι πέντε. Ὅτι δ' οὕτως ἡ ἀλλαγὴ ἦν, πρὶν τὸ νόμισμα

[g] Αἰεὶ abest ab El. [h] Μέσον Ven. 1, 2. et Bas. Græcus Interp. utramque lectionem agnoscere videtur, non uno loco. [i] Οἰκία ἐφ' ᾧ α, μνῶν πέντε· κλίνη ἐφ' ᾧ β, μνᾶς ἀξία· κλίνη δὴ πέμπτον μέρος οἰκίας ἔσται· δῆλον τοίν· in aliis brevius, et, ni fallor, dilucidius: quæ scriptura et Vet. Interp. magis placuit et mihi. *Muret.* ἐφ' ἧς post οἰκία desunt C C C. et El. [k] Τοῦ β νομίσματι Ven. 1. et Bas.

bilior ac stabilior permanere solet. Itaque debent esse res omnes æstimatæ: sic enim rerum permutatio semper futura est: quod si erit permutatio, erit et societas. Nummus igitur, posteaquam, veluti mensura, res apta quadam compositione et convenientia concordes inter se et consentientes reddidit, eas exæquat: nam neque si non fuisset permutatio, societas constare potuisset: neque sine æqualitate, permutationi locus unquam fuisset: neque sine apta quadam rerum compositione et convenientia, æqualitati. Res igitur inter se tam dissimiles ac dispares, si verum quærimus, nulla communi mensura inter se convenire nec cohærere possunt: sed quod ad utilitatem, indigentiamque attinet, satis commode possunt. Quare unum quiddam exstare necesse est; idque hominum instituto, et ex conditione. Quapropter, *νόμισμα* appellatur: nummus enim res inter se dispares apta quadam compositione et convenientia concordes efficit: nihil est enim, quod non metiatur nummus. Sit domus A, minæ decem B, lectus C. A igitur dimidium B fuerit, si domus quinque minarum sit, aut tanti, quanti quinque minæ sunt: C autem lectus, ipsius B decima pars intelligatur: perspicuum igitur est, quot lecti domui sint æquales, nempe quinque. Sic

ᾖ, δῆλον· διαφέρει γὰρ οὐθὲν ἢ εἰ κλῖναι πέντε ἀντὶ οἰκίας, [l] ἢ ὅσου αἱ πέντε κλῖναι. [m] Τί μὲν οὖν τὸ ἄδικον, καὶ τί τὸ δίκαιόν ἐστιν, εἴρηται. Διωρισμένων δὲ τούτων, δῆλον ὅτι ἡ δικαιοπραγία μέσον ἐστὶ τοῦ ἀδικεῖν, καὶ ἀδικεῖσθαι· τὸ μὲν γὰρ πλέον ἔχειν, τὸ δ' ἔλαττόν ἐστιν. [n] Ἡ δὲ δικαιοσύνη, μεσότης ἐστὶν, οὐ τὸν αὐτὸν τρόπον ταῖς [o] πρότερον ἀρεταῖς, ἀλλ' ὅτι [p] μέσου ἐστίν· ἡ δ' ἀδικία, τῶν ἄκρων. Καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς κατὰ προαίρεσιν τοῦ δικαίου, καὶ διανεμητικὸς καὶ αὐτῷ πρὸς ἄλλον, καὶ ἑτέρῳ πρὸς ἕτερον· οὐχ οὕτως, ὥστε τοῦ μὲν αἱρετοῦ πλέον αὐτῷ, ἔλαττον δὲ τῷ πλησίον, τοῦ βλαβεροῦ δ' ἀνάπαλιν, ἀλλὰ τοῦ ἴσου τοῦ κατ' ἀναλογίαν· ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον. Ἡ δ' ἀδικία τοὐναντίον τοῦ ἀδίκου· τοῦτο δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλ-

[l] Γρ. ἢ ὅσον. [m] Cum constet hic demum concludi totam disputationem περὶ τοῦ ἀντιπεπονθότος, neque postea de eo ullum verbum fieri, censeo verba illa, quæ aliquanto post, in capite proximo, leguntur, πῶς μὲν οὖν ἔχει τὸ ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον, εἴρηται πρότερον, loco suo mota, ac dejecta esse, et in eum restituenda: quare illinc quidem deleo, hoc autem loco lego: Τί μὲν οὖν τὸ ἄδ. καὶ τί τὸ δίκ. ἐστι, καὶ πῶς ἔχει ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον, εἴρηται. Mur. [n] Γρ. καὶ ἡ. [o] Ἄλλαις pro πρότερον C C C. [p] Τουτέστιν ἴσου post μέσου ἐστὶν addunt C C C. Ven. 1. et Bas. quod interpretamentum esse videtur.

autem rerum permutationem fieri solitam esse ante nummi usum, non est obscurum: nihil enim interest, utrum lecti quinque, an quod tanti sit, quanti lecti quinque, pro domo detur. Quid igitur sit injuria, quid jus, et quam rationem talio seu reciproca perpessio ad jus habeat, supra explicatum est. His autem distinctis, perspicuum est justam actionem inter id, quod est facere et accipere injuriam, mediam esse: illud enim plus obtinere est, hoc minus. Justitia porro mediocritas est, non quomodo virtutes superiores, sed quia medii est; injustitia autem extremorum. Præterea justitia virtus est, qua homo justus, aptus dicitur tum ad agendum consulto id, quod justum est, tum ad jus tribuendum et sibi, si cum altero contrahat, et alteri cum altero contrahenti: non ita, ut sibi plus ejus, quod optabile est, minus alteri, et contra sibi minus damni, plus alteri, sed sibi et aliis id, quod æquum proportione est, tribuat: idemque erga alium observet cum alio comparatum sive contrahentem. Contra injustitia vitium est, quo ad id, quod injustum est, consulto agendum,

λεῖψις τοῦ ὠφελίμου ἢ βλαβεροῦ παρὰ τὸ ἀνάλογον. Διὸ ὑπερβολὴ καὶ ἔλλειψις ἡ ἀδικία, ὅτι ὑπερβολῆς καὶ ἐλλείψεώς ἐστιν· ἐφ' αὑτοῦ μὲν, ὑπερβολῆς τοῦ ἁπλῶς ὠφελίμου, ἐλλείψεως δὲ τοῦ βλαβεροῦ. Ἐπὶ δὲ τῶν ἄλλων, τὸ μὲν ὅλον, ὁμοίως· [q] τὸ δὲ παρὰ τὸ ἀνάλογον, ὁποτέρως ἔτυχε. Τοῦ δὲ ἀδικήματος, τὸ μὲν ἔλαττον, τὸ ἀδικεῖσθαί ἐστι· τὸ δὲ μεῖζον, τὸ ἀδικεῖν. Περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, τίς ἑκατέρας ἐστὶν ἡ φύσις, εἰρήσθω τοῦτον τὸν τρόπον· ὁμοίως δὲ καὶ περὶ δικαίου καὶ ἀδίκου καθόλου.

ΚΕΦ. ϛ'.

ΕΠΕΙ δέ ἐστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι, ὁποῖα ἀδικήματα ἀδικῶν ἤδη ἄδικός ἐστιν ἑκάστην ἀδικίαν; οἷον κλέπτης, ἢ μοιχὸς, ἢ λῃστής; ἢ οὕτω μὲν οὐδὲν [r] διοίσει; καὶ γὰρ ἂν συγγένοιτο γυναικὶ, εἰδὼς τὸ ᾗ, ἀλλ' οὐ διὰ προαιρέσεως

[q] Τὸ δὴ Græcus Interp. Nobiscum facit Andr. [r] Post διοίσει hanc, aut hujusmodi, sententiam, sc. ἐπιβλέποντι δὲ εἰς τὸ οὗ ἕνεκα διοίσει, deesse censet Muretus, ut sensus sit: An sic quidem nihil intererit, si quis autem finem, ad quem quæque actio refertur, inspiciat, intererit.

nobisque et aliis tribuendum, apti sumus: hoc autem est nimium et parum commodi aut incommodi, a proportione alienum ac disjunctum. Itaque injustitia est nimium et parum, quia est et ejus, quod nimium est, et ejus, quod parum: cum quis in sua quidem causa nimium rei absolute utilis sibi tribuit, inutilis et damnosæ parum. In aliorum autem negotio generaliter ad eundem modum se gerit: sed quod ad id iniquum, quod a proportione remotum est, attinet, utrocunque modo casus tulerit. Injuste facti autem cum duo sint extrema, minus extremum injuriam accipere est, majus autem injuste facere. De justitia igitur, et injustitia, quænam sit utriusque natura, hoc modo dictum sit: itemque de justo et injusto universim.

CAP. VI.

SED quoniam fieri potest, ut is, qui injuste facit, nondum tamen sit injustus: quibusnam injuste factis jam injustus est in unoquoque injustitiæ genere? an ut fur, aut adulter, aut latro? an sic nihil intererit? namque fieri potest, ut quis cum aliqua muliere rem habeat, sibi nota quidem illa, verum tamen non consulto, sed perturba-

ἀρχὴν, ἀλλὰ διὰ πάθος. Ἀδικεῖ μὲν οὖν, ἄδικος δ' οὐκ ἔστιν· οἷον οὐδὲ κλέπτης, ἔκλεψε δέ· οὐδὲ μοιχὸς, ἐμοίχευσε δέ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. *Πῶς μὲν οὖν ἔχει τὸ ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον, εἴρηται πρότερον. Δεῖ δὲ μὴ λανθάνειν, ὅτι τὸ ζητούμενόν ἐστι καὶ τὸ ἁπλῶς δίκαιον, καὶ τὸ πολιτικὸν δίκαιον· τοῦτο δέ ἐστιν †ἐπὶ κοινωνῶν βίου πρὸς τὸ εἶναι αὐτάρκειαν, ἐλευθέρων καὶ ἴσων, ἢ κατὰ ἀναλογίαν, ἢ κατ' ἀριθμόν. Ὥστε ὅσοις μή ἐστι τοῦτο, οὐκ ἔστι τούτοις πρὸς ἀλλήλους τὸ πολιτικὸν δίκαιον, ἀλλά τι δίκαιον καὶ καθ' ὁμοιότητα. Ἔστι γὰρ δίκαιον, ἐν οἷς καὶ νόμος πρὸς αὐτούς· νόμος δ' ἐν οἷς ἀδικία· ἡ γὰρ δίκη, κρίσις τοῦ δικαίου καὶ τοῦ ἀδίκου· ἐν οἷς δ' ἀδικία, καὶ τὸ ἀδικεῖν ἐν τούτοις· ἐν οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν ἀδικία. Τοῦτο δ' ἐστὶ τὸ πλέον αὑτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν, ἔλαττον δὲ τῶν ἁπλῶς κακῶν.

* Hanc periochen, quam hinc amovendam esse judicat Muretus, agnoscit Andronicus: in Græco autem Interprete non reperitur. † Κοινῶν βίου absque ἐπὶ El. ad ejus oram est nostra lectio.

tione et libidine inflammatus. Facit igitur hic quidem injuste, sed non idcirco injustus est: quemadmodum nec fur est, etiamsi furatus sit: nec adulter, etiamsi adulterium commiserit: itemque in cæteris. Quomodo igitur affecta sit reciproca perpessio, seu talio ad jus, dictum est antea. Sed sciendum est, jus id, quod quærimus, et simpliciter jus esse, et jus civile: est autem inter eos, qui communitate et societate vitæ inter se conjuncti sunt, homines liberos et æquales vel proportione, vel numero, ut rerum ad vitam degendam necessariarum copiis per se abundent, nihilque foris requirant. Itaque quibus hoc non est, eis inter ipsos non est jus civile, sed jus quoddam, et ex illius similitudine sic appellatum. Communi enim jure utuntur ii, quibus et lex inter ipsos communis est: lex autem eorum communis est, quorum et injustitia est: judicium enim juris et injuriæ disceptatio est: inter quos autem injustitia locum habet, inter hos et injuriæ faciendæ locus esse potest: quibus autem inter ipsos injuriæ faciendæ locus est, non continuo in iis omnibus injustitia reperitur. Est autem injuriam facere, eorum, quæ absolute bona sunt, sibi plus tribuere, minusque eorum, quæ absolute ma-

Διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον, ἀλλὰ τὸν λόγον· ὅτι ἑαυτῷ τοῦτο ποιεῖ, καὶ γίνεται τύραννος. Ἔστι δὲ ὁ ἄρχων, φύλαξ τοῦ δικαίου· εἰ δὲ τοῦ δικαίου, καὶ τοῦ ἴσου. Ἐπεὶ δ' οὐθὲν αὐτῷ πλέον εἶναι δοκεῖ, εἴ περ δίκαιος· οὐ γὰρ νέμει πλέον τοῦ ἁπλῶς ἀγαθοῦ αὑτῷ, εἰ μὴ πρὸς αὐτὸν ἀνάλογόν ἐστι· διὸ ἑτέρῳ [u]ποιεῖ· καὶ διὰ τοῦτο ἀλλότριον εἶναί φασιν ἀγαθὸν τὴν δικαιοσύνην, καθάπερ ἐλέχθη καὶ πρότερον. Μισθός τις ἄρα δοτέος· τοῦτο δὲ τιμὴ καὶ γέρας· [x]ὅσοις δὲ μὴ ἱκανὰ ταῦτα, οὗτοι γίνονται τύραννοι. Τὸ δὲ δεσποτικὸν δίκαιον καὶ τὸ πατρικὸν, οὐ ταὐτὸ τούτοις, ἀλλ' ὅμοιον· οὐ γάρ ἐστιν ἀδικία πρὸς τὰ αὑτοῦ ἁπλῶς· τὸ δὲ [y]κτῆμα καὶ τὸ [z]τέκνον, ἕως ἂν ᾖ πηλίκον, καὶ [a]μὴ χωρισθῇ, ὥσπερ μέρος αὐτοῦ· αὑτὸν δ' οὐθεὶς προαιρεῖται βλάπτειν. Διὸ οὐκ ἔστιν ἀδικία πρὸς αὑτόν. [b]Οὐδ' ἄρα ἄδικον, οὐδὲ δίκαιον τὸ πολιτικόν· κατὰ νόμον γὰρ

[u] Ποιεῖ Ven. 1. et Bas. quam vertit Lambinus. Sed ποιεῖ sic usurpatur paullo ante. [x] Ὅτῳ pro ὅσοις El. Ven. 1. et Bas. [y] Ὁ δοῦλος ὠφέλειά τις τοῦ δεσπότου ἐστὶ, καθόσον ἐστὶ δοῦλος, καὶ ἴσως ἂν ᾖ· οὐδεὶς δὲ τῇ ἑαυτοῦ ὠφελείᾳ ἐπιβουλεύει. *Servus quasi utilitas quædam heri est, quatenus et quamdiu est servus: nemo autem utilitati propriæ nocere studet.* Andr. [z] Filium impuberem esse quasi partem patris, ex multis locis juris intelligitur, ubi pater et filius pro eadem persona habentur. [a] Μὴ abest a quodam cod. apud Victorium et C C C. sed utrocunque modo legatur, eadem manet sententia. [b] Οὐδ' ἄρα ἀδικία ὂν, οὐδ. C C C. ad oram nostra est lectio.

la. Itaque hominem non sinimus imperare, sed legem aut rationem; quia hoc ille sibi facere consuevit, fitque tyrannus. Est autem is, qui præest, juris custos: quod si juris, ergo et æqualitatis. Jam vero quoniam si quis justus sit, nihilo plus ad eum boni, quam ad cæteros, videtur pervenisse; (non enim eorum, quæ absolute bona sunt, plus sibi, quam aliis, tribuit, nisi ex proportione quadam ei debeatur); idcirco alteri laborat: et ob hanc causam bonum alienum dicunt esse justitiam, quemadmodum et ante dictum est. Danda igitur ei merces aliqua est: hæc autem est honos, et decus: qui vero his contenti non sunt, hi fiunt tyranni. Jus autem vel domini in servos, vel patris in liberos, non est idem, atque hæc, sed tamen simile: neque enim cuiquam in sua injustitiæ locus esse potest absolute: atqui possessio, seu mancipium, et liberi usque eo dum parvi sint, neque a patre sejuncti, partis instar sunt: seipsum autem nemo damno afficit consulto. Non est igitur cuiquam in seipsum injustitiæ locus. Ex quo efficitur, ne-

ἦν, καὶ ἐν οἷς ἐπεφύκει εἶναι νόμος· οὗτοι δ' ἦσαν, οἷς ὑπάρχει ἰσότης τοῦ ἄρχειν καὶ ἄρχεσθαι. Διὸ μᾶλλον πρὸς γυναῖκά ἐστι δίκαιον, ἢ πρὸς τέκνα καὶ κτήματα· τοῦτο γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον· ἕτερον δέ ἐστι καὶ τοῦτο τοῦ πολιτικοῦ.

ΚΕΦ. ζ.

ΤΟΥ δὲ πολιτικοῦ δικαίου, τὸ μὲν φυσικόν ἐστι, τὸ δὲ νομικόν. Φυσικὸν μὲν, τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν, καὶ οὐ τῷ δοκεῖν ἢ μή. Νομικὸν δὲ, ὃ ἐξ ἀρχῆς μὲν οὐθὲν διαφέρει οὕτως ἢ ἄλλως, ὅταν δὲ θῶνται, διαφέρει· οἷον τὸ [c] μνᾶς λυτροῦσθαι, [d] ἢ τὸ αἶγα θύειν, ἀλλὰ μὴ δύο πρόβατα· ἔτι ὅσα ἐπὶ τῶν καθ' ἕκαστα νομοθετοῦσιν· οἷον, τὸ θύειν [e] Βρασίδᾳ, καὶ τὰ ψηφισματώδη. Δοκεῖ δὲ ἐνίοις πάντα

[c] Lacedæmonii et Athenienses, vigente bello Peloponnesiaco, convenerunt, uti captivi utrinque mina redimi possent. [d] Hunc locum in omnibus libris depravatum ex Herodoto emendavit Muretus hoc modo: ἢ τὸ αἶγα Διῒ θύειν, ἀλλὰ μὴ πρόβατα. Verba autem Herodoti, quæ ad hunc locum pertinent, hæc sunt ex lib. ii. Ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἵδρυνται ἱρὸν, ἢ νομοῦ τοῦ Θηβαίου εἰσὶν, οὗτοι μὲν πάντες ὀΐων ἀπεχόμενοι αἶγας θύουσι. Ex quo loco præter id, quod Mureto venit in mentem, videtur mihi legendum esse αἶγας. *Lamb.* [e] De Brasida, qui ad Amphipolim victor cecidit, historia exstat in lib. v. Thucydidis: ubi monumenta Agnonis Atheniensis, qui coloniam deduxisset, narratur fuisse eversa, et monumentum Brasidæ septo inclusum: cui victimas, inquit, cædunt tanquam heroi: et anniversarios honores ludorum atque sacrificia instituerunt.

que injuriæ, neque juri civili locum esse: lege enim jus constare, in iisque locum habere, apud quos legem esse communem patitur natura, dicebamus: hos autem esse docuimus, quibus est inter ipsos imperandi et parendi æqualitas. Itaque inter virum et uxorem magis, quam inter patrem et liberos, dominum et servum, juris est communitas: hoc enim jus est ad tuendam rem familiarem pertinens: quod aliud est a civili.

CAP. VII.

JUS civile autem aliud naturale est, aliud legitimum. Naturale, quod ubique gentium idem valet, non quia ita vel decretum sit, vel non decretum. Legitimum autem, quod ab initio, hoc, an illo modo fiat, nihil refert: cum constitutum fuerit vero, tunc demum refert: quale est illud, mina captivum redimere: aut illud, capram Jovi immolare, non oves: præterea leges omnes, quas de rebus singularibus ferunt: ut Brasidæ sacra facere, et quæcunque a populis scita et decreta sunt. Existimant autem nonnulli, jura omnia esse hujusmodi, id est, legitima, quo-

εἶναι τοιαῦτα, ὅτι τὸ μὲν φύσει, ἀκίνητον καὶ πανταχοῦ τὴν αὐτὴν ἔχει δύναμιν· ὥσπερ τὸ πῦρ καὶ ἐνθάδε καὶ ἐν Πέρσαις καίει· τὰ δὲ δίκαια κινούμενα ὁρῶσι. [f]Τοῦτο δ᾽ οὐκ ἔστιν οὕτως ἔχον, ἀλλ᾽ ἔστιν ὥς· καίτοι παρά γε τοῖς θεοῖς ἴσως [g]οὐδαμῶς ἔχον· παρ᾽ ἡμῖν δ᾽ ἐστὶ μέν τι καὶ [h]φύσει κινητὸν, οὐ μέντοι πᾶν. Ἀλλ᾽ ὅμως ἐστὶ τὸ μὲν φύσει, τὸ δὲ οὐ φύσει. Ποῖον δὲ φύσει τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, καὶ ποῖον οὐ, ἀλλὰ νομικὸν καὶ συνθήκῃ, εἴπερ ἄμφω κινητὰ ὁμοίως, δῆλον· καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς ἁρμόσει διορισμός. Φύσει γὰρ ἡ δεξιὰ κρείττων· καίτοι ἐνδέχεταί τινας ἀμφιδεξίους γενέσθαι. Τὰ δὲ κατὰ συνθήκην καὶ τὸ συμφέρον τῶν δικαίων,

[f] Οὐ καθάπαξ κινεῖται πᾶν δίκαιον καὶ μεταπίπτει· εἰ γὰρ καὶ παρ᾽ ἀνθρώποις πάντα ἐστὶ τὰ δίκαια μεταβλητὰ, παρά γε τοῖς θεοῖς ἀνάγκη δίκαιον εἶναι ἀμετάβλητον. Ὥστε εἶναί τι φυσικὸν δίκαιον. Νῦν δὲ καὶ παρ᾽ ἀνθρώποις, τοῖς τε ὀρθῶς καὶ ὑγιῶς ἔχουσιν, ἐστὶ δίκαιον ἀκίνητον, ὃ φυσικὸν λέγεται· εἰ δὲ τοῖς νοσοῦσι τὰς φρένας καὶ διεστραμμένοις οὐ δοκεῖ δίκαιον, οὐδὲν διαφέρει· οὐδὲ γὰρ ὁ λέγων τὸ μέλι γλυκὺ εἶναι ψεύδεται, διότι τοῖς νοσοῦσιν οὐ τοιοῦτον δοκεῖ. Τὸ τοίνυν δίκαιον τὸ φυσικὸν δοκεῖ μέν τισι δίκαιον, δοκεῖ δὲ ἄλλοις μὴ δίκαιον εἶναι. *Non simpliciter movetur jus omne aut mutatur : licet enim apud homines concedamus mutari omnia, apud Deos tamen aliquod necesse est jus esse immutabile. Ex quo ipso sequeretur naturale aliquod jus esse. Nunc vero etiam inter homines, qui recte et ut oportet sapiunt, immobile aliquod jus est, quod naturale dicitur : quod si quibusdam, quibus mens laborat, aut perversa est, jus non videatur, nihil refert : neque enim qui mel dulce esse dicit, mentitur, quia iis, quibus mens laborat, non tale videtur.. Ita jus naturale, jus quibusdam, quibusdam non videtur jus esse.* Andr. [g] Ἄλλως post οὐδ. addunt Vet. Interp. Lamb. et Cas. [h] Φυσικὸν pro φύσει Bas.

niam id, quod constat natura, immobile atque immutabile est, et ubique eandem vim habet : quemadmodum ignis et hic, et apud Persas urit : jura autem quotidie vident immutari. Sed hoc non ita est omni quidem ex parte ; est certe ex aliqua : quanquam apud Deos fortasse nulla ex parte ita se habet : sed apud nos est profecto aliquid etiam naturale, mutabile, non tamen omne. Veruntamen nihilominus aliud jus natura valet, aliud non natura. Sed quodnam, et quale etiam eorum, quæ aliter evenire, quæque mutari possunt, natura valeat, et quod non natura valeat, sed lege et consensu, siquidem ambo peræque sunt mutabilia, ex iis, quæ afferam, cognoscere licebit : cæterisque rebus eadem distinctio poterit accommodari. Manus enim dextera valentior est sinistra, natura : atqui evenire potest, ut aliqui sinistra perinde, ut dextra, utantur. Jam vero quæ jura ex consensu et utilitate hominum nata sunt, ea

ὅμοιά ἐστι τοῖς μέτροις· οὐ γὰρ πανταχοῦ ἴσα τὰ οἰνηρὰ καὶ σιτηρὰ μέτρα· ἀλλ' οὗ μὲν ὠνοῦνται, μείζω, οὗ δὲ πωλοῦσιν, ἐλάττω. Ὁμοίως δὲ καὶ τὰ μὴ φυσικὰ, ἀλλ' ἀνθρώπινα δίκαια, οὐ ταὐτὰ πανταχοῦ· ἐπεὶ οὐδὲ [i]πολιτεία, ἀλλὰ μία μόνον πανταχοῦ κατὰ φύσιν ἡ ἀρίστη. Τῶν δὲ δικαίων καὶ [k]νομίμων ἕκαστον, [l]ὡς τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα ἔχει· τὰ μὲν γὰρ πραττόμενα, πολλά· ἐκείνων δὲ ἕκαστον ἕν· καθόλου γάρ. Διαφέρει δὲ τὸ ἀδίκημα καὶ τὸ ἄδικον, καὶ τὸ δικαίωμα καὶ τὸ δίκαιον· ἄδικον μὲν γάρ ἐστι τῇ φύσει, ἢ τάξει. Τὸ αὐτὸ δὲ τοῦτο, [m]ὅταν πραχθῇ, ἀδίκημά ἐστι· πρὶν δὲ πραχθῆναι, οὔπω, ἀλλ' ἄδικον· ὁμοίως δὲ καὶ δικαίωμα. Καλεῖται δὲ καὶ τὸ κοινὸν, μᾶλλον δικαιοπράγημα· δικαίωμα δὲ, τὸ ἐπανόρθωμα τοῦ ἀδικήματος. Καθ' ἕκα-

[i] Πολιτείαι C C C. [k] Νομικῶν Zuing. [l] Οὐ γὰρ τόνδε τὸν ἀριστεία κελεύει τιμᾶσθαι, ἢ τοιάνδε τιμὴν, ἀλλὰ καθόλου πάντα ἀριστεία ἁπλῶς τιμᾶσθαι. *Neque enim hunc aut illum, qui strenue in bello operam navarit, jubebit honore affici, aut certum aliquem proponet, sed quemcunque, qui idem fecerit, simpliciter honore prosequi.* Andr.
[m] Ὅτι ὅταν πραχθῇ, ἀδίκημά ἐστιν post ἀλλ' ἄδικον addunt El. C C C. Ven. 1. et Bas.

mensuris similia sunt: neque enim omnibus in locis sunt æquales vini triticique mensuræ: sed apud eos, qui emunt, majores: apud eos, qui vendunt, minores. Itemque jura non naturalia, sed humana, non sunt omnibus in locis eadem: nam ne reipublicæ quidem regendæ forma una et eadem est apud omnes, sed una duntaxat ubique consentanea naturæ est, ea, quæ optima. Jam unumquodque jus, et unumquodque legitimum eandem rationem habet ad hominum actiones, quam res universæ ad singulares: nam quæ aguntur, multa sunt: sed unumquidque illorum, unum: est enim universum quiddam. Differt autem et ab injuria injuste factum, et a jure justum officium, seu juste factum, quo alter jus suum obtinet, justusque ex injusto redditur: nam injuria vel natura, vel constitutione injuria est. Hæc eadem cum illata fuerit, injuste factum est; priusquam illata sit, nondum injuste factum est, sed injuria: eademque justi officii, seu juste facti ratio est. Quod commune est autem, id magis proprio nomine justa actio appellatur: justum officium autem, seu juste factum, correctio et emendatio injuste facti, seu injuriæ alteri illatæ est. Quæ sint autem cujusque eorum genera et partes

στον δὲ αὐτῶν, ποῖά τε εἴδη καὶ πόσα, καὶ περὶ [n] ποῖα τυγχάνει ὄντα, ὕστερον ἐπισκεπτέον.

ΚΕΦ. η'.

ΟΝΤΩΝ [o] δὲ τῶν δικαίων καὶ ἀδίκων τῶν εἰρημένων, ἀδικεῖ μὲν καὶ δικαιοπραγεῖ, ὅταν ἑκών τις αὐτὰ πράττῃ· ὅταν δὲ ἄκων, οὔτ' ἀδικεῖ, οὔτε δικαιοπραγεῖ, ἀλλ' ἢ κατὰ συμβεβηκός· οἷς γὰρ συμβέβηκε δικαίοις εἶναι ἢ ἀδίκοις, πράττουσιν. Ἀδίκημα δὲ καὶ δικαιοπράγημα ὥρισται τῷ ἑκουσίῳ, καὶ ἀκουσίῳ· ὅταν γὰρ ἑκούσιον ᾖ, ψέγεται· ἅμα δὲ καὶ ἀδίκημα τότε ἐστίν. Ὥστε ἄδικόν τι ἔσται μὲν, ἀδίκημα δὲ οὐδέπω, ἐὰν μὴ τὸ ἑκούσιον προσῇ. Λέγω δὲ ἑκούσιον μὲν, ὥσπερ καὶ πρότερον εἴρηται, ὃ ἄν τις τῶν ἐφ' αὐτῷ ὄντων εἰδὼς καὶ μὴ ἀγνοῶν πράττῃ, μήτε ὃν, μήτε ᾧ, μήτε οὗ [p] ἕνεκα· οἷον τίνα τύπτει, καὶ τίνι, καὶ τίνος ἕνεκα, καὶ ἐκείνων ἕκαστον, μὴ κατὰ συμβεβηκὸς, μηδὲ βίᾳ· ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα

[n] Γρ. τίνα. [o] Γρ. δή. [p] Ἕνεκα deest El. et Bas.

et quot sint, et in quibus versentur, posterius nobis erit videndum.

CAP. VIII.

JAM cum justa et injusta ea sint, quæ sunt a nobis exposita, tum et facit quisque injuste, et juste agit, cum ea sponte sua agit; cum vero invitus, neque injuste facit, neque juste agit, nisi ex eventu: ea enim agit, quibus evenit, ut justa, vel injusta sint. At injuste factum, justamque actionem, id, quod sponte et invite actum est, definit ac terminat: nam cum quid sponte fit, tum et vituperatur, et simul injuste factum est. Erit ergo aliquid injustum, quod nondum erit injuste factum, nisi eo accesserit, ut sponte factum sit. Sponte autem fieri dico, quemadmodum et supra a nobis dictum est, id, quod quis in sua potestate positum facit sciens, neque eum, quem injuria afficit, ignorans, neque quo quasi instrumento, neque cujus rei gratia: verbi causa, quem verberet, qua re verberet, cujus denique rei causa verberet. atque illorum unumquidque fiat, neque ex eventu, neque vi: veluti si quis alicujus manu apprehensa, alterum verberet: at sponte non verberavit is, cujus est

αὐτοῦ, τύπτοι ἕτερον· οὐχ ἑκὼν δέ· οὐ γὰρ ἐπ' αὐτῷ. Ἐνδέχεται δὲ τὸν τυπτόμενον πατέρα εἶναι, τὸν δ' ὅτι μὲν ἄνθρωπος ἢ τῶν παρόντων τις γινώσκειν, ὅτι δὲ πατὴρ ἀγνοεῖν. Ὁμοίως δὲ τὸ τοιοῦτον διωρίσθω καὶ [q]ἐπὶ τοῦ οὗ ἕνεκα, καὶ περὶ τὴν πρᾶξιν ὅλην. Τὸ [r]δὴ ἀγνοούμενον, ἢ μὴ ἀγνοούμενον μὲν, μὴ ἐπ' αὐτῷ δὲ ὄν, [s]ἢ βίᾳ, ἀκούσιον· πολλὰ γὰρ καὶ τῶν φύσει ὑπαρχόντων εἰδότες καὶ πράττομεν καὶ πάσχομεν, ὧν οὐθὲν οὔτε ἑκούσιον, οὔτε ἀκούσιόν ἐστιν· οἷον τὸ γηρᾶν, ἢ ἀποθνήσκειν. Ἔστι δ' ὁμοίως [t]ἐπὶ τῶν ἀδίκων καὶ τῶν δικαίων τὸ κατὰ συμβεβηκός· καὶ γὰρ ἂν τὴν παρακαταθήκην ἀποδοίη τις ἄκων καὶ διὰ φόβον, οὔτε δίκαια πράττειν, οὔτε δικαιοπραγεῖν φατέον· ἀλλ' ἢ κατὰ συμβεβηκός. Ὁμοίως δὲ καὶ τὸν ἀναγκαζόμενον καὶ ἄκοντα τὴν παρακαταθήκην μὴ ἀποδιδόντα, κατὰ συμβεβηκὸς φατέον ἀδικεῖν, καὶ τὰ ἄδικα πράττειν. [u]Τῶν δὲ ἑκουσίων, τὰ μὲν προελόμενοι πράττομεν, τὰ δ' οὐ προελόμενοι· προελόμενοι μὲν, ὅσα προβουλευσάμενοι· ἀπρο-

q Γρ. περὶ τῶν οὗ ἕνεκ. r Γρ. δέ. s Ἀλλὰ βίᾳ pro ἢ βίᾳ legi vult Mich. Eph. t Καὶ ἐπὶ El. et alii. u Vide Grot. De Jure B. et P. lib. iii. cap. 11. §. 4.

manus: non enim in eo situm fuit. Contingere autem potest, ut pater sit is, qui pulsatur: is qui pulsat vero, illum esse hominem duntaxat, aut eorum aliquem, qui adsunt, sciat: patrem esse nesciat. Similis autem distinctio in eo, cujus causa res agitur, adhibita sit: in tota denique actione. Quod igitur ignoratur, aut cum minime ignoretur, tamen vel in ejus, qui agit, potestate non est, vel ei vis affertur, id ab invito agi dicitur: nam multa sane eorum, quæ natura nobis affert, scientes et agimus et patimur: quorum nihil nec sponte nostra, nec nobis invitis fieri dicendum est, ut senescere, aut mori. In rebus justis autem æque atque in injustis, eventa locum habent: nam si quis depositum reddiderit invitus, et metu coactus, is neque justo officio fungi, neque rem justam agere dicendus est, nisi ex eventu. Itemque qui necessitate coactus, et invitus depositum non reddit, is ex eventu injuriam facere, resque injustas agere dicendus est. Eorum autem, quæ sponte aguntur, alia consilio capto agimus, alia consilio non capto: consilio capto agimus, quæ re prius deliberata: non

αἱρετὰ δὲ, ὅσα ἀπροβέλευτα. Τριῶν [x] δὴ ὀσῶν βλαβῶν τῶν ἐν ταῖς κοινωνίαις, τὰ μὲν μετ' ἀγνοίας ἁμαρτήματά ἐστιν, ὅταν μήτε ὃν, [y] μήτε ὡς, μήτε ᾧ, μήτε οὗ ἕνεκα ὑπέλαβε, ταῦτα πράξῃ· ἢ γὰρ οὐ βαλεῖν, ἢ οὐ τέτῳ, ἢ οὐ τῦτον, ἢ οὐ τέτου ἕνεκα ᾠήθη, ἀλλὰ συνέβη οὐχ οὗ ἕνεκα ᾠήθη· οἷον, ὀχ ἵνα τρώσῃ, ἀλλ' ἵνα κεντήσῃ· ἢ οὐχ ὃν, ἢ οὐχ ὥς. Ὅταν μὲν οὖν παραλόγως ἡ βλάβη γένηται, ἀτύχημα· ὅταν δὲ μὴ παραλόγως, ἄνευ δὲ κακίας, ἁμάρτημα· ἁμαρτάνει μὲν γὰρ, ὅταν ἐν ἑαυτῷ ἡ ἀρχὴ ᾖ τῆς αἰτίας· ἀτυχεῖ δὲ, ὅταν ἔξωθεν. Ὅταν δὲ εἰδὼς μὲν, μὴ προβουλεύσας δὲ, ἀδίκημα· οἷον ὅσα τε διὰ θυμὸν, καὶ ἄλλα πάθη, ὅσα ἀναγκαῖα ἢ φυσικὰ, συμβαίνει τοῖς ἀνθρώποις· ταῦτα γὰρ βλάπτοντες καὶ ἁμαρτάνοντες, ἀδικοῦσι μὲν, καὶ ἀδικήματά ἐστιν· οὐ μέντοι πω ἄδικοι διὰ ταῦτα, οὐδὲ πονηροί· οὐδὲ γὰρ διὰ μοχθηρίαν ἡ

[x] Γρ. δέ. [y] Γρ. μήτε ὅ.

capto consilio, quæ re non ante deliberata agimus. Jam cum in societate generis humani tria sint damnorum genera: ea quidem cum inscientia conjuncta sunt errata, cum quis aut quem minime existimavit percutiendo, aut quo modo non putavit, aut quo instrumento non putavit, aut cujus rei gratia non putavit, hæc egerit: nam aut se non percussurum, aut non hoc instrumento, aut non hunc, aut non hujus rei causa, arbitratus est: verum accidit non id, cujus causa se facere existimavit, sed longe aliud: verbi gratia, non ut vulneraret, sed ut pungeret, ferrum strinxit: aut non eum, quem putavit, vulneravit, aut non quo modo voluit. Cum igitur nec opinato damnum illatum fuerit, Infortunium nominatur: cum autem non nec opinato quidem illud, sed tamen non malitiose, Erratum, seu peccatum est: peccat enim tum quisque, cum in ipso causæ principium inest: infortunatus est, cum principium extra est. Ubi vero quis sciens læsit alterum, sed deliberatione non antegressa, Injuste factum est: exempli causa, quæcunque vel ab ira, vel ab aliis affectibus, qui cum aut necessarii sint, aut naturales, hominibus accidunt: nam qui his impulsi lædunt alterum, et qui his peccant, injuriam illi quidem faciunt, et hæc sunt injuste facta: nondum tamen propter hæc injusti, neque improbi sunt:

βλάβῃ. Ὅταν δ' ἐκ προαιρέσεως, ἄδικος καὶ μοχθηρός. Διὸ καλῶς [z] τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας κρίνεται· οὐ γὰρ ἄρχει ὁ θυμῷ ποιῶν, ἀλλ' ὁ ὀργίσας. Ἔτι δὲ οὐδὲ περὶ τοῦ γενέσθαι ἢ μὴ ἀμφισβητεῖται, ἀλλὰ περὶ τοῦ δικαίου· ἐπὶ φαινομένῃ γὰρ ἀδικίᾳ ἡ ὀργή ἐστιν. Οὐ γὰρ ὥσπερ ἐν τοῖς συναλλάγμασι περὶ τοῦ γενέσθαι ἀμφισβητοῦσιν, ὧν ἀνάγκη τὸν ἕτερον εἶναι μοχθηρὸν, ἂν μὴ διὰ λήθην αὐτὸ δρῶσιν· ἀλλ' ὁμολογοῦντες περὶ τοῦ πράγματος, περὶ τοῦ ποτέρως δίκαιον ἀμφισβητοῦσιν. Ὁ δ' ἐπιβουλεύσας, οὐκ ἀγνοεῖ. [a] Ὥστε ὁ μὲν οἴεται ἀδικεῖσθαι, ὁ δ' οὔ. Ἂν δ' ἐκ προαιρέσεως βλάψῃ, ἀδικεῖ· καὶ κατὰ ταῦτα ἤδη τὰ ἀδικήματα ὁ ἀδικῶν, ἄδικος, ὅταν παρὰ τὸ ἀνάλογον [b] ᾖ, ἢ παρὰ τὸ ἴσον. Ὁμοίως δὲ καὶ ὁ δίκαιος, ὅταν προελόμενος δικαιοπραγῇ· δικαιοπραγεῖ δὲ, ἂν μόνον ἑκὼν πράττῃ. Τῶν δ' ἀκουσίων, τὰ μὲν

[z] Τὰ ἐκ θυμοῦ &c. senarium ex aliquo poeta esse putat Zuingerus. [a] Hanc periochen, quam rejecit Muretus, vertendo, Græcum Interp. secutus est Lambinus. Sed multo, ut mihi videtur, ad hujus loci sententiam accommodatius interpretatus est Andronicus hoc modo: ὥστε ὁ μὲν προκατάρξας καὶ ἐπιβουλεύσας ἄδικος οἴεται εἶναι, καὶ διὰ τοῦτο οὐχ ὁμολογεῖ προκατάρξαι· ὁ δὲ ὀργισθεὶς παρ' ἐκείνου μὴ ἄδικος εἶναι νομίζει, καὶ διὰ τοῦτο τὴν βλάβην ὁμολογεῖ. Si hujus auctoritatem approbemus, pro ἀδικεῖσθαι reponendum est ἄδικος εἶναι. [b] Ἤ, abest a Bas.

non enim malitiose damnum illatum est. Cum autem consilio capto, et de industria: tum et injustus et improbus est dicendus. Quapropter recte, quæ per iram fiunt, non de industria facta judicantur: non enim prior lædit is, qui iratus facit; sed qui lacessivit, atque irritavit. Præterea non est controversia de facto, sed de jure: ob injustitiæ enim speciem animo objectam ira commovetur. Neque enim hic de facto controversia est, ut in rebus contrahendis inter eos, qui contraxerunt (quorum necesse est alterum esse improbum, nisi obliti id faciant) sed de facto unum et idem sentientes, de jure dissentiunt, atque ambigunt. At qui cogitato læsit alterum, non ignorat. Itaque qui ab irato læsus est, injuriam se accepisse putat: qui iratus læsit, nullam se fecisse injuriam existimat. Quod si quis consulto damnum inferat, injuriam facit: et qui his injuriis inferendis injurius est, injustus est, cum vel a proportione, vel ab æqualitate discesserit. Itemque justus est tum, cum consulto juste agit: juste agit autem, si modo sponte et voluntate sua agat. Eorum autem,

ἐστι συγγνωμονικὰ, τὰ δ' οὐ συγγνωμονικά· ὅσα μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες, ἀλλὰ καὶ δι' ἄγνοιαν ἁμαρτάνουσι, συγγνωμονικά· ὅσα δὲ μὴ δι' ἄγνοιαν, ἀλλ' ἀγνοοῦντες μὲν, διὰ πάθος δὲ, μήτε φυσικὸν, μήτ' ἀνθρωπικὸν, οὐ συγγνωμονικά.

ΚΕΦ. Θ'.

ΑΠΟΡΗΣΕΙΕ δ' ἄν τις, εἰ ἱκανῶς διώρισται περὶ τοῦ ἀδικεῖσθαι καὶ τοῦ ἀδικεῖν. Πρῶτον μὲν εἰ ἔστιν, ὥσπερ [c] Εὐριπίδης εἴρηκε, λέγων [d] ἀτόπως,

Μητέρα κατέκτα τὴν ἐμήν· βραχὺς λόγος,
Ἑκὼν ἑκοῦσαν, ἢ θέλουσαν οὐχ ἑκών.

Πότερον γὰρ ὡς ἀληθῶς ἐστιν, ἑκόντα ἀδικεῖσθαι, ἢ οὔ; ἀλλ' ἀκούσιον ἅπαν, ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον· καὶ ἆρα ἅπαν οὕτως, ἢ ἐκείνως, ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον· ἢ τὸ μὲν ἑκούσιον, τὸ δ' ἀκούσιον; Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· τὸ γὰρ δικαιοπραγεῖν πᾶν ἑκούσιον. Ὥστ' εὔλογον

[c] In Bellerophonte. [d] Γρ. τὸ πῶς. Forsan οὕτω πως: nam illud ἀτόπως, etsi ab omnibus interpp. probatum, merito fuerit suspectum. *Casaub.* λέγων πως Andr. Βραχὺς ὁ λόγος Ven. 1. et Bas.

quæ invite fiunt, alia venia digna sunt, alia non item: quæcunque enim non solum inscientes, sed etiam per inscientiam peccant homines, iis ignoscendum est: quæcunque vero non propter inscientiam peccant, sed quamvis inscientes, tamen perturbationibus nec naturalibus, nec humanis incitati, iis non est ignoscendum.

CAP. IX.

DUBITARE autem posset aliquis, si modo satis distincte de accipienda et facienda injuria a nobis disputatum est. Primum quidem utrum ita se res habeat, ut dixit Euripides, cujus hæc sunt absurde sane dicta:

Matrem ut meam necaverim, paucis loquar,
Volens volentem, vel volentem non volens.

Quæri enim potest, utrum possit quisquam vere injuriam sua voluntate accipere, necne? sed potius omnis invito fiat injuria, quemadmodum et quisquis injuriam facit, sponte facit: hoc est, utrum omnis injuria accipiatur vel hoc, vel illo modo, (quemadmodum et injuriam quisque sua voluntate facit) an aliqua sit, quam quis sua sponte accipit: aliqua, quam invitus? Atque hoc idem de jure obtinendo quæri potest: quisquis enim juste agit, sponte agit. Ita-

ἀντικεῖσθαι ὁμοίως καθ᾽ ἑκάτερον, τό, τ᾽ ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι, ἢ ἑκούσιον, ἢ [e] ἀκούσιον εἶναι. Ἄτοπον δ᾽ ἂν δόξειε καὶ ἐπὶ τοῦ [f] δικαιοῦσθαι, εἰ ἅπαν ἑκούσιον· ἔνιοι γὰρ [g] δικαιοῦνται οὐχ ἑκόντες. Ἔπει καὶ τόγε διαπορήσειεν ἄν τις, πότερον ὁ τὸ ἄδικον πεπονθώς, ἀδικεῖται πᾶς· ἢ ὥσπερ καὶ ἐπὶ τοῦ πράττειν, καὶ ἐπὶ τοῦ πάσχειν ἐστί; κατὰ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπ᾽ ἀμφοτέρων μεταλαμβάνειν τῶν δικαίων. Ὁμοίως δὲ δῆλον, ὅτι καὶ [h] ἐπὶ τῶν ἀδίκων· οὐ γὰρ ταὐτὸν τὸ τὰ ἄδικα πράττειν, τῷ ἀδικεῖν· οὐδὲ τὸ ἄδικα πάσχειν, τῷ ἀδικεῖσθαι. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοπραγεῖν καὶ δικαιοῦσθαι· ἀδύνατον γὰρ ἀδικεῖσθαι, μὴ ἀδικοῦντος· ἢ δικαιοῦσθαι, μὴ δικαιοπραγοῦντος. Εἰ δ᾽ ἐστὶν ἁπλῶς τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα τινά, τὸ δ᾽ ἑκόντα, εἰδότα καὶ ὃν, καὶ ᾧ, καὶ ὥς, ὁ δ᾽ ἀκρατὴς ἑκὼν βλάπτει αὐτὸς αὐτόν· ἑκών τ᾽ ἂν ἀδι-

[e] Γρ. ἀκούσιον ἅπαν. [f] Γρ. ἀδικεῖσθαι. [g] Γρ. ἀδικοῦνται. [h] Ἐπὶ delendum esse censet Zuing.

que consentaneum est, utraque similiter inter se opponi, injuriam accipere, et jus suum obtinere: ut utrumque vel sponte perferatur atque obtineatur, vel invite. Sed absurdum videri possit etiam in suo jure obtinendo, si omnis, qui jus suum obtinet, sponte obtineat: nonnulli enim jus suum obtinent non sua voluntate. Tum vero hoc quoque cuipiam dubium esse possit, utrum quisquis aliquid injusti pertulit, injuriam accepisse dicendus sit: an vero, ut in agendo, sic se res habeat etiam in perpetiendo? contingere enim potest, ut quis ex eventu in utroque rerum justarum sit particeps. Fieri autem similiter posse, ut quis rerum injustarum sit particeps, perspicuum est: non enim idem est, res injustas agere, atque injuriam facere: neque res injustas perferre, atque injuriam accipere. Idemque de re juste agenda, et de jure suo obtinendo sentiendum: nam fieri non potest, ut quisquam injuriam accipiat, nisi sit qui faciat: aut ut jus suum obtineat, nisi sit qui juste agat justique judicis munere fungatur. Quod si injuriam facere, simpliciter est alicui sponte sua nocere: sponte autem nocere, est scientem et cui, et quo, et quo modo noceas: incontinens autem sponte sua sibi ipse nocet: ergo sponte sua injuria afficietur, et fieri poterit, ut

κοῖτο, καὶ ἐνδέχοιτο αὐτὸν αὐτὸν ἀδικεῖν. Ἔστι δὲ καὶ τοῦτο ἕν τι τῶν ἀπορουμένων, εἰ ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν. Ἔτι κἂν ἄν τις δι' ἀκρασίαν ὑπ' ἄλλου βλάπτοιτο ἑκόντος· ὥστ' εἴη ἂν ἑκόντ' ἀδικεῖσθαι. Ἢ οὐκ ὀρθὸς ὁ διορισμὸς, ἀλλὰ προσθετέον τῷ βλάπτειν εἰδότα καὶ ὃν, καὶ ᾧ, καὶ ὡς, τὸ παρὰ τὴν ἐκείνου βούλησιν; Βλάπτεται μὲν οὖν τις ἑκὼν, καὶ τὰ ἄδικα πάσχει· ἀδικεῖται δ' οὐθεὶς ἑκών· οὐθεὶς γὰρ βούλεται, [i]οὐδ' ὁ ἀκρατής· ἀλλὰ παρὰ τὴν βούλησιν πράττει· οὔτε γὰρ βούλεται οὐθεὶς, ὃ μὴ οἴεται εἶναι σπουδαῖον· ὁ δὲ ἀκρατὴς, ὃ οὐκ οἴεται δεῖν πράττειν, πράττει. Ὁ δὲ τὰ αὑτοῦ διδοὺς· ὥσπερ Ὅμηρός φησι δοῦναι τὸν Γλαῦκον τῷ Διομήδει,

[k]Χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων·

οὐκ ἀδικεῖται· ἐπ' αὐτῷ γάρ ἐστι τὸ διδόναι· τὸ δὲ ἀδικεῖσθαι, οὐκ ἐπ' αὐτῷ, ἀλλὰ τὸν ἀδικοῦντα δεῖ ὑπάρχειν. Περὶ μὲν οὖν τοῦ ἀδικεῖσθαι, ὅτι οὐχ ἑκούσιον, δῆλον. Ἔτι δ' ὧν προειλό-

[i] Γρ. ἀλλ' οὐδ'. [k] Iliad. ζ. ver. 235.

quis se ipse injuria afficiat. At hoc etiam unum est ex iis, quæ dubitantur et quæruntur, fierine possit, ut quis sibi ipse injuriam faciat. Præterea potest aliquis sponte sua propter incontinentiam suam ab altero ejus voluntate damno affici: itaque fieri poterit, ut quis sponte sua injuria afficiatur. Aut non est recta superior definitio, illisque verbis, Nocere scientem et cui, et quo, et quomodo noceas: addenda sunt hæc, Contra illius voluntatem? Damno igitur sua sponte quispiam affici, resque injustas perferre et perpeti potest: injuriam autem sua sponte accipere nemo potest: nemo enim vult injuriam accipere, ac ne incontinens quidem: sed præter suam voluntatem agit: nam nec vult quisquam, quod non arbitratur esse bonum: at incontinens id quod agendum esse non putat, agit. Neque vero qui dat sua (quemadmodum scribit Homerus Glaucum Diomedi dedisse,

Aurea dat pretio arma boves æquantia centum:
Ærea fert, nihiloque novem meliora juvencis)

injuria afficitur: in ejus enim potestate situm est dare, aut non dare: at injuriam accipere, non est in ejus, qui accipit, potestate situm, sed adsit is oportet, qui injuriam faciat. Injuriam igitur accipere non esse quippiam, quod sponte suscipiatur, ex his in-

μεθα, δύο ἐστὶν εἰπεῖν· πότερόν ποτε ἀδικεῖ ὁ νείμας παρὰ τὴν ἀξίαν τὸ πλεῖον, ἢ ὁ ἔχων· καὶ εἰ ἔστιν αὐτὸν αὐτὸν ἀδικεῖν. Εἰ γὰρ ἐνδέχεται τὸ πρότερον λεχθὲν, καὶ ὁ διανέμων ἀδικεῖ, ἀλλ' οὐχ ὁ ἔχων τὸ πλεῖον, εἴ τις πλέον ἑτέρῳ ἢ αὑτῷ νέμει, εἰδὼς καὶ ἑκὼν, οὗτος αὐτὸς αὑτὸν ἀδικεῖ· ὅπερ δοκοῦσιν οἱ μέτριοι ποιεῖν· ὁ γὰρ ἐπιεικὴς, ἐλαττωτικός ἐστιν. Ἢ οὐδὲ τοῦτο ἁπλοῦν; ἑτέρου γὰρ ἀγαθοῦ, εἰ ἔτυχεν, ἐπλεονέκτει· οἷον δόξης, ἢ τοῦ ἁπλῶς καλοῦ. Ἔτι λύεται καὶ κατὰ τὸν διορισμὸν τοῦ ἀδικεῖν· οὐδὲν γὰρ παρὰ τὴν αὑτοῦ πάσχει βούλησιν. Ὥστε οὐκ ἀδικεῖται διά γε τοῦτο· ἀλλ' εἴ περ, βλάπτεται μόνον. Φανερὸν δὲ καὶ ὅτι ὁ διανέμων ἀδικεῖ, ἀλλ' οὐχ ὁ τὸ πλέον ἔχων ἀεί· οὐ γὰρ ᾧ τὸ ἄδικον ὑπάρχει, ἀδικεῖ, ἀλλ' ᾧ τὸ ἑκόντα τοῦτο ποιεῖν· τοῦτο δ', ὅθεν ἡ ἀρχὴ τῆς πράξεως, ἥ ἐστιν ἐν τῷ διανέμοντι, ἀλλ' οὐκ ἐν τῷ λαμβάνοντι. [1]Ἔτι ἐπεὶ πολλα-

[1] Ἔστι εἰ πολ. El. Ven. 1. et Bas.

telligi potest. Sed ex iis, quæ proposuimus, duo nobis restant explicanda: Utrum injuriam faciat, isne, qui plus alicui tribuit præter ejus meritum ac dignitatem, an is, qui plus consecutus est: et fierine possit, ut quis sibi ipse injuriam faciat. Nam si contingere potest id, quod priore loco dictum est, ut is, qui plus tribuit, faciat injuriam, non is, qui plus obtinuit: sequitur, ut si quis plus alteri, quam sibi, tribuat sciens, et sua voluntate, is se ipse injuria afficiat: id quod modesti homines facere consueverunt: nam vir bonus de suo jure libenter et facile aliis concedere solet. An ne hoc quidem simplex est? nam plus sibi alterius boni, si casus ita tulit, vendicavit; veluti gloriæ, aut ejus quod absolute honestum est. Præterea ex definitione ejus, quod est injuriam facere, hoc dissolvitur: nihil enim ei accidit præter ipsius voluntatem. Quare non idcirco injuria afficitur, sed, ut hoc demus, damno afficitur duntaxat. Perspicuum autem etiam illud est, eum quidem, qui plus distribuit, facere injuriam; qui plus obtinet, non semper: non enim is, in quo id inest, quod injustum est, injuriam facit; sed is, in quo sponte hoc facere, hoc est, a quo actionis principium proficiscitur: quod sane est in eo, qui distribuit, non in eo, qui capit. Præterea quoniam facere multis modis dicitur, et usu venit ut inanima quoque

χῶς τὸ ποιεῖν λέγεται, καὶ ἔστιν ὡς τὰ ἄψυχα κτείνει, καὶ ἡ χεὶρ, καὶ ὁ οἰκέτης ἐπιτάξαντος· οὐκ ἀδικεῖ μὲν, ποιεῖ δὲ τὰ ἄδικα. Ἔτι εἰ μὲν ἀγνοῶν ἔκρινεν, οὐκ ἀδικεῖ κατὰ τὸ νομικὸν δίκαιον, οὐδ᾽ ἄδικος ἡ κρίσις ἐστίν· ἔστι δ᾽ ὡς ἄδικος· ἕτερον γὰρ τὸ νομικὸν δίκαιον καὶ τὸ πρῶτον. Εἰ δὲ γινώσκων ἔκρινεν ἀδίκως, πλεονεκτεῖ καὶ αὐτὸς, ἢ χάριτος, ἢ τιμωρίας. Ὥσπερ οὖν κἂν εἴ τις μερίσαιτο τοῦ ἀδικήματος, καὶ ὁ διὰ ταῦτα κρίνας ἀδίκως, πλέον ἔχει· καὶ γὰρ ἐπ᾽ ἐκείνων ὁ τὸν ἀγρὸν κρίνας, οὐκ ἀγρὸν, ἀλλὰ ἀργύριον ἔλαβεν. Οἱ δ᾽ ἄνθρωποι ἐφ᾽ ἑαυτοῖς οἴονται εἶναι τὸ ἀδικεῖν, διὸ καὶ τὸ δίκαιον εἶναι ῥᾴδιον. Τὸ δ᾽ οὐκ ἔστι· συγγενέσθαι μὲν γὰρ τῇ τοῦ γείτονος, καὶ πατάξαι τὸν πλησίον, καὶ δοῦναι τῇ χειρὶ τὸ ἀργύριον, ῥᾴδιον, καὶ ἐπ᾽ αὐτοῖς· ἀλλὰ τὸ [m] ὡδὶ ἔχοντας ταῦτα ποιεῖν, οὔτε ῥᾴδιον, οὔτ᾽ ἐπ᾽ αὐτοῖς. Ὁμοίως δὲ καὶ τὸ γνῶναι τὰ δίκαια καὶ τὰ ἄδικα, οὐδὲν οἴονται σοφὸν εἶναι, ὅτι περὶ ὧν οἱ νόμοι λέγουσιν, οὐ χαλεπὸν ξυνιέναι· ἀλλ᾽ οὐ ταῦτ᾽ ἐστὶ

[m] Ὡς δεῖ pro ὡδὶ El. quod posterius etiam habet inter lineas.

interficiant, et manus, et servus, domini jussu: non quidem injuriam faciunt, sed tamen res injustas faciunt. Præterea si quis ignorans judicavit, neque facit injuriam, quod ad jus legitimum attinet, neque judicium injustum est: sed est veluti injustum: nam jus legitimum aliud est ab illo primo. Quod si sciens injuste judicavit, jam ipse quoque plus consecutus est, vel in eo quod gratiam iniit ab altero, vel in eo, quod inimicitias suas ultus est. Quemadmodum igitur si quis injuriæ factæ sit socius ac particeps: sic etiam in illis is, qui propter hæc injuste judicavit, plus obtinere intelligitur: nam et in illis qui agrum alteri adjudicavit, is non agrum, sed pecuniam accepit. Homines autem in sua potestate positum esse putant, injuriam facere, eoque esse facile justum esse. Sed non ita est: nam cum vicini uxore rem habere, et alterum verberare, et manu pecuniam largiri, tum facile est, tum in eorum, qui faciunt, potestate situm est: sed sic affectos hæc facere, neque facile, neque in eorum potestate situm est. Itemque justa et injusta nosse, nullius sapientiæ esse putant: quia ea, de quibus loquuntur leges, intelligere difficile non est: ve-

τὰ δίκαια, ἀλλ' ἢ κατὰ συμβεβηκός· ἀλλά πως πραττόμενα καί πως νεμόμενα, δίκαια. Τοῦτο δὲ πλέον ἔργον ἢ τὰ ὑγιεινὰ εἰδέναι· ἐπεὶ κἀκεῖ μὲν μέλι καὶ οἶνον καὶ ἐλλέβορον, καὶ καῦσιν καὶ τομὴν εἰδέναι ῥᾴδιον· ἀλλὰ πῶς δεῖ νεῖμαι πρὸς ὑγίειαν, καὶ τίνι, καὶ πότε, τοσοῦτον ἔργον, ὅσον ἰατρὸν εἶναι. Δι' αὐτὸ δὲ τοῦτο, καὶ τοῦ δικαίου οἴονται εἶναι οὐθὲν ἧττον τὸ ἀδικεῖν· ὅτι οὐθὲν ἧττον ὁ δίκαιος, ἀλλὰ καὶ μᾶλλον δύναιτ' ἂν ἕκαστον πρᾶξαι τούτων· καὶ γὰρ συγγενέσθαι γυναικὶ, καὶ πατάξαι, καὶ ὁ ἀνδρεῖος τὴν ἀσπίδα ἀφεῖναι, καὶ στραφεὶς ἐφ' [n]ὁποτερανοῦν τρέχειν. Ἀλλὰ τὸ δειλαίνειν καὶ τὸ ἀδικεῖν, οὐ τὸ ταῦτα ποιεῖν ἐστι, πλὴν κατὰ συμβεβηκὸς, ἀλλὰ τὸ ὡδὶ ἔχοντα, ταῦτα ποιεῖν ἐστιν· ὥσπερ καὶ τὸ ἰατρεύειν καὶ τὸ ὑγιάζειν, οὐ τὸ τέμνειν ἢ μὴ τέμνειν, ἢ φαρμακεύειν ἢ μὴ φαρμακεύειν ἐστὶν, ἀλλὰ τὸ ὡδί. Ἔστι δὲ τὰ δίκαια ἐν τούτοις οἷς μέτεστι τῶν ἁπλῶς ἀγαθῶν· ἔχουσι δὲ καὶ ὑπερβολὴν ἐν τούτοις καὶ ἔλλειψιν. Τοῖς μὲν γὰρ [o]οὐκ ἔστιν ὑπερβολὴ αὐτῶν,

[n] Ὁποτεραοῦν Bas. et Aurel. ὁπότερον οὖν El. [o] Οὐκ deest Bas.

rum hæc non sunt justa, nisi ex eventu: sed cum certo quodam modo et aguntur et distribuuntur, tum justa sunt. Hoc autem majus opus est, quam res salubres cognoscere: nam illic quoque mel, vinum, veratrum, ustionem, et sectionem nosse facile est: sed quomodo, et cui, et quando ad sanitatem adhibenda sint, cognoscere, ita magnum et operosum est, ut medicum esse. Propter hanc ipsam causam non minus justi, quam injusti hominis esse putant, injuriam facere: quia justus non minus, quam injustus, immo vero magis, unumquodque horum agere possit: nam et hunc cum aliena uxore rem habere, alterumque verberare, et virum fortem clypeum abjicere, et tergo verso in utramvis partem currere posse dicunt. Atqui ignavum esse, et injuriam facere, non est hæc facere, nisi ex eventu, sed sic affectum facere: quemadmodum mederi et sanare, non est secare, aut non secare, medicamento purgare, aut non purgare, sed sic affectum hæc præstare. In his autem jura locum habent, inter quos eorum, quæ absolute bona sunt, communitas est, et quibus horum nimium et parum esse potest. Aliis enim non est eorum nimium, ut fortasse

οἷον ἴσως τοῖς θεοῖς, τοῖς δ' οὐθὲν μόριον ὠφέλιμον, τοῖς ἀνιάτοις καὶ κακοῖς, ἀλλὰ πάντα βλάπτει· τοῖς δὲ, μέχρι του· [p]διὰ ταῦτ' ἀνθρώπινόν ἐστι.

ΚΕΦ. ι΄.

ΠΕΡΙ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς, πῶς ἔχει ἡ μὲν ἐπιείκεια πρὸς δικαιοσύνην, τὸ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον, ἐχόμενόν ἐστιν εἰπεῖν· οὔτε γὰρ ὡς ταὐτὸν ἁπλῶς, οὔθ' ὡς ἕτερον τῷ γένει φαίνεται σκοπουμένοις. Καὶ ὁτὲ μὲν τὸ ἐπιεικὲς ἐπαινοῦμεν, καὶ ἄνδρα τὸν τοιοῦτον· ὥστε καὶ ἐπὶ τὰ ἄλλα ἐπαινοῦντες μεταφέρομεν, ἀντὶ τοῦ ἀγαθοῦ τὸ ἐπιεικέστερον, ὅτι βέλτιον, δηλοῦντες. Ὁτὲ δὲ τῷ λόγῳ ἀκολουθοῦσι φαίνεται ἄτοπον, εἰ τὸ ἐπιεικὲς παρὰ τὸ δίκαιόν τι ὂν, ἐπαινετόν ἐστιν· ἢ γὰρ τὸ δίκαιον οὐ σπουδαῖον, [q]ἢ τὸ ἐπιεικὲς οὐ δίκαιον, εἰ ἄλλο· ἢ εἰ ἄμφω σπουδαῖα, ταὐτόν ἐστιν. Ἡ μὲν οὖν ἀπορία σχεδὸν συμβαίνει διὰ ταῦτα περὶ τὸ ἐπιεικές. Ἔχει δ' ἅπαντα τρόπον τινὰ ὀρθῶς, καὶ οὐθὲν ὑπεναντίον ἑαυτοῖς· τό, τε γὰρ

p Καὶ τοῦτ' Vet. Interp. et Argyr. q Ἢ τὸ ἐπιεικὲς οὐκ, εἰ δικαίου ἄλλο. Lamb. ἢ τὸ ἐπιεικὲς ἄλλο. Vet. Interp. οὐ δίκ. omittit Argyr.

diis; aliis nulla prorsus eorum particula utilis est, nempe hominibus insanabilibus, et omni vitiorum genere contaminatis, sed omnia nocent; aliis aliquatenus utilia sunt: atque hoc humanum est.

CAP. X.

SEQUITUR ut de æquitate, et de æquo bono dicamus, quam rationem æquitas ad justitiam, quam æquum bonum ad jus habeat: namque propius intuentibus, neque ut idem omnino, neque ut aliud genere videtur. Atque interdum æquum bonum laudamus, eumque virum, qui æquus et bonus est: quinetiam hoc nomen ad alia laudando transferimus, pro bono τὸ ἐπιεικέστερον usurpando, melius scilicet quid significantes. Interdum rationem sequentibus, absurdum videtur, æquum bonum, cum sit unum quiddam a jure diversum, esse laudabile: nam vel jus non est bonum, vel æquum bonum non est bonum, si a jure aliud ac diversum est: vel si utrumque bonum est, idem est. Tota igitur de æquo bono quæstio ex his propemodum causis nascitur. Sed hæc omnia quodammodo bene habent; nec quicquam eorum est, quod secum pugnet:

ἐπιεικὲς, δικαίου τινὸς ὂν, βέλτιόν ἐστι δίκαιον· καὶ οὐχ ὡς ἄλλο τι γένος ὂν, βέλτιόν ἐστι τοῦ δικαίου. Τὸ αὐτὸ ἄρα δίκαιον καὶ ἐπιεικές· καὶ ἀμφοῖν σπουδαίοιν ὄντοιν, κρεῖττον τὸ ἐπιεικές. Ποιεῖ δὲ τὴν ἀπορίαν, ὅτι τὸ ἐπιεικὲς, δίκαιον μὲν ἐστιν, οὐ [r]τὸ κατὰ τὸν νόμον δὲ, ἀλλ' ἐπανόρθωμα νομίμου δικαίου. Αἴτιον δ', ὅτι ὁ μὲν νόμος καθόλου πᾶς· περὶ ἐνίων δὲ οὐχ οἷόν τε ὀρθῶς εἰπεῖν καθόλου. Ἐν οἷς οὖν ἀνάγκη μὲν εἰπεῖν καθόλου, μὴ οἷόν τε δὲ ὀρθῶς, τὸ ὡς ἐπιτοπλέον λαμβάνει ὁ νόμος, οὐκ ἀγνοῶν τὸ ἁμαρτανόμενον. Καὶ ἔστιν οὐδὲν ἧττον ὀρθῶς· τὸ γὰρ ἁμάρτημα οὐκ ἐν τῷ νόμῳ, οὐδ' ἐν τῷ νομοθέτῃ, ἀλλ' ἐν τῇ φύσει τοῦ πράγματός ἐστιν· εὐθὺς γὰρ ἡ τῶν πρακτῶν ὕλη τοιαύτη ἐστίν. Ὅταν οὖν λέγῃ μὲν ὁ νόμος καθόλου, συμβῇ δ' ἐπὶ τούτοις παρὰ τὸ καθόλου, τότε ὀρθῶς ἔχει, ᾗ παραλείπει ὁ νομοθέτης, καὶ ἥμαρτεν ἁπλῶς εἰπὼν, ἐπανορθοῦν τὸ ἐλλειφθὲν, ὃ κἂν ὁ νομοθέτης οὕτως ἂν εἴποι, ἐκεῖ παρών· καὶ εἰ ᾔδει, ἐνομοθέτησεν ἄν. Διὸ δίκαιον μὲν

[r] Τὸ abest ab El.

nam æquum bonum jure quodam melius jus est; neque ita jure melius est, ut sit aliud quoddam genus. Idem ergo est jus, et æquum bonum: cumque ambo sint bona, melius est æquum bonum. Sed hinc nata dubitatio est, quod quamvis æquum bonum jus sit, non est tamen jus lege constitutum, aut legitimum, sed juris legitimi correctio. Cujus rei hæc causa est, quod lex omnis generalis est: de quibusdam autem rebus universe et generaliter recte præcipi non potest. Itaque quibus in rebus legis vocem universam ac generalem esse necesse est, id autem non satis recte fieri potest: in eis id sumit lex, quod plerumque solet evenire, quamvis id, quod in hoc peccatur, satis intelligat. Nec tamen idcirco minus recta est: non enim culpa legis est, neque ejus qui legem tulit, sed naturæ rerum: earum enim rerum, quæ in actionem cadunt, talis materia est. Cum igitur lege generaliter locuta, aliquid evenit postea præter genus illud universum: tunc par est, qua prætermisit aliquid lator legis, et peccavit in eo quod absolute locutus est, id, quod deest, quodque omissum est, corrigere: quod etiam lator legis, si illic adesset, ita eloqueretur, et de quo legem tulisset, si præscivisset. Itaque

ἐστι, ϗ βέλτιόν τινος δικαίου· οὐ τοῦ ἁπλῶς δὲ, ἀλλὰ τοῦ διὰ τὸ ἁπλῶς ἁμαρτήματος. Καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς, ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου· τοῦτο γὰρ αἴτιον καὶ τοῦ μὴ πάντα κατὰ νόμον εἶναι, ὅτι περὶ ἐνίων ἀδύνατον θέσθαι νόμον. Ὥστε ψηφίσματος δεῖ· τοῦ γὰρ ἀορίστου, ἀόριστος καὶ ὁ κανών ἐστιν, ὥσπερ καὶ τῆς Λεσβίας οἰκοδομῆς, ὁ μολύβδινος κανών· πρὸς γὰρ τὸ σχῆμα τοῦ λίθου μετακινεῖται, καὶ οὐ μένει ὁ κανών· καὶ τὸ ψήφισμα πρὸς τὰ πράγματα. Τί μὲν οὖν ἐστι τὸ ἐπιεικὲς, [a]καὶ τί τὸ δίκαιον, καὶ τίνος βέλτιον δικαίου, δῆλον. Φανερὸν δ' ἐκ τούτου καὶ ὁ ἐπιεικὴς τίς ἐστιν· ὁ γὰρ τῶν τοιούτων προαιρετικὸς, ϗ πρακτικὸς, ϗ ὁ μὴ ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον, ἀλλ' ἐλαττωτικὸς, καίπερ ἔχων τὸν νόμον βοηθὸν, ἐπιεικής ἐστι· ϗ ἡ ἕξις αὕτη, ἐπιείκεια, δικαιοσύνη τις οὖσα, ϗ οὐχ ἑτέρα τις ἕξις.

[a] Γρ. καὶ ὅτι τὸ δίκ. Ita etiam et Andr.

cum æquum bonum jus sit, tum quodam jure melius est, non eo, quod absolute jus est, sed eo peccato, quod ex simplici et generali sermone natum est. Denique hæc æqui boni vis ac natura est, ut legis correctio sit, qua aliquid ei deest, propterea quod generaliter loquitur: hæc enim causa est, cur non omnia lege sint comprehensa, quod de quibusdam lex ferri non potest. Plebiscito igitur opus est: rei enim non definitæ infinita quoque regula est, ut et structuræ Lesbiæ regula plumbea est: nam ad lapidis figuram torquetur et inflectitur, neque regula eadem manet: sic et populi scitum ad res quotidianas accommodari et transferri solet. Quid sit igitur æquum bonum, quid jus, quo denique jure melius sit æquum bonum, ex his perspicuum est. Ex hoc autem etiam apparet, quis sit vir æquus et bonus: nam qui consilium hujusmodi cepit, ut hæc sequatur, quique ad ea ipsa agenda aptus est; et qui non est juris interpres in sua causa durior, neque in deteriorem partem propensus atque implicatus, sed de suo jure concedit potius, etiamsi legis auxilio niti possit, is est æquus et bonus: et hic habitus æquitas appellatur, quæ justitia quædam est, non alius quidam habitus.

ΚΕΦ. ια΄.

ΠΟΤΕΡΟΝ δὲ ἐνδέχεται ἑαυτὸν ἀδικεῖν ἢ οὐ, φανερὸν ἐκ τῶν εἰρημένων· τὰ μὲν γάρ ἐστι τῶν δικαίων, τὰ κατὰ πᾶσαν ἀρετὴν ὑπὸ τοῦ νόμου τεταγμένα, οἷον οὐ κελεύει ἑαυτὸν ἀποκτενεῖν ὁ νόμος· ἃ δὲ μὴ κελεύει, ἀπαγορεύει. Ἔτι ὅταν παρὰ τὸν νόμον βλάπτῃ, μὴ ἀντιβλάπτων, ἑκὼν ἀδικεῖ· ἑκὼν δὲ, ὁ εἰδὼς καὶ ὃν, καὶ ᾧ, καὶ ὥς. Ὁ δὲ δι᾽ ὀργὴν ἑαυτὸν σφάττων, ἑκὼν τοῦτο δρᾷ παρὰ τὸν ὀρθὸν [t] νόμον, ὃ οὐκ ἐᾷ ὁ νόμος. Ἀδικεῖ ἄρα· ἀλλὰ τίνα; ἢ τὴν πόλιν, αὐτὸν δ᾽ οὔ; ἑκὼν γὰρ πάσχει· ἀδικεῖται δ᾽ οὐθεὶς ἑκών. Διὸ καὶ ἡ πόλις ζημιοῖ, καί τις ἀτιμία πρόσεστι τῷ ἑαυτὸν διαφθείραντι, ὡς τὴν πόλιν ἀδικοῦντι. Ἔτι καθ᾽ ὃ ἄδικος ὁ μόνον ἀδικῶν, καὶ μὴ ὅλως φαῦλος, οὐκ ἔστιν ἀδικῆσαι αὐτόν· τοῦτο γὰρ ἄλλο ἐκείνου· ἔστι γάρ πως ὁ ἄδικος οὕτω πονηρὸς, ὥσπερ ὁ δειλός· οὐχ ὡς ὅλην ἔχων τὴν πονηρίαν. Ὥστ᾽ οὐδὲ κατὰ ταύτην ἀδι-

[t] Γρ. λόγον.

CAP. XI.

EX iis autem, quæ dicta sunt, perspicuum est, utrum fieri possit, ut quis sibi ipse faciat injuriam, necne: nam quæ omni virtuti congruentia a lege constituta sunt, ea in juribus sunt habenda: exempli gratia, non jubet lex seipsum interficere: et quæ non jubet lex, ea vetat. Præterea cum quis contra legem nocet alteri, nullo ab eo incommodo accepto, sponte facit injuriam: sponte autem facit, qui sciens cui, et quomodo faciat, injuriam facit. At qui ira impulsus sibi ipse mortem consciscit, hoc sponte facit contra rectam legem, quod lex non permittit. Injuriam igitur facit: sed cui? nonne civitati, non sibi? sponte enim hunc casum subit ac perfert: at sponte sua nemo afficitur injuria. Itaque et mulctat eum civitas, et ignominia afficit, qui se ipse exanimavit, ut qui civitatem injuria afficiat. Præterea ex eo, quod injustus est is, qui injuste facit tantum, et non prorsus improbus, fieri non potest, ut quisquam sibi ipse injuriam inferat: hoc enim aliud est ab illo: nam injustus ita quodammodo improbus est, ut ignavus; non ut is, qui omni genere improbitatis affectus est. Itaque ne

κεῖ· ἅμα γὰρ τῷ αὐτῷ ἂν εἴη ἀφῃρῆσθαι καὶ προσκεῖσθαι τὸ αὐτό· τοῦτο δὲ ἀδύνατον· ἀλλ' ἀεὶ ἐν πλείοσιν ἀνάγκη εἶναι τὸ δίκαιον καὶ τὸ ἄδικον. Ἔτι δὲ ἑκούσιόν τε καὶ ἐκ προαιρέσεως, καὶ πρότερον· ὁ γὰρ διότι ἔπαθε, καὶ τὸ αὐτὸ ἀντιποιῶν, οὐ δοκεῖ ἀδικεῖν· αὐτὸς δὲ αὑτὸν, τὰ αὐτὰ ἅμα καὶ πάσχει καὶ ποιεῖ. Ἔτι εἴη ἂν ἑκόντα ἀδικεῖσθαι. Πρὸς δὲ τούτοις, ἄνευ τῶν κατὰ μέρος ἀδικημάτων οὐθεὶς ἀδικεῖ· μοιχεύει δὲ οὐδεὶς τὴν [a] ἑαυτοῦ, οὐδὲ τοιχωρυχεῖ τὸν ἑαυτοῦ τοῖχον, οὐδὲ κλέπτει τὰ ἑαυτοῦ. Ὅλως δὲ λύεται τὸ ἑαυτὸν ἀδικεῖν, κατὰ τὸν διορισμὸν τὸν περὶ τοῦ ἑκουσίως ἀδικεῖσθαι. Φανερὸν δὲ καὶ ὅτι ἄμφω μὲν φαῦλα, καὶ τὸ ἀδικεῖσθαι, καὶ τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἔλαττον, τὸ δὲ πλεῖον ἔχειν ἐστὶ τοῦ μέσου· ὥσπερ ὑγιεινὸν μὲν ἐν ἰατρικῇ, εὐεκτικὸν δὲ ἐν γυμναστικῇ. Ἀλλ' ὅμως χεῖρον τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἀδικεῖν, μετὰ κακίας, καὶ ψεκτὸν ἦν· καὶ κακίας, ἢ τῆς τελείας καὶ

[a] Γυναῖκα addit El.

hac improbitate quidem sibi injuriam facit: alioqui idem eidem decedere simul, et accedere posset: quod fieri nullo modo potest, sed semper in pluribus jus et injuriam esse necesse est. Præterea injuriam facere cum a voluntate et consilio proficiscitur, tum etiam tempore prius est: nam qui malo accepto malum refert, injuriam facere non videtur: at qui se injuste lædit, eadem ipse et patitur simul, et facit. Deinde acciperet aliquis sponte sua injuriam. His accedit, quod nemo sine singularibus et certis injuriarum generibus injuriam facit: at uxorem suam nemo adulterat, nemo parietem suum perfodit, nemo rei suæ furtum committit. Postremo in summa, sibi quenquam injuriam facere, refellitur ex iis, quæ a nobis decisa sunt, quod nemo possit sponte sua injuriam accipere. Jam vero ne illud quidem obscurum est, utrumque esse malum, accipere, et facere injuriam: alterum enim minus, alterum plus obtinere medio est; quod similem rationem obtinet, atque in medicina quidem id, quod ad bonam valetudinem pertinet; in arte autem corporum exercendorum id, quo firma corporis constitutio comparatur. Veruntamen deterius injuriam facere est: namque injuriam facere, cum vitio

ἁπλῶς, ἢ ἐγγύς· οὐ γὰρ ἅπαν τὸ ἑκούσιον μετὰ ἀδικίας· τὸ δ' ἀδικεῖσθαι ἄνευ κακίας καὶ ἀδικίας. Καθ' αὑτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι ἧττον φαῦλον· κατὰ συμβεβηκὸς δ' οὐθὲν κωλύει μεῖζον κακόν. Ἀλλ' οὐδὲν μέλει τῇ τέχνῃ· ἀλλὰ πλευρῖτιν λέγει μείζω νόσον προσπταίσματος· καίτοι γένοιτ' ἄν ποτε θάτερον κατὰ συμβεβηκὸς, εἰ προσπταίσαντα διὰ τὸ πεσεῖν συμβαίη ὑπὸ τῶν πολεμίων ληφθῆναι καὶ ἀποθανεῖν. Κατὰ μεταφορὰν δὲ καὶ ὁμοιότητά ἐστιν οὐκ αὐτῷ πρὸς αὑτὸν δίκαιον, ἀλλὰ τῶν αὐτοῦ τισιν· οὐ πᾶν δὲ δίκαιον, ἀλλὰ τὸ δεσποτικὸν, ἢ τὸ οἰκονομικόν· ἐν τούτοις γὰρ τοῖς λόγοις διέστηκε τὸ λόγον ἔχον μέρος τῆς ψυχῆς πρὸς τὸ ἄλογον. [x]Εἰς ἃ δὴ βλέπουσι, καὶ δοκεῖ εἶναι ἀδικία πρὸς αὑτὸν, ὅτι ἔστιν ἐν τούτοις πάσχειν τι παρὰ τὰς ἑαυτῶν ὀρέξεις. Ὥσπερ οὖν ἄρχοντι καὶ ἀρχομένῳ εἶναι

[x] Πρὸς ὃ δή τινες βλέποντες νομίζουσιν ἀδικεῖν τινα ἑαυτὸν καὶ δικαιοῦν. *Quod ipsum quoque nonnullis persuasit, ut existimarent aliquem vel juste vel injuste secum posse agere.* Andr.

conjunctum, et vituperandum esse dicebamus: et cum vitio quidem vel perfecto atque integro, et quod simpliciter tale est, vel eo, quod ei finitimum est: non enim quicquid sponte fit, conjunctum cum injustitia est: accipere injuriam autem, vitio et injustitia vacat. Per se igitur levius malum est, accipere injuriam: quamvis ex eventu gravius esse nihil prohibeat. Sed de hoc ars non laborat: quin lateris dolorem semper esse dicit morbum pedis offensione graviorem: et tamen ex eventu, pedis offensio morbo lateris majus malum poterit esse: ut si cui offenso pede evenerit, ut propterea quod ceciderit, capiatur ab hostibus, et occidatur. Ex translatione autem sermonis et similitudine quadam, poterit esse non ipsi secum, sed sui partium aliquibus inter ipsas quædam juris communitas: verum non omnis juris, sed vel ejus, quo dominus in servum, vel ejus, quo paterfamilias in familiam suam uti solet: his enim rationibus ea pars animi, quæ rationis est particeps, ab ea distat, quæ ratione vacat. Ad quæ ipsa respiciunt, et hoc respectu videtur homini quoque in se ipsum injustitiæ locus esse: quia fieri potest, ut in his partibus aliquid a suis appetitionibus alienum ac diversum perferat. Itaque eti-

πρὸς ἄλληλα δίκαιόν τι, καὶ τούτοις. Περὶ μὲν οὖν δικαιοσύνης καὶ τῶν ἄλλων τῶν ἠθικῶν ἀρετῶν, διωρίσθω τὸν τρόπον τοῦτον.

am in animi partibus inter ipsas, ut inter eum, qui præest, et eum, qui paret imperio, jus aliquod intercedere videtur. De justitia igitur, aliisque virtutibus, quæ ad mores pertinent, cum hac distinctione sic a nobis explicatum sit.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Ζ′.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. VI.

ΚΕΦ. α′.

ΕΠΕΙ δὲ τυγχάνομεν [a]πρότερον εἰρηκότες, ὅτι δεῖ τὸ μέσον αἱρεῖσθαι, μὴ τὴν ὑπερβολὴν, μήτε τὴν ἔλλειψιν· τὸ δὲ μέσον ἐστὶν, ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, τοῦτο διέλωμεν. Ἐν πάσαις γὰρ ταῖς εἰρημέναις ἕξεσι, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων, ἐστί τις σκοπὸς, πρὸς ὃν ἀποβλέπων ὁ τὸν λόγον ἔχων, [b]ἐπιτείνει καὶ ἀνίησι· καί τις ἐστὶν ὅρος τῶν μεσοτήτων, ἃς μεταξύ φαμεν εἶναι τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, οὔσας

[a] Sc. lib. ii. cap. 6. [b] Αὐξάνει μὲν τὰ ἐλάττω τοῦ δέοντος, συστέλλει δὲ τὰ ὑπὲρ τὸ δέον, εἴτε πάθη εἴη, εἴτε πράξεις, εἴτε ἄλλο τι τῶν δυνατῶν καὶ ἐπιτείνεσθαι καὶ ἀνίεσθαι. *Quæ minora sunt, quam oportet, intendit, quæ majora sunt, contrahit, sive affectus ii, sive actiones sint, sive aliud quodcunque, quod aut intendi aut remitti potest.* Andr.

CAP. I.

QUONIAM autem supra diximus, medium esse deligendum, non nimium, neque parum; medium autem ita esse, ut recta ratio præscribit: de hoc distinctius disseramus. In omnibus enim, quos dixi, habitibus, quemadmodum et in aliis rebus, scopus aliquis inest, quem spectans is, qui rationis est particeps, intendit aliquid, et remittit: ac terminus aliquis

κατὰ τὸν ὀρθὸν λόγον. [c] Ἔστι δὲ τὸ μὲν εἰπεῖν οὕτως, ἀληθὲς μὲν, οὐθὲν δὲ σαφές· καὶ γὰρ ἐν ταῖς ἄλλαις ἐπιμελείαις περὶ ὅσας ἐστὶν ἐπιστήμη, τοῦτο ἀληθὲς μὲν εἰπεῖν, ὅτι οὔτε πλείω, οὔτε ἐλάττω δεῖ [d] πονεῖν, οὐδὲ ῥαθυμεῖν, ἀλλὰ τὰ μέσα, καὶ ὡς ὁ ὀρθὸς λόγος. Τοῦτο δὲ μόνον ἔχων ἄν τις, [e] οὐθὲν ἂν εἰδείη πλέον· οἷον ποῖα δεῖ προσφέρεσθαι πρὸς τὸ σῶμα, εἴ τις εἴποι, ὅτι ὅσα ἡ ἰατρικὴ κελεύει, καὶ ὡς ὁ ταύτην ἔχων. Διὸ δεῖ καὶ περὶ τὰς τῆς ψυχῆς ἕξεις, μὴ μόνον [f] ἀληθῶς εἶναι τοῦτ' εἰρημένον, ἀλλὰ καὶ διωρισμένον, τίς τέ ἐστιν ὁ ὀρθὸς λόγος, καὶ τούτου τίς [g] ὁ ὅρος. Τὰς δὴ τῆς ψυχῆς ἀρετὰς [h] διείλομεν, καὶ τὰς μὲν εἶναι τοῦ ἤθους ἔφαμεν, τὰς δὲ τῆς διανοίας. Περὶ μὲν οὖν τῶν ἠθικῶν διεληλύθαμεν· περὶ δὲ τῶν λοιπῶν,

[c] Τὸ δὲ οὕτως ἁπλῶς εἰπεῖν, μέσον ἐστὶ τὸ κατὰ τὸν ὀρθὸν γινόμενον λόγον, ἀληθὲς μὲν, οὐδὲν δὲ σαφές. Andr. [d] Ποιεῖν El. [e] Οὐδὲν ἂν εἰδείη πλέον, ἢ ὁποῖα δεῖ προσφέρεσθαι πρὸς τὸ σῶμα, εἴ τις εἰδείη, ὅτι ὅσα, &c. legendum esse putat Muretus. Quæ verba ita vertit Lambinus: *Nihilo plus sciat, quam qualia sint ad corpus alendum adhibenda, si quis sciat ea adhiberi oportere, quæ præcipit medicina.* [f] Ἀληθὲς C C C. et quidam codd. MSS. apud Victorium. [g] Sunt qui putent τὸν ὅρον *definitionem* significare: alii eum *terminum*, quem singulis actionibus nostris recta ratio constituit; quæ posterior opinio magis probatur, præsertim cum eandem magis probet Eustratius. *Muret.* [h] Sc. lib. i. cap. ult. et lib. ii. cap. 1. Vide Magn. Moral. lib. i. cap. 35.

est mediocritatum, quas inter nimium et parum interjectas esse dicimus, rectæ rationi consentaneas. Quod cum ita dicitur, est illud quidem verum, sed non satis apertum: namque in cæteris studiis, atque exercitationibus, in quibus scientia aliqua versatur, licet hoc quidem vere dicere, neque plus, neque minus laboris, aut desidiæ, quam res postulet, suscipiendum esse, sed omnia mediocriter, et ut recta ratio præscribit, esse facienda. Verum qui hoc tantum perceptum et cognitum habeat, nihil eo amplius sciat: exempli causa, si quis quærenti, qualia alendo et curando corpori sint adhibenda, respondeat, quæ ars medendi præcipit, et ut is, qui ea præditus est, præcipit. Quapropter etiam in habitibus animi non solum hoc esse vere dictum, sed etiam distinctum atque explicatum esse oportet, quæ sit recta ratio, quæque hujus definitio. Atque animi quidem virtutes ita distribuimus, ut alias morum, alias cogitationis esse diceremus. Eas igitur, quæ ad mores pertinent, persecuti sumus: de cæteris autem tum disseramus, cum pauca fuerimus prius de animo locuti.

περὶ ψυχῆς πρῶτον εἰπόντες, λέγωμεν οὕτως. Πρότερον μὲν οὖν ἐλέχθη δύο εἶναι μέρη τῆς ψυχῆς, τό, τε λόγον ἔχον, καὶ τὸ ἄλογον. Νῦν δὲ περὶ τοῦ λόγον ἔχοντος, τὸν αὐτὸν τρόπον διαιρετέον· καὶ ὑποκείσθω δύο τὰ λόγον ἔχοντα· ἓν μὲν ᾧ θεωροῦμεν τὰ τοιαῦτα τῶν ὄντων, [i]ὧν αἱ ἀρχαὶ μὴ ἐνδέχονται ἄλλως ἔχειν, ἓν δέ γε [k]ᾧ τὰ ἐνδεχόμενα. [l]Πρὸς γὰρ τὰ τῷ γένει ἕτερα, καὶ τῶν τῆς ψυχῆς μορίων ἕτερον τῷ γένει, τὸ πρὸς ἑκάτερον πεφυκός, [m]εἴ περ καθ' ὁμοιότητά τινα καὶ οἰκειότητα ἡ γνῶσις ὑπάρχει αὐτοῖς. Λεγέσθω δὲ τούτων, τὸ μὲν ἐπιστημονικόν, τὸ δὲ λογιστικόν· τὸ γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι ταὐτόν. Οὐθεὶς δὲ βουλεύεται περὶ τῶν μὴ ἐνδεχομένων ἄλλως ἔχειν. Ὥστε τὸ λογιστικόν ἐστιν ἕν τι μέρος τοῦ λόγον ἔχοντος. . . Ληπτέον ἄρα, ἑκατέρου τούτων τίς ἡ βελτίστη ἕξις·

[i] Ὅσων pro ὧν El. ὡς ὧν C C C. [k] Τῶν ἃ ἐνδέχονται Bas. [l] Καὶ γὰρ ἐπεὶ τὰ γνωστὰ διάφορά εἰσι καὶ τῷ εἴδει ἕτερα, καὶ τὰς γνώσεις ἔσεσθαι διαφόρους εἶναι τῷ εἴδει· τὴν γὰρ γνῶσιν ὁμοίαν εἶναι τῷ γινωσκομένῳ, καὶ ἀναγκαίαν μὲν τὴν τοῦ ἀναγκαίου, ἐνδεχομένην δὲ τὴν τοῦ ἐνδεχομένου, πᾶσα ἀνάγκη. Πᾶσα γὰρ γνῶσις καθ' ὁμοιότητα καὶ κατ' οἰκειότητα γίνεται· καὶ γὰρ ἐφαρμογή τίς ἐστι καὶ ἐπαφὴ τοῦ γινωσκομένου καὶ τοῦ γινώσκοντος. *Etenim cum ea quæ cognoscuntur sint diversa, atque alia specie, sequitur etiam cognitiones specie diversas esse: cognitionem quippe ei necesse est similem esse quod cognoscitur: quare necessarii necessaria, contingentis sit contingens, omnino est necesse. Omnis quippe ex similitudine quadam et affinitate fit cognitio: siquidem nihil aliud quam congruentia et quasi cohærentia quædam est, ejus qui cognoscit et quod cognoscitur.* Andr. [m] De animo lib. i. cap. 2. et lib. iii. cap. 4.

Dictum est supra, duas esse animi partes: alteram rationis participem, expertem alteram. Nunc autem ejus partis, quæ ratione prædita est, facienda eodem modo divisio est: atque hoc positum sit, duas esse animi partes ratione præditas: unam, qua res eas cernimus, quarum principia aliter sese habere non possunt; alteram, qua eas, quæ hoc vel illo modo possunt evenire. Ad ea enim, quorum non est idem genus, intelligenda, partium quoque animi eam, quæ ad utrumque apta sit natura, oportet genere differre: siquidem eis ex similitudine quadam, atque affinitate cognitio comparatur. Appelletur autem harum altera, pars in qua vis inest sciendi; altera, quæ ad ratiocinandum valet: nam consultare et ratiocinari, idem sunt. Jam vero nemo de iis consultat, quæ aliter evenire non possunt. Itaque ea, quæ ad ratiocinandum valet, una quædam pars est ejus animi partis, quæ ratione prædita est. Intelligendum igitur est, utriusque harum partium quis optimus sit

αὕτη γὰρ ἀρετὴ ἑκατέρου· ἡ δ' ἀρετὴ πρὸς τὸ ἔργον τὸ οἰκεῖον.

ΚΕΦ. β'.

ΤΡΙΑ δ' ἐστὶν ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως καὶ ἀληθείας, αἴσθησις, νοῦς, ὄρεξις· τούτων δ', ἡ αἴσθησις, οὐδεμίας ἀρχὴ πράξεως· δῆλον δὲ τῷ τὰ θηρία αἴσθησιν μὲν ἔχειν, [n]πράξεως δὲ μὴ κοινωνεῖν. [o]Ἔστι δ' [p]ὅπερ ἐν διανοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτ' ἐν ὀρέξει δίωξις καὶ φυγή. Ὥσθ' ἐπειδὴ ἡ ἠθικὴ ἀρετὴ, ἕξις προαιρετικὴ, ἡ δὲ προαίρεσις, ὄρεξις βουλευτικὴ, δεῖ διὰ ταῦτα, τόν τε λόγον ἀληθῆ εἶναι, καὶ τὴν ὄρεξιν ὀρθὴν, εἴ περ ἡ προαίρεσις σπουδαία· καὶ τὰ αὐτὰ, τὸν μὲν φάναι, τὴν δὲ διώκειν. Αὕτη μὲν οὖν ἡ διάνοια καὶ ἡ ἀλήθεια πρακτική. Τῆς δὲ θεωρητικῆς διανοίας, καὶ μὴ πρακτικῆς, μηδὲ ποιητικῆς, τὸ εὖ καὶ κακῶς, τἀληθές ἐστι καὶ ψεῦδος· τοῦτο γάρ ἐστι παντὸς διανοητικοῦ

[n] Τὸ πράττειν non convenit nisi in ea, in quibus inest προαίρεσις. [o] De animo lib. iii. cap. 7. [p] Γρ. ὥσπερ.

habitus: hic enim utriusque virtus est: at virtus ad suum quæque opus pertinet.

CAP. II.

TRIA autem sunt in animo, quæ actionis et veritatis dominatum obtinent, sensus, mens, appetitus: quanquam ex his tribus, sensus, nullius actionis principium est: quod ex eo perspicuum est, quod tametsi bestiæ sensu sint præditæ, actionis tamen communionem non habent. Quod est autem in cogitatione affirmatio et negatio, hoc est in appetitu rei alicujus persecutio et fuga. Quare quoniam virtus, quæ ad mores pertinet, habitus est ad consilium capiendum expeditus: consilium autem appetitus est ad consultationem accommodatus: idcirco si consilium bonum esse volumus, oportet et rationem esse veram, et appetitum rectum, eademque et illam affirmare, et hunc persequi. Hæc igitur cogitatio et veritas ad agendum valet. Cogitationis autem ejus, quæ ad res contemplandas, non ad agendas, neque ad efficiendas valet, præstantia et vitium, est verum et falsum: omnis enim animi partis, seu potestatis ad cogitandum valentis, hoc propri-

[q]ἔργον. Τοῦ δὲ πρακτικοῦ καὶ διανοητικοῦ, ἡ ἀλήθεια ὁμολόγως ἔχουσα τῇ ὀρέξει τῇ ὀρθῇ. Πράξεως μὲν οὖν ἀρχὴ, προαίρεσις, ὅθεν ἡ κίνησις, ἀλλ' οὐχ οὗ ἕνεκα. Προαιρέσεως δὲ, ὄρεξις καὶ λόγος ὁ ἕνεκά τινος· διὸ οὔτ' ἄνευ νοῦ καὶ διανοίας, οὔτ' ἄνευ ἠθικῆς ἐστιν [r]ἕξεως ἡ προαίρεσις· εὐπραξία γὰρ καὶ τὸ ἐναντίον ἐν πράξει ἄνευ διανοίας καὶ ἤθους οὐκ ἔστι. Διάνοια δ' [s]αὐτὴ οὐθὲν κινεῖ, ἀλλ' ἡ ἕνεκά του, καὶ πρακτική· αὕτη γὰρ καὶ τῆς ποιητικῆς [t]ἄρχει· ἕνεκα γάρ [u]του ποιεῖ πᾶς ὁ ποιῶν· καὶ οὐ τέλος ἁπλῶς, ἀλλὰ πρός τι, καί τινος τὸ ποιητὸν, ἀλλ' οὐ τὸ πρακτόν· ἡ γὰρ εὐπραξία, τέλος· ἡ δ' ὄρεξις, τούτου. Διὸ ἢ ὀρεκτικὸς νοῦς ἡ προαίρεσις, ἢ ὄρεξις διανοητική· καὶ ἡ τοιαύτη ἀρχὴ, ἄνθρωπος. Οὐκ ἔστι δὲ προαιρετὸν οὐθὲν γεγονός· οἷον οὐθεὶς προαιρεῖται [v]Ἴλιον πεπορθηκέναι· οὐδὲ γὰρ βουλεύ-

[q] Γρ. ἴεργον. [r] Ὀρέξεως Ven. 1. 2. Bas. et Muret. Pro nobis facit Andr.
[s] Αὕτη Lamb. et Aurel. [t] Γρ. ἀρχὴ, ita Andr. [u] Τούτου Ven. 1. et 2.

um opus ac munus est. Ejus autem animi partis, quæ ad agendum et cogitandum valet, opus est veritas conspirans et congruens cum appetitu recto. Actionis igitur principium, consilium est: principium, inquam, unde motus proficiscitur, non cujus gratia res agitur. Consilii autem capiendi principium, est appetitus et ratio ea, quæ finem aliquem sibi propositum habet: eo quod neque sine mente et cogitatione, neque sine habitu eo, qui ad mores pertinet, consilium esse possit: nam neque bona perfectaque actio, neque ei contraria, sine cogitatione et moribus constare potest. Cogitatio autem ipsa nihil movet, nisi ea, quæ alicujus rei gratia comparata est; et quæ ad agendum est idonea: hæc enim etiam ei, quæ ad efficiendum valet, præest: nam quisquis aliquid efficit, alicujus rei singularis causa efficit: neque absolute id quod efficitur, finis est, sed ad aliquid refertur, et alicujus est: quod idem de eo, quod in actionem cadit, dici non potest: actionis enim ultimum est perfecta actio, id est, res bene gesta; appetitio autem, ultimi est. Consilium itaque, aut mens est ad appetendum excitans, aut appetitus cogitandi vim habens: principiumque tale homo est. Nullius autem rei jam factæ consilium capi potest: verbi gratia, nemo consilium capit, Illium evertisse: nam neque de re

εται περὶ τοῦ γεγονότος, ἀλλὰ περὶ τοῦ ἐσομένου, καὶ ἐνδεχομένου. Τὸ δὲ γεγονὸς οὐκ ἐνδέχεται μὴ γενέσθαι· διὸ ὀρθῶς Ἀγάθων,

Μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται,
Ἀγένητα ποιεῖν ἅσσ᾽ ἂν ᾖ πεπραγμένα.

Ἀμφοτέρων δὴ τῶν νοητικῶν μορίων ἀλήθεια τὸ ἔργον. Καθ᾽ ἃς οὖν ἕξεις μάλιστ᾽ ἀληθεύει ἑκάτερον, αὗται αἱ ἀρεταὶ ἀμφοῖν.

ΚΕΦ. γ΄.

ΑΡΞΑΜΕΝΟΙ οὖν ἄνωθεν, περὶ αὐτῶν πάλιν λέγωμεν. [x]Ἔστω δὴ οἷς ἀληθεύει ἡ ψυχὴ τῷ καταφᾶναι ἢ ἀποφᾶναι, πέντε τὸν ἀριθμόν· ταῦτα δ᾽ ἐστὶ, τέχνη, ἐπιστήμη, φρόνησις, σοφία, νοῦς· ὑπολήψει γὰρ καὶ δόξῃ ἐνδέχεται διαψεύδεσθαι. Ἐπιστήμη μὲν οὖν τί ἐστιν, ἐντεῦθεν φανερὸν, εἰ δεῖ ἀκριβολογεῖσθαι, καὶ μὴ ἀκολουθεῖν ταῖς ὁμοιότησι· πάντες γὰρ ὑπολαμβάνομεν, ὃ ἐπιστάμεθα μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν. Τὰ δὲ ἐνδεχόμενα ἄλλως, ὅταν ἔξω τοῦ θεωρεῖν

x Ἔστι Bas. ἴστω C C C.

præterita deliberat quisquam, sed de futura, et ea, quæ fieri potest. Quod factum est autem, ut sit infectum, fieri non potest: itaque recte Agatho,

Hoc namque duntaxat negatum etiam Deo est,
Quæ facta sunt, infecta posse reddere.

Quocirca ambarum animi partium, quæ ad cogitandum valent, opus est veritas. Qui igitur habitus efficiunt, ut utraque pars verum enunciet, hi sunt utriusque virtutes.

CAP. III.

PRINCIPIO igitur altius repetito, de iis rursum disseramus. Ac sint sane quinque numero, quibus animus verum enunciat vel aiendo, vel negando: Ars, Scientia, Prudentia, Sapientia, Mens sive Intelligentia: nam existimatione et opinione ut mentiatur animus, evenire potest. Ac scientia quidem quid sit, ex hoc perspicuum esse potest, si rei veritatem subtiliter exquirere, non similitudines consectari volumus, quod omnes existimamus, evenire non posse, ut id quod scimus, aliter sese habeat. Quæ autem sese aliter habere possunt, ea cum longe a

γένηται, λανθάνει εἰ ἔστιν, ἢ μή. Ἐξ ἀνάγκης ἄρα ἐςὶ τὸ ἐπιςητόν· ἀΐδιον ἄρα· τὰ γὰρ ἐξ ἀνάγκης [y] ὄντα ἁπλῶς, ἀΐδια πάντα· τὰ δ' ἀΐδια, [z] ἀγένητα καὶ ἄφθαρτα. Ἔτι διδακτὴ πᾶσα ἐπιστήμη δοκεῖ εἶναι, καὶ τὸ ἐπιστητὸν, μαθητόν. Ἐκ προγινωσκομένων δὲ πᾶσα διδασκαλία· ὥσπερ καὶ [a] ἐν τοῖς ἀναλυτικοῖς ἐλέγομεν· ἡ μὲν γὰρ δι' ἐπαγωγῆς, ἡ δὲ συλλογισμῷ. Ἡ μὲν δὴ ἐπαγωγὴ [b] ἀρχή ἐςι καὶ τοῦ καθόλου· ὁ δὲ συλλογισμὸς ἐκ τῶν καθόλου. Εἰσὶν ἄρα ἀρχαὶ, ἐξ ὧν ὁ συλλογισμὸς, ὧν οὐκ ἔςι συλλογισμός· ἐπαγωγὴ ἄρα. Ἡ μὲν ἄρα ἐπιςήμη ἐςὶν ἕξις ἀποδεικτικὴ, καὶ ὅσα ἄλλα [c] προσδιοριζόμεθα ἐν τοῖς ἀναλυτικοῖς· ὅταν γάρ πως πιςεύῃ, καὶ γνώριμοι αὐτῷ ὦσιν αἱ ἀρχαὶ, ἐπίςαται· εἰ γὰρ μὴ μᾶλλον τοῦ συμπεράσματος, κατὰ συμβεβηκὸς ἕξει ἐπιςήμην. Περὶ μὲν οὖν ἐπιςήμης διωρίσθω τὸν τρόπον τοῦτον.

[y] Γρ. ὄντα, ἁπλῶς ἀΐδ. mutata distinctione. [z] Γρ. ἀγέννητα. [a] Sc. Analyt. Poster. lib. i. cap. 1. [b] Ἀρχή ἐστι τοῦ καθ. Argyr. alii legunt ἀρχῆς ἐστι. Nobiscum Andr. qui sic παραφράζει hanc periochen: ἡ μὲν οὖν ἐπαγωγὴ καθάπερ ἀρχή ἐστι καὶ τῶν ἀναποδείκτων ἀρχῶν, αἳ καθόλου μέν εἰσι, γινώσκονται δὲ ἀπὸ τῶν καθ' ἕκαστα: *est ergo inductio tanquam eorum principiorum, quæ non demonstrantur, principium, et quæ universalia quidem sunt, a singularibus cognoscuntur tamen.* [c] Malim προσδιωριζόμεθα, ut paulo ante ἐλέγομεν. *Casaub.*

conspectu remota sint, sint, necne sint, obscurum est. Ergo quod scientia comprehendi potest, necessario est: ex quo efficitur, ut æternum sit: nam quæ necessario sunt simpliciter, ea sunt æterna omnia: æterna autem quæ sunt, ea neque unquam orta sunt, neque interire possunt. Præterea scientia omnis sub doctrinam cadere videtur: et quicquid sub scientiam cadit, discendo percipi potest. Jam vero ex quibusdam rebus ante cognitis, omnis doctrina gignitur: quemadmodum et in Analyticis dicebatur: alia enim inductione, alia ratiocinatione comparatur. Atque inductio quidem principium est, et universi est; ratiocinatio autem ex universis constat. Sunt ergo principia aliqua, ex quibus constituitur ratiocinatio, quorum non est ratiocinatio: est igitur eorum inductio. Scientia ergo habitus est ad rem demonstrandam idoneus, et cætera omnia quæ in Analyticis ad definitionem addidimus: cum enim rem ita esse quodammodo credit aliquis, et nota sunt ei principia, tum scire dicitur: nam si non erunt conclusione notiora, ex eventu partam scientiam habebit. Ac de scientia quidem cum hac distinctione a nobis dictum sit.

ΚΕΦ. δʹ.

ΤΟΥ δ' ἐνδεχομένου ἄλλως ἔχειν,[d] ἔστι τι καὶ ποιητὸν, καὶ πρακτόν. Ἕτερον δ' ἐστὶ ποίησις, καὶ πρᾶξις· πιστεύομεν δὲ καὶ περὶ αὐτῶν καὶ τοῖς [e] ἐξωτερικοῖς λόγοις· [f] ὥστε καὶ ἡ μετὰ λόγου ἕξις πρακτικὴ, ἕτερόν ἐστι τῆς μετὰ λόγου ποιητικῆς ἕξεως· καὶ οὐδὲ περιέχεται ὑπ' ἀλλήλων· οὔτε γὰρ ἡ πρᾶξις, ποίησις· οὔτε ἡ ποίησις, πρᾶξίς ἐστιν. Ἐπεὶ δ' ἡ οἰκοδομικὴ, τέχνη τίς ἐστι, καὶ ὅπερ ἕξις τις μετὰ λόγου ποιητικὴ, καὶ οὐδεμία οὔτε τέχνη ἐστὶν, ἥτις οὐ μετὰ λόγου ποιητικὴ ἕξις ἐστὶν, οὔτε τοιαύτη, ἣ οὐ τέχνη, ταὐτὸν ἂν εἴη τέχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητική. Ἔστι δὲ τέχνη πᾶσα περὶ γένεσιν, καὶ τὸ τεχνάζειν, καὶ θεωρεῖν, ὅπως ἂν γένηταί τι τῶν ἐνδεχομένων καὶ εἶναι, καὶ μὴ εἶναι· καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι, ἀλλὰ μὴ ἐν τῷ ποιουμένῳ· οὔτε γὰρ τῶν ἐξ ἀνάγκης ὄντων, ἢ γινομένων, ἡ τέχνη ἐστὶν, οὔτε τῶν κατὰ φύσιν· [g] ἐν αὐτοῖς γὰρ

[d] Magn. Moral. lib. i. cap. 35. [e] Per ἐξωτερ. λόγους Aquinas intelligit libros Metaph. Vide lib. i. cap. 13. et Mur. [f] Vide Metaph. lib. vi. cap. 1. [g] Ἐν ἑαυτοῖς N C.

CAP. IV.

EORUM autem, quæ aliter evenire possunt, aliud est, quod sub effectionem venit: aliud, quod sub actionem. Differt autem ab actione effectio (Exotericis autem sermonibus hac etiam in re credendum est) itaque et habitus cum ratione conjunctus ad agendum idoneus ab eo differt, qui cum ad efficiendum valeat, cum ratione conjunctus est: neuterque ab altero continetur; nam neque actio, effectio; neque effectio, actio est. Quoniam autem ædificandi facultas, seu potestas, ars quædam est, atque id ipsum, quod habitus quidam cum ratione conjunctus ad efficiendum idoneus; neque ars ulla est, quæ non sit habitus cum ratione conjunctus ad faciendum idoneus; neque ullus talis habitus est, qui non sit ars: idem erunt ars, et habitus ad faciendum idoneus cum vera ratione conjunctus. Ars autem omnis in origine et molitione rei occupata est, idque molitur et spectat, ut aliquid fiat eorum, quæ esse et non esse possunt, quorumque principium in eo, qui facit, non in eo, quod fit, positum est: nam neque eorum, quæ necessario vel sunt, vel fiunt, ars est, neque eorum, quæ natura constant: hæc enim in seipsis inclusum habent

ἔχουσι ταῦτα τὴν ἀρχήν. Ἐπεὶ δὲ ποίησις καὶ πρᾶξις ἕτερον, ἀνάγκη τὴν τέχνην ποιήσεως, ἀλλ' οὐ πράξεως εἶναι. Καὶ τρόπον τινὰ περὶ τὰ αὐτά ἐστιν, ἡ τύχη, καὶ ἡ τέχνη, καθάπερ καὶ Ἀγάθων φησὶ,

Τέχνη τύχην ἔστερξε, καὶ τύχη τέχνην.

Ἡ μὲν οὖν τέχνη, ὥσπερ εἴρηται, ἕξις τις μετὰ λόγου ἀληθοῦς ποιητική ἐστιν· ἡ δ' ἀτεχνία, τοὐναντίον μετὰ λόγου ψευδοῦς ποιητικὴ ἕξις, περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν.

ΚΕΦ. εʹ.

ΠΕΡΙ δὲ φρονήσεως οὕτως ἂν λάβοιμεν, θεωρήσαντες τίνας [h] δὴ λέγομεν τοὺς φρονίμους. Δοκεῖ [i] δὴ φρονίμου εἶναι, τὸ δύνασθαι καλῶς βουλεύσασθαι περὶ τὰ αὐτῷ ἀγαθὰ καὶ συμφέροντα, οὐ κατὰ μέρος, [k] οἷον ποῖα πρὸς ὑγίειαν ἢ ἰσχύν· ἀλλὰ, ποῖα πρὸς τὸ εὖ ζῆν ὅλον. Σημεῖον δ', ὅτι καὶ τοὺς περί τι φρονίμους λέγομεν, ὅταν πρὸς τέλος τι σπουδαῖον εὖ λογίσωνται, ὧν μή ἐστι τέχνη. Ὥστε καὶ ὅλως ἂν εἴη φρό-

[h] Δὴ abest ab El. [i] Δὲ N C. Bas. Ven. 1. et Andr. [k] Οἷον οὐ ποῖα Ven. 1. et 2.

principium. Quoniam autem effectio et actio inter se differunt, necesse est artem, effectionis esse, non actionis. In iisdemque rebus quodammodo ars, et fortuna versantur, quemadmodum ait et Agatho:

Fortuna ut artem, sic et ars fortunam amat.

Ars igitur (ut dictum est) habitus est quidam cum vera ratione conjunctus, ad efficiendum idoneus: inertia contra habitus cum ratione falsa conjunctus ad efficiendum idoneus, in eo, quod aliter evenire potest, occupatus.

CAP. V.

DE prudentia autem sic optime cognoscemus, si, quos prudentes appellemus, perceperimus. Ac prudentis quidem videtur esse in iis, quæ sibi bona, et ex usu sunt, non singillatim, verbi gratia, quænam ad bonam valetudinem, aut ad vires, sed universe, quæ ad bene beateque vivendum conducant, bene consultare posse. Cujus rei argumentum est, quod prudentes in re aliqua dicimus eos, qui bene ratiocinando, quomodo ad honestum finem perveniant, assequuntur, in iis, quæ arte non continen-

νιμος, ὁ βουλευτικός. Βουλεύεται δ' οὐδεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδὲ τῶν μὴ ἐνδεχομένων αὐτῷ πρᾶξαι. Ὥστ' εἴ περ ἐπιστήμη μὲν μετὰ ἀποδείξεως· ὧν δ' αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μή ἐστιν ἀπόδειξις· πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν· καὶ οὐκ ἔστι βουλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων, οὐκ ἂν εἴη ἡ φρόνησις ἐπιστήμη, οὐδὲ τέχνη. Ἐπιστήμη μὲν, ὅτι ἐνδέχεται τὸ πρακτὸν ἄλλως ἔχειν· τέχνη δ', ὅτι ἄλλο [l]τὸ γένος πράξεως, καὶ ποιήσεως. Λείπεται ἄρα αὐτὴν εἶναι, ἕξιν ἀληθῆ μετὰ λόγου πρακτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά· τῆς μὲν γὰρ ποιήσεως ἕτερον τὸ τέλος, τῆς δὲ πράξεως [m]οὐκ ἀεί· ἔστι γὰρ [n]αὐτὴ ἡ εὐπραξία τέλος. Διὰ τοῦτο Περικλέα καὶ τοὺς τοιούτους, φρονίμους οἰόμεθα εἶναι, ὅτι τὰ αὐτοῖς ἀγαθὰ, καὶ τὰ τοῖς ἀνθρώποις δύνανται θεωρεῖν· εἶναι δὲ τοιούτους ἡγούμεθα τοὺς οἰκονομικοὺς, καὶ πολιτικούς. [o]Ἔνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσαγο-

[l] Τὸ τέλος N C. Ven. 1. 2. et Bas. [m] Οὐκ ἂν εἴη pro οὐκ ἀεὶ N C. et quidam Editi. [n] Γρ. αὐτῇ. [o] Ὅθεν C C C.

tur. Quocirca qui ad consultandum ingenio valet, is et prudens omnino, et universe fuerit. Consultat autem iis de rebus nemo, quæ aliter sese habere, quæve ab ipso agi non possunt. Quare si scientia omnis cum demonstratione conjuncta est; et si, quorum principia aliter sese habere possunt, eorum non est demonstratio; (omnia enim sese aliter quoque habere possunt;) si denique de iis, quæ necessario sunt, consultari non potest: neque scientia, neque ars erit prudentia. Scientia, quia quod sub actionem venit, sese aliter habere potest: Ars, quia aliud actionis, aliud effectionis est genus. Restat igitur, ut ea sit habitus cum ratione vera conjunctus, ad agendum idoneus, in iis occupatus, quæ homini bona et mala sunt: effectionis enim alius, quam effectio, finis est; actionis vero non semper alius ab actione finis est: est enim ipsa res bene gesta, seu perfecta actio, actionis finis. Ac propter hanc causam Periclem, cæterosque tales viros prudentes esse arbitramur, quod ea, quæ sibi, hominumque generi bona sunt, dispicere, ac providere possunt: quales esse putamus eos, qui rei familiaris tuendæ, reique publicæ administrandæ periti sunt. Ex quo nomen invenit apud Græcos temperantia,

ρεύομεν τῷ ὀνόματι, ὡς σώζουσαν τὴν φρόνησιν. Σώζει δὲ τὴν τοιαύτην ὑπόληψιν· οὐ γὰρ πᾶσαν ὑπόληψιν διαφθείρει, οὐδὲ διαστρέφει τὸ ἡδὺ, καὶ τὸ λυπηρόν· οἷον, ὅτι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει, ἢ οὐκ ἔχει· ἀλλὰ τὰς περὶ τὸ πρακτόν. Αἱ μὲν γὰρ ἀρχαὶ τῶν πρακτῶν, τὸ οὗ ἕνεκα τὰ πρακτά· τῷ δὲ διεφθαρμένῳ δι' ἡδονὴν, ἢ λύπην, εὐθὺς οὐ φανεῖται ἡ ἀρχὴ, οὐδὲ δεῖν τούτου ἕνεκα, οὐδὲ διὰ τοῦθ' αἱρεῖσθαι πάντα καὶ πράττειν· ἔστι γὰρ ἡ κακία φθαρτικὴ ἀρχῆς. Ὥστ' ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶναι μετὰ λόγου [p] ἀληθῆ, περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν. Ἀλλὰ μὴν [q] τέχνης μέν ἐστιν ἀρετή· φρονήσεως δ', οὐκ ἔστι. Καὶ ἐν μὲν τέχνῃ ὁ ἑκὼν ἁμαρτάνων, αἱρετώτερος· περὶ δὲ φρόνησιν, ἧττον, [r] ὥσπερ καὶ περὶ τὰς

[p] Ita nostri MSS. et Andr. ex Vet. Interp. ἀληθοῦς emendarunt Lamb. et Casaub. [q] Doctissimi quidam viri emendant τέχνης μὲν οὐκ ἔστιν ἀρετή· φρονήσεως δ' ἐστί. prorsus contra Aristotelis mentem. Magn. Moral. lib. i. cap. 35. et passim τέχνῃ ἀρετὴν tribuit, non φρονήσει. *Casaub.* Ἔτι δὲ τῆς μὲν τέχνης ἐστὶ καὶ κακία καὶ ἀρετή· καὶ γὰρ δυνατὸν καὶ ἀγαθὸν εἶναι τεχνίτην καὶ πονηρόν. Φρονήσεως δὲ οὔτε κακία ἐστίν· ἀδύνατον γὰρ φρόνιμόν τινα φαῦλον εἶναι· οὔτε ἀρετή· αὐτὴ γάρ ἐστιν ἀρετή· ἀρετὴ δὲ ἀρετῆς οὐκ ἔστιν, οὐ γὰρ μεσότης μεσότητος. *Præterea artis est vitium et virtus: potest enim et bonus esse artifex et malus. Prudentiæ vero neque vitium est (non enim fieri potest ut prudens aliquis sit malus) neque virtus: ipsa enim est virtus: virtus autem virtutis non est, sicut nec mediocritas mediocritatis.* Andr. [r] Γρ. ὡς.

quam illi appellant σωφροσύνη, tanquam prudentiæ conservatricem. Talem autem existimationem tuetur et conservat: non enim omnem existimationem corrumpunt neque depravant dolor et voluptas: exempli causa, triangulum duobus rectis pares angulos habere, aut non habere: sed eas duntaxat, quæ ad id, quod sub actionem venit, pertinent. Eorum enim, quæ sub actionem veniunt, principia sunt eæ res, quarum rerum gratia suscipiuntur ea, quæ sub actionem veniunt: qui autem voluptate aut dolore corruptus est, ei statim principii videndi facultas eripitur: neque is animo cernere potest, se hujus rei causa, et propter hanc causam omnia optare, atque agere oportere: vitium enim principii delendi ac perimendi vim habet. Quapropter necesse est, prudentiam habitum esse cum ratione vera conjunctum, ad agendum idoneum, in bonis humanis occupatum. Artis porro virtus est: prudentiæ autem non est. Et qui sua voluntate in arte titubarit atque offenderit, ei est anteferendus, qui invitus: in prudentia contra deterior est is, qui sponte sua offenderit, quemadmodum et in vir-

ἀρετάς. Δῆλον οὖν, ὅτι ἀρετή τις ἐστὶ, καὶ οὐ τέχνη. Δυοῖν δ' ὄντοιν μεροῖν τῆς ψυχῆς τῶν λόγον ἐχόντων, θατέρου ἂν εἴη ἀρετὴ, τοῦ δοξαστικοῦ· ἥ τε γὰρ δόξα περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν ἐστὶ, καὶ ἡ φρόνησις. Ἀλλὰ μὴν οὐδ' ἕξις μετὰ λόγου μόνον· *σημεῖον δ', ὅτι λήθη τῆς μὲν τοιαύτης ἕξεώς ἐστι· φρονήσεως δ' οὐκ ἔστιν.

ΚΕΦ. ϛ'.

ΕΠΕΙ δ' ἡ ἐπιστήμη περὶ τῶν καθόλου ἐστὶν ὑπόληψις, καὶ τῶν ἐξ ἀνάγκης ὄντων, εἰσὶ δ' ἀρχαὶ τῶν ἀποδεικτῶν καὶ πάσης ἐπιστήμης· μετὰ λόγου γὰρ ἡ ἐπιστήμη· τῆς ἀρχῆς τοῦ ἐπιστητοῦ, οὔτ' ἂν ἐπιστήμη εἴη, οὔτε τέχνη, οὔτε φρόνησις. Τὸ μὲν γὰρ ἐπιστητὸν, ἀποδεικτόν· αἱ δὲ τυγχάνουσιν οὖσαι περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. Οὐδὲ δὴ σοφία τούτων ἐστί· τοῦ γὰρ σοφοῦ περὶ ἐνίων ἔχειν ἀπόδειξίν ἐστιν. Εἰ δὴ οἷς ἀληθεύομεν, καὶ μηδέποτε διαψευδόμεθα περὶ τὰ μὴ ἐνδεχόμενα, ἢ καὶ ἐν-

* Prudentia enim haud facile oblivione deletur, quoniam quotidie in publicis privatisque actionibus versatur.

tutibus. Perspicuum igitur est, eam virtutem esse quandam, non artem. Cum sint autem duæ animi partes rationis participes: ejus partis, quæ ad opinandum valet, virtus est prudentia: in iis enim, quæ aliter sese habere possunt, et opinio et prudentia versatur. Sed nec habitus est cum ratione conjunctus tantum: idque ex eo perspici potest, quod hujusmodi habitum delere potest oblivio, non potest prudentiam.

CAP. VI.

QUONIAM autem scientia existimatio est de rebus universis, iisque, quæ necessario sunt; quoniamque rerum; quæ sub demonstrationem cadunt, omnisque adeo scientiæ sunt aliqua principia; (cum ratione enim conjuncta scientia est:) consentaneum est principii earum rerum, quæ scientia comprehendi possunt, neque scientiam esse, neque artem, neque prudentiam. Nam quod scientia comprehendi potest, demonstrari potest: ars autem et prudentia in iis rebus versantur, quæ sese aliter possunt habere. Ne sapientia quidem harum rerum esse potest: sapientis enim est, nonnullarum rerum demonstrationem expedire posse. Si igitur nihil est, quo verum enunciemus, nunquam-

δεχόμενα ἄλλως ἔχειν, ἐπιστήμη, καὶ φρόνησίς ἐστι, καὶ σοφία, καὶ νοῦς, τούτων δὲ τριῶν μηθὲν ἐνδέχεται εἶναι· λέγω δὲ τρία, φρόνησιν, σοφίαν, ἐπιστήμην· [t]λείπεται νοῦν εἶναι τῶν ἀρχῶν.

ΚΕΦ. ζ'.

ΤΗΝ δὲ σοφίαν ἐν ταῖς τέχναις, τοῖς ἀκριβεστάτοις τὰς τέχνας ἀποδίδομεν· οἷον Φειδίαν, λιθουργὸν σοφὸν, καὶ Πολύκλειτον, ἀνδριαντοποιόν· ἐνταῦθα μὲν οὖν οὐθὲν ἄλλο σημαίνοντες τὴν σοφίαν, ἢ ὅτι ἀρετὴ τέχνης ἐστίν. Εἶναι δέ τινας σοφοὺς οἰόμεθα ὅλως· οὐ κατὰ μέρος, οὐδὲ ἄλλο τι [u]ἢ σοφοὺς, ὥσπερ Ὅμηρός φησιν ἐν τῷ [x]Μαργείτῃ,

Τὸν δ' οὔτ' ἂρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα,
Οὔτ' ἄλλως τι σοφόν.

Ὥστε δῆλον, ὅτι ἡ ἀκριβεστάτη ἂν τῶν ἐπιστημῶν εἴη ἡ σοφία. Δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέναι, ἀλλὰ

[t] Λείπεται δὴ τὸν νοῦν εἶναι γνῶσιν τῶν ἀρχῶν, καὶ τοῦτό ἐστι νοῦς, ᾧ τὰς ἀρχὰς γνώσκομεν τῆς ἐπιστήμης. *Andr.* [u] Ἢ deest El. et plerisque editis. [x] Hujus poematis, quod non exstat, mentionem facit Aristoteles in lib. περὶ ποιητικῆς, ubi ita scribit: ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας. Basilius Magnus illud Pittaco ascribit: et Clemens Alexandr. στρώμ. λόγ. α'. videtur dubitare de ejus auctore. Archilochus vero, et Cratinus et Callimachus, ut observavit Eustrat. illud Homeri fuisse testantur.

que mentiamur, tum in iis rebus, quæ non possunt aliter sese habere, tum in iis, quæ possunt, præter scientiam, prudentiam, sapientiam, et mentem seu intelligentiam; nullum autem ex his tribus, principiorum esse potest; (tria dico, prudentiam, sapientiam, scientiam): relinquitur, ut mens sit principiorum.

CAP. VII.

SAPIENTIAM autem in artibus, iis attribuimus, qui cujusque artis sunt peritissimi: ut Phidiam, sapientem lapidum sculptorem, Polycletum, sapientem statuarum fictorem dicimus: nihil hic aliud per sapientiam, quam artis virtutem significantes. Nonnullos autem universe sapientes esse arbitramur: non singillatim, neque quidquam aliud, quam sapientes: quemadmodum ait Homerus in Margite,

Hic neque fossor erat, nec arator munere divum,
Nec sapiens ulla in re alia.

Quapropter perspicuum est, scientiarum omnium limatissimam et absolutissimam esse sapientiam. Sapientem igitur oportet non ea solum intelligere, quæ ex principiis

καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. Ὥστ' εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη, καὶ ὥσπερ κεφαλὴν ἔχουσα [y] ἐπιστήμη τῶν τιμιωτάτων· ἄτοπον γὰρ, εἴ τις τὴν ἐπιστήμην πολιτικὴν, ἢ τὴν φρόνησιν σπουδαιοτάτην οἴεται εἶναι, [z] εἰ μὴ τὸ ἄριστον τῶν ἐν τῷ κόσμῳ, ἄνθρωπός ἐστιν. Εἰ δὴ [a] ὑγιεινὸν μὲν καὶ ἀγαθὸν ἕτερον ἀνθρώποις καὶ ἰχθύσι, τὸ δὲ λευκὸν καὶ εὐθὺ ταὐτὸ ἀεί· καὶ τὸ σοφὸν ταὐτὸ πάντες ἂν εἴποιεν, φρόνιμον δὲ ἕτερον· [b] τὸ γὰρ περὶ αὐτὸ ἕκαστα εὖ θεωροῦν, φαῖεν ἂν εἶναι

[y] Ἐπιστήμην N C. et quidam Editi. Veterem lectionem confirmat Andronicus, qui sic explicat: *καὶ οὕτως ἔσται ἐπιστήμη καὶ τιμιωτάτη, καθάπερ κεφαλὴν ἔχουσα τὰς ἀρχάς· ἐν γὰρ τῷ αὐτῆς λόγῳ, καὶ τὰ ἀποδεικτὰ καὶ αἱ ἀρχαὶ λαμβάνονται: eoque modo longe præstantissima erit scientia, ut quæ tanquam caput habeat principia; in ejus enim definitione demonstrata conjunguntur et principia.* Hanc lectionem retinendam esse probat Victorius lib. xxxviii. c. 15. Var. Lect. et eam ita exponit: Sapientiam sc. ex mente et scientia compositam esse, et veluti caput habere ipsam mentem, cujus vi initia scientiarum percipiantur. Aliter vero legendum esse judicat Lambinus, qui sequentia de hoc loco habet: Sic emendavi, *ὥσπερ κεφαλὴ ἔχ.* quorum verborum hæc sententia est: et Scientia rationem seu proportionem capitis habens ad cæteros habitus, seu ad cæteras scientias. Atque ita videtur legisse Eustratius, cujus hæc verba sunt: *καὶ διὰ τοῦτο καὶ κεφαλῆς λόγον ἐν ταῖς ἐπιστήμαις ἐπέχει.* Est autem hoc loquendi genus apud Græcos usitatissimum, *ἔχει ὥσπερ κεφαλὴ, ἔχει ὥσπερ κέντρον*, id est, *rationem capitis obtinet, instar quasi puncti obtinet.* [z] Ab hac certe opinione abhorret Philosophus, qui hunc mundum æternum esse vult. Itaque ex ejus sententia, prudentia nequaquam potest esse præstantissima scientia, quia non versatur circa res optimas. [a] Eorum, quæ sunt, quædam qualia sunt, talia semper sunt, et talia dicuntur suapte vi, et sine ullo respectu ad aliud habito: ut color qui habet vim aspectus dissipandi, semper est album; et recta semper est linea, quæ brevissima est inter duo puncta. Quædam alia sunt, quæ non dicuntur talia, nisi ex relatione quadam ad aliud, et sine ulla mutatione sui sæpe talia esse desinunt; ut cibus, potus et somnus non dicuntur salubria, bona aut mala, nisi quatenus ad aliud pertinent, neque aut omnibus istiusmodi sunt, aut iisdem semper. Eadem *sapientiæ* et *prudentiæ* distinctio est. *Sapientia* enim versatur in iis rebus, quæ semper se eodem modo habent, neque usquam alio pertinent: at *prudentia* in eis, quæ pro temporum, locorum ac personarum varietate mutantur. Itaque *sapientiæ* decreta immutabilia sunt: at *prudens* sæpe consilium mutat. *Muret.* [b] Hujus loci, qui varie scri-

colliguntur, sed etiam in principiis versantem de iis vere loqui, vereque sentire. Itaque sapientiam dicere licebit esse tum mentem, tum scientiam; ac scientiam quidem rerum honoratissimarum, quasi capitis instar obtinentem: absurda sit enim ejus sententia, qui scientiam civilem aut prudentiam, omnium optimam esse putet: nisi forte rerum omnium, quæ in mundo sunt, homo sit res una præstantissima. Quod si salubre ac bonum, aliud est hominibus, aliud piscibus; album autem et rectum semper est idem: idem quoque semper esse dicent omnes id, quod sit sapientia præditum; prudens, aliud et diversum: quod enim singulis in rebus, pro cujusque rei natura, præstan-

φρόνιμον, καὶ τούτῳ ἐπιτρέψειαν αὐτά. [c]Διὸ καὶ τῶν θηρίων ἔνια φρόνιμά φασιν εἶναι, ὅσα περὶ τὸν αὑτῶν βίον ἔχοντα φαίνεται δύναμιν προνοητικήν. [d]Φανερὸν δ', ὅτι οὐκ ἂν εἴη ἡ πολιτικὴ, καὶ ἡ σοφία, ἡ αὐτή· εἰ γὰρ τὴν περὶ τὰ ὠφέλιμα τὰ αὐτοῖς ἐρῶσι σοφίαν, πολλαὶ ἔσονται σοφίαι· οὐ γὰρ μία περὶ τὸ ἁπάντων ἀγαθὸν τῶν ζώων, ἀλλ' ἑτέρα περὶ ἕκαστον· εἰ μὴ καὶ ἰατρικὴ μία περὶ πάντων τῶν ὄντων. Εἰ δ', ὅτι βέλτιστον ἄνθρωπος τῶν ἄλλων ζώων, οὐδὲν διαφέρει· καὶ γὰρ ἀνθρώπου ἄλλα πολὺ θειότερα τὴν φύσιν, οἷον τὰ φανερώ-

bitur, sententiam clarius videtur expressisse Andronicus: *φρόνιμον δὲ οὐκ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων, τὸ θεωρεῖν ἕκαστον τὰ ἑαυτοῦ ἀγαθὰ καὶ πράττειν.* Γρ. Τὸ γὰρ περὶ αὐτὸ ἕκ. in quibusdam Editis: in aliis τὸ εὖ θεωροῦν. ita El. ἑαυτὸ pro αὐτὸ C C C. θεωρεῖν pro θεωροῦν Aret. Hæc sunt Lambini verba de vera lectione: Existimo de M. Antonii Mureti sententia hunc locum esse corrigendum: non enim dubitat ille, quin vulgata omnium librorum scriptura sit corrupta (quod ego dudum suspicatus sum) sed ita corrupta tamen, ut sine ulla arrogantiæ nota possit emendari. Nihil enim addens de suo, nihilque detrahens, sed unam vocem duntaxat, culpa librariorum disjunctam ac divulsam, de integro conglutinans et conjungens, et ex illis duabus αὐτὸ ἕκαστα, unam faciens αὐτοέκαστα, emendat hoc modo: *τὸ γὰρ περὶ αὐτοέκαστα τὸ εὖ θεωροῦν φαῖεν ἂν εἶν.* quorum verborum ea est sententia, quam in mea versione expressi. Αὐτοέκαστα, igitur interpretatus sum, *res singulas pro cujusque natura:* ea enim mihi vis esse videtur hujus nominis. τὸ εὖ vero solus ex omnibus interpretibus integrum servavi, cum alii articulum τὸ omiserint, reddidique Latine *actionis præstantiam.* αὐτοέκαστα autem, vox est non solum Platonis, ut aliquando existimavi, sed et Isocratis, et aliorum scriptorum. Vide quæ supra annotavimus de voce αὐτοέκαστον pag. 15. [c] Vide Metaph. lib. i. c. 1. [d] Ne quid dissimulem valde suspicor multas voces hoc loco temere adjectas: et si quis illa τῶν ζώων et τῶν ὄντων delenda censuerit, me quidem adstipulatorem habebit, nisi forte alter alterius locum occupavit. *Muret.*

tiam seu bonitatem actionis perspicit, id prudens esse dixerint, et eas res huic commiserint. Itaque et bestias quasdam prudentes esse dicunt, nempe eas, quæ rerum ad vitam necessariarum providendarum facultatem habere videntur. Civilem autem scientiam non esse eandem, atque sapientiam, minime obscurum est: nam si sapientiam dicent esse eam, quæ in suis cuique emolumentis comparandis sit occupata, multæ reperientur sapientiæ: non enim una est, quæ versetur in omnium animantium bono, sed in singulis alia atque alia: nisi forte de omnibus, quæ sunt in rerum natura, etiam medicina una est. Neque vero quidquam ad rem attinet, quod homo reliquorum animalium quiddam sit quam optimum: sunt enim et alia homine multo diviniora natura: ut ea, quæ omnibus maxime sunt in conspectu, ex quibus hic mundus

τατά γε, ἐξ ὧν ὁ κόσμος συνέστηκεν. Ἐκ δὴ τῶν εἰρημένων δῆλον, ὅτι ἡ σοφία ἐστὶ καὶ ἐπιστήμη, καὶ νοῦς τῶν τιμιωτάτων τῇ φύσει. Διὸ Ἀναξαγόραν, καὶ Θαλῆν, καὶ τοὺς τοιούτους, σοφοὺς μὲν, φρονίμους δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοοῦντας τὰ συμφέρονθ' αὐτοῖς· καὶ περιττὰ μὲν, καὶ θαυμαστὰ, καὶ χαλεπὰ, καὶ δαιμόνια εἰδέναι αὐτούς φασιν, ἄχρηστα δ', ὅτι οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν. Ἡ δὲ φρόνησις περὶ τὰ ἀνθρώπινα, καὶ περὶ ὧν ἐστι βουλεύσασθαι· τοῦ γὰρ φρονίμου μάλιστα τοῦτ' ἔργον εἶναί φαμεν, τὸ εὖ βουλεύεσθαι. Βουλεύεται δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδ' ὅσων μὴ τέλος τί ἐστι, καὶ τοῦτο πρακτὸν ἀγαθόν. Ὁ δὲ ἁπλῶς εὔβουλος, ὁ τοῦ ἀρίστου ἀνθρώπῳ τῶν πρακτῶν στοχαστικὸς κατὰ λογισμόν. Οὐδ' ἐστὶν ἡ φρόνησις τῶν καθόλου μόνον, ἀλλὰ δεῖ καὶ τὰ καθ' ἕκαστα γνωρίζειν· πρακτικὴ γάρ· ἡ δὲ πρᾶξις περὶ τὰ καθ' ἕκαστα. Διὸ καὶ ἔνιοι οὐκ εἰδότες, [e] ἐνίων

[e] Ἑτέρων pro ἐνίων El.

conflatus et coagmentatus est. Ex iis igitur, quæ diximus, perspicuum est, sapientiam esse earum rerum, quæ sunt honore dignissimæ natura, scientiam, et mentem sive intelligentiam. Quocirca Anaxagoram, Thaletem, cæterosque tales viros, sapientes quidem esse dicunt, prudentes vero nequaquam, cum videant eos, quæ sibi utilia sint, ignorare: atque eos fatentur recondita atque eximia quædam, et admirabilia, et difficilia, et divina tenere, sed inutilia: quia humana bona non quærunt. Prudentia vero in rebus humanis, iisque, de quibus consultari potest, versatur: prudentis enim hoc maxime proprium munus esse dicimus, bene consultare. De iis autem consultat nemo, quæ aliter sese habere non possunt: neque de iis, quorum non est finis aliquis, nempe bonum, quod in actionem veniat. Bonus autem consultator est absolute, qui id, quod homini est eorum, quæ in actionem veniunt, optimum, ratione consequi et explicare potest. Neque vero rerum universarum modo prudentia est, sed debent etiam ei esse notæ res singulares: ad agendum enim idonea est: in rebus singularibus autem omnis actio versatur. Itaque cum hic nonnulli inscii sunt ad agendum scientibus aptio-

εἰδότων πρακτικώτεροι, καὶ [f] ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι· εἰ γὰρ εἰδείη, ὅτι τὰ κοῦφα [g] εὔπεπτα κρέα καὶ ὑγιεινὰ, ποῖα δὲ κοῦφα ἀγνοεῖ, οὐ ποιήσει ὑγίειαν· ἀλλ᾽ ὁ εἰδὼς, ὅτι τὰ ὀρνίθεια κοῦφα καὶ ὑγιεινὰ, ποιήσει μᾶλλον. Ἡ δὲ φρόνησις πρακτική· [h] ὥστε δεῖ ἄμφω ἔχειν, ἢ ταύτην μᾶλλον. Εἴη δ᾽ ἄν τις καὶ ἐνταῦθα [i] ἀρχιτεκτονική.

ΚΕΦ. ηʹ.

ΕΣΤΙ δὲ καὶ ἡ πολιτικὴ, καὶ ἡ φρόνησις, ἡ αὐτὴ μὲν ἕξις· τὸ μέντοι εἶναι οὐ τὸ αὐτὸ αὐταῖς. Τῆς δὲ περὶ πόλιν, ἡ μὲν ὡς ἀρχιτεκτονικὴ φρόνησις, νομοθετικὴ, ἡ δὲ, ὡς τὰ καθ᾽ ἕκαστα, τὸ κοινὸν ἔχει ὄνομα, πολιτική· αὕτη δὲ πρακτικὴ, καὶ [k] βουλευτική· τὸ γὰρ ψήφισμα πρακτὸν, ὡς

[f] Ἐν τοῖς ἄλλοις *in aliis rebus* vertit Lambinus, minus recte. Vide Metaphys. lib. i. c. 1. [g] Εὔτριπτα habet El. [h] Ἐπεὶ τοίνυν ἡ φρόνησις πρακτικὴ, καὶ ἄμφω ἔχειν ἀνάγκη, ἢ τὰ καθ᾽ ἕκαστα μᾶλλον· μετὰ γὰρ τοῦ καθόλου μόνον οὐ δύναται εἶναι πρακτική. *Cum ergo in agendo occupetur prudentia, utrumque adesse illi oportet, magisque singularia; quia universalibus instructa tantum, ad agendum idonea esse non potest.* Andr. [i] Vide lib. i. cap. 2. [k] Βουλευτικὴ expungendum esse censet Muretus. Nobiscum facit Andronicus: πολιτικὴν δὲ λέγω τὴν πρακτικὴν καὶ βουλευτικὴν, ἥτις ἐστὶν περὶ τὰ ψηφίσματα καὶ τὰς πράξεις· τὰ γὰρ ψηφίσματα πρακτικά εἰσιν, οὐχ ὡς ἡ πρώτη φρόνησις ἡ ἀρχιτεκτονικὴ, ἀλλ᾽ ὡς ἡ ἐσχάτη, ἥτις καὶ κυρίως ἐστὶ πρακτική. *Civilem jam dico, quæ in agendo occupatur et consultando, quæque in decretis actionibusque versatur: ad actionem enim decreta quoque pertinent: non quemadmodum prima quidem, quam architectonicam dicimus, prudentia, sed quemadmodum extrema, quæ proprie quoque activa dicitur.*

res et compositiores, tum inter alios ii, qui sunt usu periti: nam si quis sciat, carnes leves esse ad concoquendum faciles et salubres, leves autem quæ sint, ignoret, bonam valetudinem non efficiet: sed is potius efficiet, qui avium carnes scit esse leves et salubres. Prudentia autem in agendo posita est: danda igitur opera est, ut vel utramque cognitionem habeamus, vel hanc potius, quam illam. Erit autem hic quoque princeps quædam, et quasi familiam ducens cognitio.

CAP. VIII.

CIVILIS scientia autem, et prudentia sunt illæ quidem idem habitus; sed natura, qua sunt tamen, et essentia, non est eis eadem. Atque ejus scientiæ, quæ ad civitatem pertinet, altera pars est tanquam princeps et domina prudentia, quæ est legum scribendarum ratio et facultas; altera, quemadmodum singularia, communi nomine Civilis appellatur: cujus omnis opera, in agendo, et consultando consumitur: populi seitum enim sub actio-

τὸ [l] ἔσχατον. Διὸ πολιτεύεσθαι τούτους μόνον λέγουσι· μόνοι γὰρ πράττουσιν οὗτοι, ὥσπερ οἱ χειροτέχναι. Δοκεῖ δὲ καὶ φρόνησις μάλιστ' εἶναι ἡ περὶ αὐτὸν καὶ ἕνα· καὶ ἔχει αὕτη τὸ κοινὸν ὄνομα, φρόνησις. Ἐκείνων δὲ, ἡ μὲν οἰκονομία, ἡ δὲ νομοθεσία, ἡ δὲ πολιτική· καὶ ταύτης ἡ μὲν βουλευτικὴ, ἡ δὲ δικαστική. Εἶδος μὲν οὖν τι ἂν εἴη [m] γνώσεως, [n] τὸ αὑτῷ εἰδέναι. Ἀλλ' ἔχει διαφορὰν πολλήν· καὶ δοκεῖ ὁ τὰ περὶ αὐτὸν εἰδὼς καὶ διατρίβων, φρόνιμος εἶναι· οἱ δὲ πολιτικοὶ, πολυπράγμονες. Διὸ καὶ Εὐριπίδης·

Πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
Ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ,
Ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τυχῆς;
Τοὺς γὰρ περισσοὺς, καί τι πράσσοντας [o] πλέον, [p] Ζεὺς μισεῖ.

[l] Aliud est hoc loco ἔσχατον, *extremum*, aliud τέλος. Ἔσχατον enim intelligitur hic ab Aristotele aliquid singulare, quod sensu percipitur: quia et ab eo cognitio nostra oritur ad universa progrediens, et ab universis profecta ad singularia desinit. Jam quod τέλος nonnunquam *ultimum* et *extremum* nominavimus, in eo Ciceronem sumus imitati: sed id uno, aut altero loco duntaxat fecimus. Non enim me præterit, τὸ ἔσχατον, apud Aristotelem latius patere, quam τέλος: neque omne extremum finem esse, sed id tantum, quod sit optimum. *Lamb.* Potest etiam, ut observat Aquinas, τὸ ψήφισμα dici ἔσχατον, quia est applicatio legis universaliter positæ ad res singulares agendas. [m] Γρ. φρονήσεως, idque jam olim, ut annotat Eustratius. *Casaub.* [n] Γρ. τὰ αὑτοῦ. El. vero et Andr. τὸ τὰ αὑτῷ. [o] Post πλέον addit C C C. οὐκ ὄντα φρονίμους. [p] Ζεὺς μισεῖ deest El. et sane est a

nem venit, tanquam extremum. Itaque hos solos rempublicam administrare dicunt: hi enim soli, ut operarii quidam, in rebus gerendis versantur. Ea autem etiam videtur esse prudentia maxime, qua sibi quisque, et uni prospicit: et hæc communi nomine appellatur prudentia. Illarum autem alia rei familiaris tuendæ et procurandæ ratio, alia scientia legum ferendarum, alia civilis: atque hujus pars altera ad consultandum pertinet, ad judicandum altera. Genus igitur quoddam cognitionis esse videatur, sua scire, sibique utilia. Verum de hoc ipso magna est controversia: ac videtur sane is, qui sua, quæque ad se pertinent, habet cognita, et in eis versatur, prudens esse: at ii, qui se ad rempublicam contulerunt, multarum actionum studio, rerumque alienarum cura distineri. Idcirco et Euripides:

Prudentem enim quis me putet mortalium,
Cui suppetebat absque ullo negotio
In totius turba numerato exercitus
Sortem parem obtinere sapientissimo?
Præstantiores namque, et eos qui pluribus
Se rebus implicant, male odit Jupiter.

Ζητοῦσι γὰρ τὸ αὑτοῖς ἀγαθὸν, καὶ οἴονται τοῦτο δεῖν πράττειν. Ἐκ ταύτης οὖν τῆς δόξης ἐλήλυθε [q]τὸ τούτους φρονίμους εἶναι· καίτοι ἴσως οὐκ ἔστι τὸ ἑαυτοῦ [r]ἄνευ οἰκονομίας, οὐδ' ἄνευ πολιτείας. Ἔτι δὲ [s]τὸ αὑτοῦ πῶς δεῖ διοικεῖν, ἄδηλον καὶ σκεπτέον. Σημεῖον δ' ἐστὶ τοῦ [t]εἰρημένου, καὶ διότι γεωμετρικοὶ μὲν νέοι καὶ [u]μαθηματικοὶ γίνονται, καὶ σοφοὶ τὰ τοιαῦτα· φρόνιμος δ' οὐ δοκεῖ γίνεσθαι. Αἴτιον δ', ὅτι καὶ τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνησις, ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας· νέος δ' [x]ἔμπειρος οὐκ ἔστι· πλῆθος γὰρ χρόνου [y]ποιήσει τὴν ἐμπειρίαν. Ἐπεὶ καὶ τοῦτ' ἄν τις σκέψαιτο, διὰ τί, [z]μαθηματικὸς μὲν παῖς γένοιτ' ἄν· σοφὸς δὲ ἢ φυσικὸς, οὔ. Ἢ ὅτι τὰ μὲν δι' ἀφαιρέσεώς ἐστι· τῶν δ', αἱ ἀρχαὶ, ἐξ ἐμπειρίας; καὶ τὰ μὲν οὐ πιστεύουσιν οἱ νέοι, ἀλλὰ λέγουσι· τῶν δὲ, τὸ τί ἐστιν οὐκ ἄδηλον. Ἔτι ἡ ἁμαρτία ἢ περὶ τὸ καθόλου

Lambino additum ex Plut. In margine autem El. leguntur sequentia: λείπει τὸ, οὐκ φῦτο φρόνιμος. [q] Τὸ περὶ τοὺς φρον. N C. Bas. et Camot. quæ tamen desiderantur in Ven. 1. [r] Εὖ ante ἄνευ inserunt Bas. et El. [s] Τὸ αὑτοῖς ἀγαθὸν CCC. Sed Bas. et Eliens. legunt τὰ αὑτοῦ pluraliter: posterior etiam habet οἰκεῖν pro διοικεῖν. [t] Λεγομένου CCC. [u] Γρ. μαθητικοί. [x] Ἄπειρος N C. [y] Ποιεῖ CCC. et Bas. Sic infra legunt βουλεύεσθαι pro βουλεύσασθαι. ποιεῖ itidem habet El. [z] Δὴ μαθηματικὸς Lamb. et El. a quo abest Παῖς.

Quærunt enim vulgo id, quod sibi bono est, idque unum agere se arbitrantur oportere. Ex hac igitur opinione natum est, hos esse prudentes: atqui suum negotium nosse atque agere, sine rei familiaris reique publicæ cura, fortasse nemo possit. Præterea quomodo suum quisque negotium gerere debeat, obscurum est, et res eget consideratione. Cujus rei hoc argumentum est, quod juvenes, et geometræ et mathematici, et talibus disciplinis eruditi fiunt; prudentes non fiunt. Causa hæc est, quod etiam in rebus singularibus prudentia vertitur, quarum cognitio usu comparatur: adolescens autem usum rerum non habet, quippe quem temporis longinquitas sit allatura. Nam hoc quoque consideratione dignum est, quamobrem puer, mathematicus effici possit, sapiens aut physicus non possit. An quod illa a materia divulsa ac segregata sunt: horum principia ex usu et experientia nascuntur? et quod his non assentiuntur, neque fidem habent juvenes, sed ea dicunt tantum: quid sint illa autem, non est obscurum. Præterea quicquid in consultando peccatur, vel ad res u-

ἐν τῷ βουλεύσασθαι, ἢ περὶ τὸ καθ' ἕκαστον· ἢ γὰρ ὅτι πάντα τὰ βαρύσταθμα ὕδατα, φαῦλα· ἢ ὅτι τοδὶ βαρύσταθμον. Ὅτι δ' ἡ φρόνησις οὐκ ἐπιστήμη, φανερόν· τοῦ γὰρ ἐσχάτου ἐστὶν, ὥσπερ εἴρηται· τὸ γὰρ πρακτὸν τοιοῦτον. [a]Ἀντίκειται μὲν δὴ τῷ νῷ· ὁ μὲν γὰρ νοῦς, τῶν ὅρων, ὧν οὐκ ἔστι λόγος· ἡ δὲ, τοῦ ἐσχάτου, [b]οὗ οὐκ ἔστιν ἐπιστήμη, ἀλλ' αἴσθησις, οὐχ ἡ τῶν ἰδίων, ἀλλ' οἵᾳ αἰσθανόμεθα, ὅτι τὸ ἐν τοῖς [c]μαθηματικοῖς ἔσχατον, τρίγωνον· στήσεται γὰρ κἀκεῖ. Ἀλλ' αὕτη μᾶλλον αἴσθησις [d]ἡ φρόνησις· ἐκείνης δὲ ἄλλο εἶδος.

ΚΕΦ. Θ'.

ΤΟ ζητεῖν δὲ, καὶ τὸ βουλεύεσθαι διαφέρει· τὸ γὰρ βουλεύεσθαι, ζητεῖν τι ἐστί. Δεῖ δὲ [e]διαλαβεῖν καὶ περὶ εὐβουλίας, τί ἐστι, πότερον ἐπιστήμη τις, ἢ δόξα, ἢ εὐστοχία, ἢ ἄλλο τι γένος. Ἐπιστήμη μὲν δὴ οὐκ ἔστιν· οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν· ἡ δ' εὐβουλία, βουλή τίς ἐστιν· ὁ δὲ [f]βου-

[a] Ἀντιληπτικὴ μὲν El. qui tamen Ἀντίκειται agnoscit in marg. Γρ. etiam ἀστικὴ et ἀστικοί: quorum *posteriorem* retinet N C. *priorem* vero C C C. et Bas. [b] Οὗ deest Ven. 1. [c] Μαθητικοῖς N C. [d] Alii ἢ φρόνησις, ego deleo utrumque. *Mur.* [e] Λαβεῖν N C. [f] Βουλόμενος N C.

niversas pertinet, vel ad singulares: nam vel omnes aquas graves esse insalubres, vel hanc esse gravem. Prudentiam autem non esse scientiam, perspicuum est: extremi enim est, ut dictum est: tale enim est id, quod sub actionem venit. Menti igitur seu intelligentiæ opponitur: mens enim eorum terminorum est, quorum ratio afferri non potest: prudentia extremi, quod non scientia, sed sensu percipitur, non illo, cui propriæ sunt attributæ qualitates, quas sentiat; sed eo, quo sentimus hoc extremum in mathematicis, esse triangulum: nam illic quoque insistit. Veruntamen prudentia sensus est potius: illius autem alia forma aliaque notio est.

CAP. IX.

QUÆRERE autem et consultare inter se differunt: nam consultare, aliquid quærere est. Sed etiam de bona consultatione, quid sit, distinctione adhibita videndum est, utrum scientia aliqua sit, an opinio, an bona conjectura, an aliud quoddam genus. Ac primum sane non est scientia: nam de iis, quæ sciuntur, quæri non solet: at bona consultatio, consultatio

λευόμενος, ζητεῖ καὶ [g] λογίζεται. Ἀλλὰ μὴν, οὐδ' εὐστοχία· ἄνευ τε γὰρ λόγου, καὶ ταχύ τι ἡ εὐστοχία· βουλεύονται δὲ πολὺν χρόνον, καί φασι, πράττειν μὲν δεῖν ταχὺ τὰ [h] βουλευθέντα, βουλεύεσθαι δὲ βραδέως. Ἔτι, ἡ ἀγχίνοια ἕτερον, καὶ ἡ εὐβουλία· ἔστι δὲ εὐστοχία τις, ἡ ἀγχίνοια. Οὐδὲ δὴ δόξα, ἡ εὐβουλία οὐδεμία. Ἀλλ' ἐπεὶ, ὁ μὲν κακῶς βουλευόμενος, ἁμαρτάνει, ὁ δὲ εὖ, ὀρθῶς βουλεύεται· δῆλον ὅτι ὀρθότης τις ἡ εὐβουλία ἐστίν. Οὔτ' ἐπιστήμης δὲ, οὔτε δόξης· [i] ἐπιστήμης μὲν γὰρ οὐκ ἔστιν ὀρθότης· οὐδὲ γὰρ [k] ἁμαρτία· δόξης δ' ὀρθότης, ἡ ἀλήθεια· ἅμα δὲ καὶ διώρισται ἤδη πᾶν οὗ δόξα ἐστίν. [l] Ἀλλὰ μὴν οὐδ' ἄνευ λόγου ἡ εὐβουλία· [m] διανοίας ἄρα λείπεται· αὕτη γὰρ οὔπω φάσις· καὶ γὰρ ἡ δόξα, οὐ ζήτησις, ἀλλὰ φάσις τις ἤδη. Ὁ δὲ βουλευόμενος, ἐάν τε εὖ, ἐάν τε κακῶς βουλεύηται, ζητεῖ τι,

[g] Ἐργάζεται N C. [h] Δόξαντα Bas. [i] Ἐπιστήμη C C C. male. [k] Ἁμαρτάνει N C. [l] Alii ἀλλὰ μή. [m] *Relinquitur ut sit mentis. Perion.* Nec aliter fere Camer. sed Eustrat. recte vidit alium esse sensum horum verborum, quæ sic explicat Andron. Ἡ μὲν εὐβουλία ζητεῖν ἐστιν, ἡ δόξα δὲ εὑρηκέναι· καθὸ καὶ τῆς διανοίας ἡ εὐβουλία λείπεται [*inferior est.*] Ἡ μὲν γὰρ διάνοια λόγος ἐστὶν ἀπηρτισμένος καὶ εὑρημένος μετὰ τῆς προσηκούσης αἰτίας· ἡ δὲ εὐβουλία ἐν τῇ ζητήσει ἔχει τὸ εἶναι.

est: qui autem aliqua de re consultat, quærit et ratiocinatur. Jam vero neque conjectura esse potest: nam cum bona conjectura sine ratione fiat, tum celere quiddam est: in consultando autem multum temporis consumitur; aiuntque id, de quo consultaveris, celeriter esse agendum, sed spisse lenteque consultandum. Præterea aliud est sagacitas, aliud bona consultatio: sagacitas autem bona conjectura quædam est. Neque vero ulla bona consultatio, opinio est. Sed quoniam qui male consultat, peccat: qui bene, recte consultat: perspicuum est, bonam consultationem quoddam rectum esse. Sed neque scientiæ tamen, neque opinionis rectum est: scientiæ enim nullum est rectum; nam neque ejus est ulla pravitas: opinionis autem rectum est veritas; simulque id omne, cujus est opinio, decisum jam ac transactum est. Sed neque sine ratione bona consultatio est: cogitatione igitur est inferior: hæc enim nondum enuntiatio est: nam et opinio, non quæstio, sed quædam jam enuntiatio est. At qui consultat, sive bene, sive male consultet, is quærit aliquid, et ra-

καὶ λογίζεται. Ἀλλὰ ὀρθότης τίς ἐστιν ἡ εὐβουλία, βουλῆς· διὸ ἡ βουλὴ ζητητέα πρῶτον τί, καὶ περὶ τί. Ἐπεὶ δὲ ἡ ὀρθότης πλεοναχῶς, δῆλον ὅτι οὐ πᾶσα· ὁ γὰρ ἀκρατὴς καὶ ὁ φαῦλος, ὃ [n]προτίθεται ἰδεῖν, ἐκ τοῦ λογισμοῦ τεύξεται· ὥστε ὀρθῶς ἔσται [o]βεβουλευμένος, [p]κακὸν δὲ [q]μέγα εἰληφώς. Δοκεῖ δὲ ἀγαθόν τι τὸ εὖ [r]βουλεύσασθαι· [s]ἡ γὰρ τοιαύτη ὀρθότης βουλῆς, εὐβουλία, ἡ ἀγαθοῦ τευκτική. Ἀλλ' ἔστι καὶ [t]τούτου ψευδεῖ συλλογισμῷ τυχεῖν· καὶ ὃ μὲν δεῖ ποιῆσαι, [u]τυχεῖν, δι' οὗ δὲ, οὐ, ἀλλὰ ψευδῆ [x]τὸν μέσον ὅρον εἶναι. Ὥστ' οὐδ' αὐτή [y]πω εὐβουλία, καθ' ἣν, οὗ δεῖ μὲν, τυγχάνει, οὐ μέντοι δι' οὗ ἔδει. Ἔτι, ἐστὶ πολὺν χρόνον βουλευόμενον τυχεῖν· τὸν δὲ, ταχύ. Οὐκοῦν οὐδ' ἐκείνη πω εὐβουλία· ἀλλ' ὀρθότης ἡ κατὰ τὸ ὠφέλιμον, καὶ οὗ δεῖ, [z]καὶ ὡς, καὶ ὅτε.

[n] Προτίθεται καὶ σκέψασθαι δεῖν N C. [o] Βουλευόμενος N C. [p] Κακὸς Bas. [q] Μέσα ὑπειληφὼς C C C. ὑπ' εἰληφὼς N C. [r] Βεβουλεῦσθαι El. C C C. et Bas. [s] Ἡ deest El. [t] Τοῦτο Bas. minus recte. [u] El. post τυχεῖν addit τούτου quod retinent etiam N C. et Ven. 1. Bas. habet τούτου πῶς. [x] Τὸ El. [y] Πῶς C C C. [z] Καὶ ὡς δεῖ N C.

tiocinatur. Sed profecto bona consultatio, rectum quoddam consultationis est: ea propter quid sit consultatio, quærendum primo est, et in quo versetur. Sed quoniam rectum multis modis dicitur: non omne rectum bonam consultationem esse, perspicuum est: incontinens enim et malus homo, quod sibi proposuerint ad inspiciendum, ratiocinatione consequentur: itaque recte consultasse videbuntur, sed magno malo accepto. At bene consultare, bonum quoddam videtur esse: id enim consultationis rectum, quod ad boni adeptionem valet, bona consultatio est. Sed fieri potest, ut quis etiam ratiocinatione falso conclusa bonum adipiscatur: et id quidem, quod facto opus est, consequatur, non autem qua ratione oporteat, sed medius ratiocinationis terminus falsus sit. Itaque ne ea quidem bona consultatio est, qua consequitur quidem aliquis quod oportet, sed non qua ratione oportebat. Præterea contingere potest, ut alius diu, alius celeriter consultando, id, quod vult, assequatur. Nondum igitur ne illa quidem bona consultatio est: sed id consultationis rectum erit, quod ad utilitatem, et ad id, quod oportet, obtinendum, quo modo, et quo tempore obtineri debet, accommodatum est.

Ἔτι, ἐστὶ καὶ ἁπλῶς εὖ βεβουλεῦσθαι, καὶ πρός τι τέλος. Ἡ μὲν δὴ ἁπλῶς, ἡ πρὸς τὸ τέλος τὸ ἁπλῶς κατορθοῦσα· ἡ δέ τις, ἡ πρός τι τέλος. Εἰ δὴ τῶν φρονίμων τὸ εὖ βουλεύεσθαι, ἡ εὐβουλία εἴη ἂν ὀρθότης ἡ κατὰ τὸ συμφέρον πρός [a]τι τέλος, οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς [b]ἐστιν.

ΚΕΦ. ι'.

ΕΣΤΙ δὲ καὶ ἡ σύνεσις καὶ ἡ ἀσυνεσία, καθ' ἃς λέγομεν συνετοὺς καὶ ἀσυνετοὺς, οὔτε ὅλως τὸ αὐτὸ ἐπιστήμῃ, ἢ δόξῃ· [c]πάντες γὰρ ἂν ἦσαν συνετοί. Οὔτε τις μία τῶν κατὰ μέρος [d]ἐπιστημῶν, οἷον ἡ ἰατρική· περὶ ὑγιεινῶν γὰρ [e]ἂν ἦν· ἡ γεωμετρία· περὶ μεγέθη γάρ. Οὔτε γὰρ περὶ τῶν ἀεὶ ὄντων καὶ ἀκινήτων ἡ σύνεσίς ἐστιν, οὔτε περὶ τῶν γιγνομένων [f]ὁτουοῦν· ἀλλὰ περὶ ὧν ἀπορήσειεν ἄν τις, καὶ βουλεύσαιτο. Διὸ περὶ τὰ αὐτὰ μὲν τῇ φρονήσει ἐστίν· οὐκ ἔστι δὲ

[a] Τὸ C C C. et Bas. [b] Deest N C. [c] Argyr. hoc amplius: πάντες γὰρ ἂν εἰδότες, ἢ δοξάζοντες ἦσαν συνετοί, quomodo facilior esset sententia. *Mur.* [d] Ἐπιστημῶν, κατὰ μέρος N C. οἷον κατὰ μέρος Ven. 1. Οἷον ἡ ἰατρ. Bas. [e] Ἂν ἦν desunt El. [f] Ὁτῳοῦν N C. et Bas.

Præterea licet et absolute bene consultare, et ad certum aliquem finem consultationem referre. Ac bona sane consultatio absolute ea est, quæ proposito sibi absoluto, et totius vitæ humanæ communi fine, bene procedit: quædam autem bona consultatio est, quæ certum aliquem et proprium finem spectat. Quod si bene consultare, prudentium est, bona consultatio rectum quoddam consultationis erit, ad utilitatem accommodatum, ad aliquem finem relatum, cujus ipsa prudentia est vera existimatio.

CAP. X.

ΣΥΝΕΣΙΣ autem, hoc est, intelligentia, et ἀσυνεσία, hoc est, stultitia sive tarditas, ex quibus intelligentes, et stulti nominantur: neque idem prorsus est, quod scientia, aut opinio: omnes enim essent intelligentes. Neque una aliqua ex scientiis singularibus (ut medicina: in cognitione enim rerum salubrium, aut in curanda valetudine versaretur: aut geometria: nam in magnitudinibus esset occupata.) Neque enim intelligentia earum rerum est, quæ semper sunt, nunquamque moventur: neque ullius earum, quæ oriuntur: sed earum, de quibus dubitari, et consultari potest. Quapropter in iisdem sane rebus, in quibus et prudentia,

[g]ταὐτὸν σύνεσις καὶ φρόνησις· [h]ἡ μὲν γὰρ φρόνησις, ἐπιτακτική ἐστι· τί γὰρ δεῖ πράττειν ἢ μὴ, τὸ τέλος αὐτῆς ἐστιν· ἡ δὲ ξύνεσις, κριτικὴ μόνον· [i]ταὐτὸ γὰρ ξύνεσις καὶ εὐξυνεσία· καὶ γὰρ οἱ συνετοὶ, καὶ εὐσύνετοι. Ἔστι δ', οὔτε τὸ ἔχειν τὴν φρόνησιν, οὔτε τὸ λαμβάνειν, ἡ σύνεσις· ἀλλ' ὥσπερ τὸ μανθάνειν λέγεται συνιέναι, ὅταν χρῆται τῇ ἐπιστήμῃ, οὕτως ἐν τῷ χρῆσθαι τῇ δόξῃ ἐπὶ τὸ κρίνειν περὶ τούτων, περὶ ὧν ἡ φρόνησίς ἐστιν, [k]ἄλλου λέγοντος, καὶ κρίνειν καλῶς· τὸ γὰρ εὖ τῷ καλῶς ταὐτό. Καὶ ἐντεῦθεν ἐλήλυθε τοὔνομα ἡ σύνεσις, καθ' ἣν εὐσύνετοι, ἐκ τῆς ἐν τῷ μανθάνειν· [l]λέγομεν γὰρ τὸ μανθάνειν, συνιέναι πολλάκις.

ΚΕΦ. ιά.

Η ΔΕ καλουμένη [1]γνώμη, καθ' ἣν εὐγνώμονας καὶ ἔχειν φαμὲν γνώμην, ἡ τοῦ ἐπιεικοῦς ἐστι κρίσις ὀρθή. Σημεῖον

[g] Τὸ αὐτὸ El. [h] Ἡ μὲν γὰρ φρόνησις desunt N C. [i] Ταὐτὸν N C. [k] Perionius, ἀλλ' οὐ λέγοντος, *Tacentibus nobis*, mendose omnino. [l] Λέγομεν γὰρ τὸ μανθάνειν desunt N C. facili Librarii lapsu propter geminam μανθάνειν. τὸ γὰρ El.
[1] Vide Magn. Moral. lib. ii. cap. 2.

versatur: sed tamen non est idem intelligentia, quod prudentia: habet enim vim quandam præcipiendi atque imperandi prudentia (nam propositus ei finis est, quid agendum sit, aut non agendum) intelligentia autem, judicandi solum: idem est enim intelligentia, quod εὐσυνεσία, id est, bona intelligentia: nam qui sunt intelligentes, iidem quoque sunt bene intelligentes. Intelligentia autem neque habere prudentiam est, neque consequi: sed ut is, qui discit, tum intelligere dicitur, cum scientia utitur: sic et cum quis opinione utitur, alio loquente, ad judicandum iis de rebus, de quibus prudentia judicat, et probe judicandum: bene enim et probe, idem sunt. Atque hinc natum est intelligentiæ nomen: ex qua bene intelligentes appellantur, ex ea scilicet, quæ est in discendo, intelligentia: sæpenumero enim discendi verbum pro eo, quod est intelligere, usurpamus.

CAP. XI.

EA autem quæ γνώμη, hoc est, sententia appellatur (ex qua quosdam εὐγνώμονας, id est, in sententia ferenda moderatos nominant, et γνώμην ἔχειν, hoc est, sententiæ dicendæ facultate præditos dicimus) est viri boni et moderati rectum judicium. Cujus rei hoc argumento est, quod

δέ· τὸν γὰρ ἐπιεικῆ [m] μάλιστά φαμεν εἶναι συγγνωμονικὸν, καὶ ἐπιεικὲς, τὸ ἔχειν περὶ ἔνια συγγνώμην. Ἡ δὲ συγγνώμη, γνώμη ἐςὶ κριτικὴ τοῦ ἐπιεικοῦς ὀρθή· ὀρθὴ δὲ, ἡ τοῦ ἀληθοῦς. Εἰσὶ δὲ πᾶσαι αἱ ἕξεις [n] αὗται εὐλόγως εἰς ταὐτὸ τείνουσαι· λέγομεν γὰρ γνώμην, καὶ σύνεσιν, καὶ φρόνησιν, καὶ νοῦν, ἐπὶ τοὺς αὐτοὺς ἐπιφέροντες γνώμην ἔχειν, καὶ νοῦν ἤδη, καὶ φρονίμους, καὶ συνετούς· πᾶσαι γὰρ αἱ δυνάμεις αὗται τῶν ἐσχάτων εἰσὶ καὶ τῶν [o] καθ' ἕκαστον. Καὶ ἐν μὲν τῷ κριτικὸς εἶναι περὶ ὧν ὁ φρόνιμος, συνετὸς, καὶ εὐγνώμων, [p] ἢ συγγνώμων· τὰ γὰρ ἐπιεικῆ, κοινὰ τῶν ἀγαθῶν ἁπάντων ἐστὶν ἐν τῷ πρὸς ἄλλον. Ἔστι δὲ τῶν καθ' ἕκαστα καὶ τῶν ἐσχάτων, [q] ἅπαντα τὰ πρακτά· καὶ [r] γὰρ τὸν φρόνιμον δεῖ γινώσκειν αὐτά· καὶ ἡ σύνεσις, καὶ ἡ γνώμη περὶ τὰ

[m] Bas. omittit μάλιςα. [n] El. N C. Bas. et Ven. 1. omittunt αὗται. Andronicus hoc modo παραφράζει: πᾶσαι μὲν οὖν αἱ ἕξεις αἱ ἀληθευτικαὶ πρὸς τὸ αὐτὸ φέρουσι, καὶ τὰ αὐτὰ ἔχουσιν ὑποκείμενα, περὶ ἃ καταγίνονται. [o] Γρ. καθ' ἕκαστα. [p] Ἢ συγγνώμων deest N C. Idem infra τινὰ habet pro κοινά. [q] Ἁπάντων N C. et Bas. [r] Γὰρ deest Ven. 1. et Bas.

virum æquum bonum ac moderatum, ad consentiendum, id est, ad ignoscendum promptum ac propensum dicimus: et æquum bonum esse, in nonnullis delictis sententiam, seu consensum accommodare, id est, ignoscere, ac veniam dare. Atque hic consensus, id est, venia quæ datur errato, sententia est ad judicandum ex æquo et bono apta, et recta: recta autem ea est, quæ hominis veri est. Merito autem hi omnes habitus eodem pertinent: nam sententiam, intelligentiam, prudentiam, mentem sanam ac vegetam iisdem attribuentes, sententiæ dicendæ facultate præditos esse, et mentis sanitate præstare, et prudentes et intelligentes dicimus: omnes enim hæ animi potestates sunt extremorum et rerum singularium. Atque in eo quidem, quod aptus sit ad judicandum iis de rebus, de quibus judicat prudens, spectatur homo *συνετὸς* sive intelligens, et *εὐγνώμων* in sententia ferenda moderatus, aut *συγγνώμων* ad consentiendum, id est, ignoscendum facilis et propensus: æqua bona enim omnium virorum bonorum communia sunt in ea re, quæ cum altero contrahitur. In singularium autem et extremorum numero habenda sunt ea omnia, quæ sub actionem veniunt: ea enim viro prudenti nota esse debent: intelligentia autem et sententia in

πρακτά· ταῦτα δ' ἔσχατα. Καὶ ὁ νοῦς, τῶν ἐσχάτων ἐπ' ἀμφότερα· καὶ γὰρ τῶν πρώτων ὅρων, καὶ τῶν ἐσχάτων, νοῦς ἐστι, καὶ οὐ λόγος· ὁ μὲν κατὰ τὰς ἀποδείξεις, τῶν ἀκινήτων ὅρων καὶ πρώτων, ὁ δ' [s]ἐν ταῖς πρακτικαῖς, τοῦ ἐσχάτου καὶ ἐνδεχομένου καὶ τῆς ἑτέρας προτάσεως· ἀρχαὶ γὰρ [t]τοῦ οὗ ἕνεκα αὗται· ἐκ τῶν καθ' ἕκαστα γὰρ τὸ καθόλου. Τούτων οὖν δεῖ ἔχειν αἴσθησιν· αὕτη δ' ἐστὶ νοῦς. Διὸ καὶ φυσικὰ δοκεῖ εἶναι ταῦτα· [u]καὶ φύσει, σοφὸς μὲν οὐδείς· γνώμην δ' ἔχει, καὶ σύνεσιν, καὶ νοῦν. Σημεῖον δ', ὅτι καὶ ταῖς ἡλικίαις οἰόμεθα ἀκολουθεῖν· καὶ ἥδε ἡ ἡλικία νοῦν ἔχει καὶ γνώμην, ὡς τῆς φύσεως αἰτίας οὔσης. Διὸ καὶ ἀρχὴ, καὶ τέλος, νοῦς· [x]ἐκ τούτων γὰρ αἱ ἀποδείξεις, καὶ περὶ τούτων. Ὥστε δεῖ προσέχειν τῶν ἐμπείρων καὶ πρεσβυτέρων ἢ φρονίμων ταῖς ἀναπο-

[s] Γρ. ἐν ταῖς πρακτικαῖς. Quidam codd. ἐν ταῖς πρακταῖς. N C. vero habet ἐν ταῖς πρακταῖς. [t] Ven. 1. et Bas. scribunt τῆς οὗ ἕνεκα, subaudito σκέψεως, aut simili. [u] Καὶ deest Ven. 1. et Bas. [x] Ἐκ τι τούτων N C.

iis, quæ sub actionem veniunt, versantur, quæ sunt extrema. Et mens extremorum est in utramque partem : est enim mens et primorum terminorum, id est, principiorum universalium, et extremorum, id est, singularium, non ratio : ea mens quidem, quæ in demonstrationibus occupata est, immobilium et primorum terminorum ; altera autem, quæ in artibus ad agendum utilibus versatur, extremi, et ejus, quod esse, et non esse potest, et alius pronunciati : hæc enim pronunciatorum genera, ejus, cujus gratia res agitur, principia sunt ; nam ex singularibus oriuntur et constant universa. Singularium igitur sensu præditum esse oportet : at hic sensus, mens est. Quocirca videntur hæc etiam a natura nobis tributa : et cum sapiens nemo sit natura, tamen et sententiæ dicendæ facultate præditus est, et est intelligens, et mentis sanitate atque acumine valet quisque natura. Cujus rei hoc argumentum est, quod hos habitus ætatum socios, et comites, et veluti asseclas esse arbitramur : itaque loqui solemus, hæc ætas mentis sanitate atque acumine valet, et sententiæ dicendæ facultate prædita est : perinde quasi horum sit effectrix et causa natura. Eandem quoque ob causam mens principium et finis est : ex his enim constant, et de his sunt demonstrationes.

δείκτοις φάσεσι καὶ δόξαις, οὐχ ἧττον τῶν ἀποδείξεων· διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὄμμα, ὁρῶσι τὰς ἀρχάς. Τί μὲν οὖν ἐστιν ἡ σοφία, καὶ ἡ φρόνησις, καὶ περὶ τίνα τυγχάνει ἑκατέρα οὖσα, καὶ ὅτι ἄλλου τῆς ψυχῆς μορίου ἀρετὴ ἑκατέρα, εἴρηται.

ΚΕΦ. ιβ′.

ΔΙΑΠΟΡΗΣΕΙΕ [x]δ' ἄν τις περὶ αὐτῶν, τί χρήσιμοί εἰσιν· ἡ μὲν γὰρ σοφία οὐδὲν θεωρεῖ ἐξ ὧν ἔσται εὐδαίμων [y]ἄνθρωπος· οὐδεμιᾶς γάρ ἐστι [z]γενέσεως. Ἡ δὲ φρόνησις, τοῦτο μὲν [a]ἔχει· ἀλλὰ τίνος ἕνεκα δεῖ αὐτῆς, εἴ περ ἡ μὲν φρόνησίς ἐστιν, ἡ περὶ τὰ δίκαια, καὶ καλὰ, καὶ ἀγαθὰ ἀνθρώπῳ· ταῦτα δ' ἐστὶν, ἃ τοῦ ἀγαθοῦ ἀνδρός ἐστι πράττειν; Οὐθὲν δὲ πρακτικώτεροι τῷ [b]εἰδέναι αὐτά ἐσμεν, εἴ περ ἕξεις αἱ ἀρεταί εἰσιν· ὥσπερ οὐδὲ τὰ ὑγιεινὰ, οὐδὲ τὰ εὐεκτικὰ, ὅσα μὴ τῷ ποιεῖν, ἀλλὰ τῷ ἀπὸ τῆς ἕξεως

[x] Vide Magn. Mor. lib. i. cap. 35. [y] Ὁ ἄνθρωπος N C. [z] Post γενέσεως inserit El. verba sequentia: καὶ διὰ τοῦτο οὐδὲ πράξεως θεωρητική. [a] Desunt usque ad ἀγαθὰ N C. [b] Ἰδέναι El.

Itaque usu peritorum, et senum, aut prudentium pronunciatis, atque opinionibus, quæ demonstrari non possunt, non minus, quam demonstrationibus, attendendum atque obtemperandum est: nam quoniam usu oculum quendam consecuti sunt, principia facile cernunt. Quid sit igitur sapientia, et prudentia, et in quibus utraque versetur, et utramque non esse ejusdem animi partis virtutem, dictum est.

CAP. XII.

SED quærat aliquis, quam utilitatem afferant: sapientia enim nihil eorum considerat, quibus homo beatus sit futurus: quia nullam ad rem, quæ oriatur, quæve agatur, utilis est. Prudentia autem habet hoc illa quidem, sed quid ea opus est, siquidem prudentia est ea, quæ in rebus justis et honestis, hominique bonis atque utilibus occupata est: hæ autem res sunt, quas administrare, atque agere viri boni est? Nihilo quoque ad agendum nos efficiet aptiores earum cognitio, siquidem virtutes habitus sunt: quemadmodum neque earum rerum, quæ ad bonam valetudinem, aut ad bonam corporis constitutionem perti-

εἶναι λέγεται· οὐθὲν γὰρ [c] πρακτικώτεροι τῷ ἔχειν τὴν ἰατρικὴν [d] ἢ γυμναστικήν ἐσμεν. Εἰ δὲ μὴ τούτων χάριν φρόνιμον [e] θετέον, [f] ἀλλὰ τοῦ γενέσθαι, τοῖς οὖσι σπουδαίοις οὐθὲν ἂν εἴη χρήσιμος. Ἔτι δὲ, οὐδὲ τοῖς μὴ ἔχουσιν· οὐθὲν γὰρ [g] διοίσει αὐτοὺς ἔχειν, ἢ ἄλλοις ἔχουσι πείθεσθαι· ἱκανῶς τ' ἔχοι ἂν ἡμῖν, ὥσπερ καὶ περὶ τὴν ὑγίειαν· βουλόμενοι γὰρ ὑγιαίνειν, ὅμως οὐ μανθάνομεν ἰατρικήν. Πρὸς δὲ τούτοις, ἄτοπον ἂν εἶναι δόξειεν, εἰ χείρων τῆς σοφίας οὖσα, κυριωτέρα αὐτῆς ἔσται· ἡ γὰρ ποιοῦσα, ἄρχει, καὶ ἐπιτάττει περὶ ἕκαστον. Περὶ [h] δὴ τούτων λεκτέον· [i] νῦν μὲν γὰρ ἠπόρηται περὶ αὐτῶν μόνον. Πρῶτον μὲν οὖν [k] λέγομεν, ὅτι καθ' αὑτὰς ἀναγκαῖον αἱρετὰς αὐτὰς εἶναι, ἀρετάς [l] γ' οὔσας [m] ἑκατέραν ἑκατέρου μορίου· καὶ εἰ μὴ ποιοῦσι μηδὲν, μηδ' ἑτέρα αὐτῶν. Ἔπειτα καὶ ποιοῦσι μέν, οὐχ ὡς [n] ἰατρικὴ δὲ

[c] Πρακτικώτερον N C. [d] Καὶ N C. et El. [e] Ῥητέον supra lineam El.
[f] Ἀλλὰ καὶ Ven. 1. et Bas. [g] Διοίσει αὐτὰς N C. [h] Δὲ Ven. 1. et Bas.
[i] Omnia desunt usque ad ἀναγκαῖον N C. [k] Λέγωμεν El. [l] Γε deest N C.
[m] Ἑκατέρας Bas. et Ven. 1. [n] Reliqua desunt usque ad οὖσα τῆς N C.

nent, quæcunque ita dicuntur, non quod efficiendi vim habeant, sed quod ab habitu proficiscantur: nihilo enim ad agendum aptiores sumus, quod medicinam, aut artem exercendorum corporum teneamus. Quod si non propter has causas prudens statuendus est, sed ut probi efficiamur: certe iis, qui jam probi sunt, nihil profutura prudentia est. Præterea nec iis, qui virtute præditi non sunt: nihil enim refert utrum ipsi prudentes sint, an prudentibus obtemperent: hoc enim satis fuerit, quemadmodum satis est in valetudine curanda: nam tametsi valere velimus, non tamen medicinam discimus. Præterea absurdum esse videatur, prudentiam, majorem, quam sapientiam, dominatum obtinere, cum ea sit deterior: nam ea quæ efficit, in unaquaque re agenda præest atque imperat. De his igitur nunc dicendum est: adhuc enim de iis duntaxat quæsivimus. Ac primum quidem dicimus, eas virtutes per se necessario esse optabiles et expetendas, cum utraque utriusque partis animi virtus sit, etiamsi neutra earum quidquam efficiat. Deinde efficiunt illæ quidem, veruntamen non ut valetudinem medicina, sed ut valetudo, sic sapi-

ὑγίειαν, ἀλλ' ὡς [o] ἡ ὑγίεια, οὕτως ἡ σοφία, εὐδαιμονίαν· μέρος γὰρ οὖσα τῆς ὅλης ἀρετῆς, τῷ ἔχεσθαι ποιεῖ καὶ τῷ ἐνεργεῖν εὐδαίμονα. Ἔτι, τὸ ἔργον ἀποτελεῖται κατά τε τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετήν· ἡ μὲν γὰρ ἀρετὴ, τὸν σκοπὸν ποιεῖ ὀρθόν· ἡ δὲ φρόνησις, τὰ πρὸς τοῦτον. Τοῦ δὲ τετάρτου μορίου τῆς ψυχῆς οὐκ ἔστιν ἀρετὴ τοιαύτη, τοῦ θρεπτικοῦ· οὐθὲν γὰρ ἐπ' αὐτῷ [p] πράττειν, ἢ μὴ [q] πράττειν. Περὶ δὲ τοῦ μηδὲν εἶναι πρακτικωτέρους διὰ τὴν φρόνησιν, τῶν καλῶν καὶ δικαίων, μικρὸν ἄνωθεν ἀρκτέον, λαβόντας ἀρχὴν ταύτην. Ὥσπερ γὰρ καὶ τὰ δίκαια λέγομεν πράττοντάς τινας οὔπω δικαίους εἶναι, οἷον τοὺς τὰ ὑπὸ τῶν νόμων τεταγμένα ποιοῦντας, ἢ ἄκοντας, ἢ δι' ἄγνοιαν, ἢ δι' ἕτερόν τι, καὶ μὴ [r] δι' αὐτά· καίτοι πράττουσί γε ἃ δεῖ, καὶ ὅσα χρὴ τὸν σπουδαῖον· οὕτως, ὡς ἔοικεν, ἐστὶ τό πως ἔχοντα πράττειν ἕκαστα, ὥστ' εἶναι ἀγαθόν· λέγω δ', οἷον, διὰ προαίρεσιν, καὶ αὐτῶν ἕνεκα τῶν

[o] Τὰ ὑγιεινὰ exemplar Germanicum: et ita legisse videtur D. Thomas. Ego tamen deleo. *Muret.* Post ὑγίεια in Bas. et Ven. 1. additur τὰ ὑγιαστικά. [p] Basiliensis finite legit πράττει, in utroque commate. [q] In Eliensi post μὴ πράττειν legas ἀλλὰ τῆς φύσεως δηλονότι: quod Scholion est. [r] Δι' αὐτὰ ταῦτα El.

entia vitam beatam: nam cum sit pars universæ virtutis, eo quod inest ut habitus, et quod suo munere fungitur, beatum facit. Præterea ex prudentia, atque ex ea virtute, quæ ad mores pertinet, opus absolvitur: virtus enim scopum, qui proponitur agenti, rectum efficit; prudentia vero ea, quæ ad scopum referuntur, et quæ conducunt. Quartæ autem animi partis, in qua vis inest alendi, nulla talis virtus est: non est enim in ea positum, ut agamus, vel non agamus. Sed quod supra objectum est, nihilo nos aptiores ad res honestas et justas a prudentia effici, paulo altius nobis hujus rei repetendum principium est, hinc ordientibus. Quemadmodum enim quosdam, qui res justas agunt, nondum justos esse dicimus, ut qui ea, quæ legibus constituta et præscripta sunt, faciunt vel inviti, vel ignorantia, vel propter aliud quippiam, non propter ipsa; (atqui agunt ea, quæ sunt agenda, et quæ virum bonum oportet agere:) sic par est, ut videtur, unumquemque certo quodam modo affectum quidque agere, ut sit bonus: dico autem, verbi gratia, propterea quod tale consilium ceperit,

πραττομένων. Τὴν μὲν οὖν προαίρεσιν ὀρθὴν ποιεῖ ἡ ἀρετή· [s]τὸ δ' ὅσα ἐκείνης ἕνεκα πέφυκε πράττεσθαι, οὐκ ἔστι τῆς ἀρετῆς, ἀλλ' ἑτέρας δυνάμεως. Λεκτέον δ' [t]ἐπιστήσασι σαφέστερον περὶ αὐτῶν. Ἔστι [u]δή τις δύναμις, ἣν καλοῦσι δεινότητα· αὕτη δέ ἐστι τοιαύτη, [x]ὥστε τὰ πρὸς τ ὑποτεθέντα σκοπὸν συντείνοντα, δύνασθαι ταῦτα πράττειν καὶ τυγχάνειν αὐτῶν. Ἂν μὲν οὖν ὁ σκοπὸς ᾖ καλὸς, ἐπαινετή ἐστιν· ἂν δὲ φαῦλος, πανουργία· διὸ καὶ τοὺς φρονίμους, δεινοὺς, καὶ [y]οὐ πανούργους φαμὲν εἶναι. Ἔστι δὲ ἡ φρόνησις, οὐχ ἡ δύναμις, ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης. Ἡ δ' ἕξις τῷ ὄμματι τούτῳ γίνεται τῆς ψυχῆς, οὐκ ἄνευ ἀρετῆς, ὡς εἴρηταί τε, καὶ ἔστι δῆλον· [z]οἱ γὰρ συλλογισμοὶ τ πρακτῶν ἀρχὴν ἔχοντές εἰσιν· ἐπειδὴ τοιόνδε τὸ τέλος, καὶ τὸ ἄριστον, ὅτι δή ποτε ὄν.

[s] Τὰ δὲ ὅσα El. [t] *Attente considerantibus*: ut de *Mundo* ἐπιστήσαντες τούτοις, Polyb. δεῖ δὲ ἐπιμελέστερον ἐπιστῆσαι περὶ τῶν τοιούτων. Hanc vocem omisere Argyrop. Perion. Lambinus; Vetus Interp. et Aretinus male verterunt *scientibus*: non est autem ab ἐπίσταμαι, sed ab ἐφίστημι. Plin. lib. vi. Epist. 31. ἐπίστασθε, quid facere debeamus, id est, attente et diligenter considerate. *Mur.* [u] Δή τις abest ab Eliensi. [x] Ὡς τὰ N C. [y] Omittit οὐ ante πανούργους El. ut et Bas. Ven. 1. et N C. [z] Nulla est hoc loco in omnibus Græcis exemplaribus lectionis varietas, nullum scripturæ vitium: tantummodo vitiosa interpunctio est. Nam id interpunctum, quod verbo, εἰσὶ, posteriore loco appingitur, abradendum est, et quæ sequuntur, uno spiritu sunt legenda, hoc modo: οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν ἀρχὴν ἔχοντες, εἰσὶν, ἐπειδὴ τοιόνδε τὸ τέλος. *Lamb.*

et earum rerum, quæ aguntur, causa. Consilium igitur rectum virtus efficit: ea autem dispicere, quæ illius causa agi consueverunt, hoc non virtutis, sed cujusdam alterius facultatis munus est. De quibus accuratius et planius est dicendum. Est igitur vis, seu potestas quædam, quam Solertiam vocant: hæc autem ejusmodi est, ut ea, quæ ad scopum propositum pertinent, agere et consequi possit. Ac si scopus quidem honestus sit, laudabilis: sin malus ac turpis, Versutia est nominanda: proinde et prudentes et versutos dicimus δεινὸς, hoc est, solertes. Prudentia porro non est hæc potestas, sed tamen non sine hac potestate. Habitus autem huic quasi animi oculo ingeneratur, non sine virtute, ut et dictum est, et perspicuum est: ratiocinationes enim eæ, quæ rerum sub actionem venientium principium continent, eo sunt, eoque valent, quod finis talis est, et quod est optimum bonorum, quodcunque illud tandem sit. Esto enim, verbi gratia, aliquid forte fortuna

Ἔστω γὰρ λόγου χάριν τὸ τυχόν· τοῦτο δ', εἰ μὴ τῷ ἀγαθῷ, οὐ φαίνεται· διαστρέφει γὰρ ἡ μοχθηρία, καὶ διαψεύδεσθαι ποιεῖ περὶ τὰς πρακτικὰς ἀρχάς. Ὥστε φανερὸν, ὅτι ἀδύνατον φρόνιμον εἶναι, μὴ ὄντα ἀγαθόν.

ΚΕΦ. ιγʹ.

ΣΚΕΠΤΕΟΝ [a]δὴ πάλιν καὶ περὶ ἀρετῆς. [b]Καὶ γὰρ ἡ ἀρετὴ παραπλησίως ἔχει, ὡς ἡ φρόνησις πρὸς τὴν δεινότητα, οὐ [c]ταὐτὸν μὲν, ὅμοιον δέ· οὕτω [d]καὶ ἡ φυσικὴ ἀρετὴ πρὸς τὴν κυρίαν. [e]Πᾶσι γὰρ δοκεῖ ἕκαστα τῶν [f]ἠθῶν ὑπάρχειν φύσει πως· καὶ γὰρ δίκαιοι, καὶ σωφρονικοὶ, καὶ ἀνδρεῖοι, καὶ τἆλλα ἔχομεν εὐθὺς ἐκ γενετῆς. [g]Ἀλλ' ὅμως ζητοῦμεν ἑτερόν τι, τὸ κυρίως ἀγαθὸν εἶναι, καὶ τὰ τοιαῦτα [h]ἄλλον τρόπον

[a] Δὴ abest ab El. [b] *Καὶ γὰρ ἡ ἀρετὴ* desunt N C. sed perperam. Andronicus hoc modo legit et explicat: *Καὶ γὰρ ὡς ἔχει ἡ φρόνησις πρὸς τὴν δεινότητα, οὐ ταὐτὸν μὲν, ὅμοιον δέ· καὶ γὰρ ἡ μὲν δεινότης φυσική ἐστιν ἐπιτηδειότης [promptitudo] τῆς ψυχῆς, ἡ δὲ φρόνησις, ἀρετή ἐστι τῆς τοιαύτης ἐπιτηδειότητος· οὕτω καὶ ἡ ἠθικὴ ἀρετὴ πρὸς τὴν φυσικὴν ἀρετὴν ἔχει.* [c] *Ταὐτὸ* N C. [d] *Καὶ* deest N C. [e] Quod ait Auctor arbitrari fere omnes, quod cunctis naturaliter sint mores sui insiti, et addit *πως*, id est, *quodammodo*; *ἤθη* scilicet ea vocat, quæ spectantur in singulis conditionibus, ordinibus, ætate denique et sexu: ut liberi, servi, militis, lenonis, honorati, privati, senioris, junioris, matrisfamilias, meretricis, virginis. Latini *Personas* vocant. Et inde *ἠθοποιΐα* καὶ *ἠθολογία* facta est. Atque Plato planius aliquanto hoc in vii. Legum exposuit, his verbis: *κυριώτατον γὰρ οὖν ἐμφύεται πᾶσι τότε τὸ πᾶν ἦθος διὰ ἔθος.* Illud ipsum enim ait, ad quem natura unumquemque veluti effinxerit, tunc proprie ingenerari, cum usu et exercitatione perficiatur. *Camer.* [f] *Ἠθικῶν* legit El. Sed melius Andron. *τῶν ἠθικῶν ἀρετῶν ἑκάστη.* [g] *Ἀλλ' ὅμως ζητοῦμεν ἑτερόν τι, νομίζοντες οὐ ταύτας εἶναι τὰς κυρίως ἀρετάς.* Sic explanat Andronicus. El. habet *ἐκ γενετῆς* καὶ *ζητοῦμεν.* [h] Pro *ἄλλον τρόπον* Ven. 1. et Bas. habent adverbium *ἄλλως. Sylburg.*

oblatum: hoc autem non nisi viro bono apparet: pervertit enim et depravat judicium rationis vitiositas, efficitque ut de principiis ad agendum aptis falsum judicemus. Ex quo perspici potest, fieri non posse, ut quis sit prudens, quin idem sit vir bonus.

CAP. XIII.

RURSUS igitur nobis de virtute videndum est. Nam ut prudentia solertiæ similis est, non eadem: sic et virtus ea, quæ proprie et præcipue virtus est, cum virtute naturali comparatur. Singuli enim mores in omnibus hominibus quodammodo videntur inesse natura: namque ad justitiam, temperantiam, fortitudinem, cæterasque virtutes, apti atque habiles sumus, cum primum nascimur. Sed tamen aliud quiddam, quod proprie bonum sit, requiri-

ὑπάρχειν· [i]καὶ γὰρ παισὶ καὶ θηρίοις αἱ φυσικαὶ ὑπάρχουσιν ἕξεις· ἀλλ' ἄνευ νοῦ βλαβεραὶ φαίνονται οὖσαι. Πλὴν τοσοῦτον ἔοικεν ὁρᾶσθαι, ὅτι ὥσπερ [k]σώματι ἰσχυρῷ [l]ἄνευ ὄψεως κινουμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς, διὰ τὸ μὴ [m]ἔχειν ὄψιν, [n]οὕτω καὶ ἐνταῦθα· ἐὰν δὲ λάβῃ νοῦν, ἐν τῷ πράττειν [o]διαφέρει. Ἡ δ' ἕξις ὁμοία [p]οὖσα, τότ' ἔσται κυρίως ἀρετή. Ὥστε καθάπερ ἐπὶ τοῦ δοξαστικοῦ, δύο ἐστὶν εἴδη, δεινότης καὶ φρόνησις· [q]οὕτως ἐπὶ τοῦ ἠθικοῦ, δύο ἐστί, τὸ μὲν ἀρετὴ φυσι-

[i] Αὗται γὰρ [ἀρεταὶ φυσικαὶ] καὶ παισὶ καὶ θηρίοις ὑπάρχουσαι, βλαβεραὶ γίνονται ἐνίοτε, διὰ τὸ ἄνευ νοῦ προσεῖναι· καὶ καθάπερ σώματι ἰσχυρῷ κινουμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς, ὅταν ἄνευ ὄψεως κινῆται, οὕτω καὶ τὰς τοιαύτας ἕξεις ἄνευ νοῦ πονηρὰς εἶναι συμβαίνει, μετὰ δὲ νοῦ ἀγαθάς· αἳ καὶ ἀρεταὶ κυρίως καλοῦνται. *Andr.* [k] Ἐν σώματι Ven. 3. Bas. et N C. [l] Illustri est Auctor similitudine usus, cujus exemplum esse potest Imago Polyphemi cæci, effosso oculo ab Ulysse, qui caput allidit ad rupes apud Euripidem, dum comprehendere vult in antro Ulyssem. Hujus similem dixit quidam esse rem Macedonicam mortuo Alexandro: τὴν ἐκείνην ἐμπλακομένην ἑαυτῇ καὶ περιπίπτουσαν, ut Plutarchus ait. *Camerarius.* [m] Εἶναι N C. [n] Οὕτω καὶ ἐνταῦθα, id est, *Sic et hic.* In omnibus libris impressis, quos quidem viderim, ea est interpunctio, quam exposui. Eustratius autem lectionem aliter interpunctam proponit, hujusmodi: οὕτω καὶ ἐνταῦθα ἐὰν λάβῃ νοῦν, ut hæc conjuncte legantur, quæ membratim legebantur. Verum cum hæc Lectio, quam secuti sumus, tot librorum fide ac testimonio confirmetur, habeatque sententiam, non solum probabilem et consentaneam, verum etiam apertam: non putavi mihi ab ea temere esse discedendum. *Lambinus.* [o] Scio apud Græcos διαφέρειν valere *differre, interesse*; sed valet quoque *antecellere, præstare.* Isocrat. de Helena: ἣ καὶ τῷ γένει, καὶ τῷ κάλλει, καὶ τῇ δόξῃ, πολὺ διήνεγκε. Idem περὶ εἰρήνης· τοσοῦτον ἀνοίᾳ διήνεγκας πάντων ἀνθρώπων. Aristot. vii. Polit. εἰ εἴησαν τοσοῦτον διαφέροντες οἱ ἕτεροι τῶν ἄλλων, ὅσον ἡγούμεθα τοὺς Ἥρωας τῶν ἀνθρώπων διαφέρειν. Atque hanc proximam hujus verbi significationem magis convenire huic loco existimavi. D. Thomas quidem, cui vix Linguæ Græcæ Elementa fuerunt cognita, et qui Interpretatione usus est pæne barbara, sic explicat, hisque fere verbis utitur: *multum differt excellentia bonitatis.* Idem. [p] Post οὖσα addit Eliensis τῇ δεινότητι. [q] Inter οὕτως et ἐπὶ Eliensis inserit καί.

mus, et virtutes ejusmodi aliter in nobis inesse volumus: in pueris enim et bestiis naturales insunt habitus: sed sine mente detrimentum videntur afferre. Atque hoc ex similitudine corporis humani perspici potest: nam ut robusto et valido corpori, quod sine videndi sensu movetur, graves offensiones accidunt, propterea quod videndi sensu careat; sic se res habet in iis animi bonis, quæ a natura tribuuntur: quod si mentem adepta fuerint, incredibile est quanto in agendo cæteris antecellant. Habitus autem cum similis illis exstiterit, tunc proprie virtus erit. Itaque quemadmodum in ea parte animi, quæ ad opinandum valet, duæ sunt formæ, solertia et prudentia; ita et in ea, quæ moribus attributa est, duæ, quarum al-

κὴ, τὸ δ' ἡ κυρία· καὶ τούτων, ἡ κυρία οὐ γίνεται ἄνευ φρονήσεως. Διόπερ φασὶ, [r]πάσας τὰς [s]ἀρετὰς φρονήσεις εἶναι. Καὶ Σωκράτης, τῇ μὲν, ὀρθῶς ἐζήτει· τῇ δ', ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετο εἶναι πάσας τὰς ἀρετὰς, ἡμάρτανεν· ὅτι δ' οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγε. Σημεῖον δέ· καὶ γὰρ νῦν πάντες, ὅταν ὁρίζωνται τὴν ἀρετὴν, προστιθέασι τὴν ἕξιν, εἰπόντες καὶ πρὸς ἅ ἐστι, τὴν κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ' [t]ὁ κατὰ τὴν φρόνησιν. Ἐοίκασι [u]δὴ μαντεύεσθαί πως ἅπαντες, ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν, ἡ κατὰ τὴν φρόνησιν. [x]Δεῖ δὲ μικρὸν μεταβῆναι· [y]οὐ γὰρ μόνον ἡ κατὰ τὸν ὀρθὸν λόγον, [z]ἀλλὰ καὶ ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις, ἀρετή ἐστιν. Ὀρθὸς δὲ λόγος περὶ τῶν τοιούτων, ἡ φρόνησίς ἐστι. Σωκράτης μὲν οὖν λόγους τὰς ἀρετὰς ᾤετο εἶναι· ἐπιστήμας γὰρ εἶναι πά-

[r] Τινὰς πάσας κ. τ. λ. El. Forte pro τινὰς, ut vera lectio sit hujusmodi: Διόπερ φασί τινες, i. e. *Quapropter nonnulli omnibus virtutibus tribuunt nomen prudentiæ*: inter quos princeps erat Socrates. Vide Platonem in Menone. Et Eustratius et Joach. Camerarius Socratem defendere conantur, sed opera inani. [s] Verba inter ἀρετὰς et ἡμάρτανεν absunt a N C. sed perperam. [t] Ὁ κατὰ τὴν φρόνησιν, i. e. *ea* [ratio] *quæ prudentiæ congruit*. Lambin. [u] Δὲ El. [x] Δεῖ δὲ μικρὸν μεταβῆναι, potest non incommode converti, *verum abscedere quoque paululum oportet*. Camer. Sed brevius et planius Andronicus: Ἔτι δὲ οὐ μόνον, et quæ sequuntur. [y] Ἔσται γὰρ οὐ El. [z] Ven. 1. Bas. Camot. El. et N C. legunt ἀλλ' ἡ omissa καί.

tera est virtus naturalis, altera ea, quæ præcipue et proprie virtus appellatur: quarum hæc, quæ præcipue virtus est, sine prudentia constare non potest. Itaque virtutes omnes, prudentias esse dicunt. Et Socrates quidem partim recte quærebat, partim errabat: nam quod virtutes omnes, prudentias esse putabat, in hoc errabat; quod autem eas non vacare prudentia arbitrabatur, pulchre dicebat. Cujus rei hoc argumentum est, quod nunc omnes cum virtutem definiunt, posteaquam eam habitum esse dixerunt, et in quibus versetur, docuerunt, addunt, rectæ rationi consentaneum: recta autem ratio est ea, cui prudentia moderatur. Ergo omnes quodammodo videntur augurari, talem habitum prudentiæ consentaneum, esse virtutem. Veruntamen paulum immutanda hæc definitio est: non enim rectæ rationi consentaneus solum, sed etiam cum recta ratione conjunctus habitus, virtus est. Prudentia autem, recta talibus de rebus ratio est. Itaque Socrates virtutes rationes esse existimabat: omnes enim, sci-

σας· ἡμεῖς δὲ, [a] μετὰ λόγου. [b] Δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως ἄνευ φρονήσεως· οὐδὲ φρόνιμον, ἄνευ τῆς ἠθικῆς ἀρετῆς. Ἀλλὰ καὶ ὁ λόγος ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη τις ἄν, ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί· οὐ γὰρ ὁ αὐτὸς εὐφυέστατος πρὸς ἁπάσας. Ὥστε, τὴν μὲν ἤδη, τὴν δ' [c] οὔπω εἰληφὼς ἔσται· τοῦτο γὰρ, κατὰ [d] μὲν τὰς [e] φυσικὰς ἀρετὰς, ἐνδέχεται· καθ' ἃς δὲ ἁπλῶς λέγεται ἀγαθὸς, οὐκ ἐνδέχεται· [f] ἅμα γὰρ τῇ φρονήσει μιᾷ [g] οὔσῃ,

[a] *Τὸ κατὰ λόγον διαφέρει τοῦ μετὰ λόγου· κατὰ λόγον γάρ τις ποιεῖ τι, καὶ ἑτέρου κινοῦντος, καὶ τὸ τέλος σκοποῦντος, ὥσπερ ἡ φύσις κατὰ λόγον ποιεῖ· μετὰ λόγου δὲ ὅταν αὐτὸς εἰδὼς πράττῃ, καὶ τὸ τέλος σκοπῶν κατὰ λόγον ποιῇ.* Quod *secundum rationem* est, differt ab eo, quod est *cum ratione:* etenim *secundum rationem* aliquid agere dicitur aliquis, etiam movente alio et de fine cogitante, sicut *secundum rationem* natura facit: *cum ratione* autem, quoties sciens agit qui agit, et de fine cogitat, atque ita *secundum rationem* agit. *Andron.* [b] Δῆλον οὖν El. [c] Sic libri fere omnes. Vetus Interpres videtur legisse *οὔπως*, id est, *nullo modo, nequaquam.* Quæ lectio sane mihi non displicet. Erit enim hæc sententia, ut intelligas, orationem esse eorum, qui dicebant virtutes posse inter se separari, fierique posse, ut quis sit fortis ac liberalis, nec tamen temperantiam, nec justitiam sit consecutus. Quale est illud M. Tullii Offic. 1. *Sunt enim qui in rebus contrariis parum sibi constent: voluptatem severissime contemnant, in dolore sint molliores; gloriam negligant, frangantur infamia.* Jam si legamus *οὔπω*, erit hic Aristotelis sensus: Fieri posse, ut qui non fuerit, verbi gratia, nuper temperans, is consuetudine adhibita, laboreque suscepto, eam virtutem comparet. *Lamb.* [d] Ven. 1. et Bas. conjunctionem *μὲν* e secundo commate transferunt in primum post *τοῦτο.* [e] *Φυσικὰς* deest N C. male. [f] Cum *ὀρθὸς λόγος* Ethicas virtutes dirigat, neque is ab Ethica virtute actu sejungi queat (*ὀρθὸς* enim *λόγος* sive *φρόνησις* absque virtute, non *φρόνησις* erit, sed *πανουργία* potius, *malitia et calliditas*) certe in quo homine *φρονήσεως* habitus perfectissimus erit, in illo etiam Ethicæ omnes virtutes erunt: et vicissim in quo perfectus habitus alicujus Ethicæ virtutis erit, in illo etiam et solida prudentia, et per consequens cæteræ omnes virtutes inerunt. Verum decipimur vulgo, et ex actionibus justis vel temperantibus similes habitus statim inferimus; cum tamen id non sit necesse. Potest enim quis juste vel temperanter agere, non tamen justus erit aut temperans, cum nondum habitum acquisiverit, sed tantum dispositionem; et *δυνάμεις* potius in agendo sequatur, quam *ὀρθὸν λόγον* sive *τὴν φρόνησιν.* Atque

entias esse: nos autem cum ratione conjunctas. Ex his igitur quæ dicta sunt, perspicuum est, nec sine prudentia quenquam proprie virum bonum esse posse, nec prudentem sine virtute ea, quæ ad mores pertinet. Sed et hoc eodem modo dilui ac refelli potest ea ratio, qua disputare possit aliquis, virtutes inter se separari: non enim idem ad omnes virtutes aptissimus est natura. Itaque hanc jam adeptus est, illam autem nondum erit consecutus: nam in iis quidem virtutibus, quæ a natura ingenerantur in nobis, hoc evenire potest; in iis autem, ex quibus absolute vir bonus nominatur, non potest: una enim cum prudentia, quæ una est, cæteræ omnes præsto ad-

πᾶσαι ὑπάρξουσι. Δῆλον δὲ, κἂν εἰ μὴ πρακτικὴ ἦν, ὅτι [h]ἔδει ἂν αὐτῆς διὰ τὸ [i]τοῦ μορίου ἀρετὴν εἶναι, καὶ ὅτι οὐκ ἔσται ἡ προαίρεσις ὀρθὴ ἄνευ φρονήσεως, οὐδ' ἄνευ ἀρετῆς· ἡ μὲν γὰρ, τὸ [k]τέλος· ἡ δὲ, [l]τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν. Ἀλλὰ μὴν οὐδὲ κυρία γέ ἐστι τῆς σοφίας, οὐδὲ τοῦ βελτίονος μορίου· ὥσπερ οὐδὲ τῆς ὑγιείας, ἡ ἰατρική· οὐ γὰρ χρῆται αὐτῇ· [m]ἀλλ' ὁρᾷ ὅπως γένηται. Ἐκείνης οὖν ἕνεκα ἐπιτάττει, ἀλλ' οὐκ ἐκείνῃ. Ἔτι, ὅμοιον κἂν εἴ τις τὴν πολιτικὴν φαίη [n]ἄρχειν τῶν θεῶν, ὅτι [o]ἐπιτάττει [p]περὶ πάντα τὰ ἐν τῇ πόλει.

adeo ut in universum dicam, omnes fere homines vel ex φυσικῇ tantum ἀρετῇ, vel certe ex διαθέσει ἠθικῇ operantur et agunt; et propterea nemo facile in solidum erit Beatus. Proinde hisce Libris Aristoteles non tam, ut multi criminantur, vires humanas attollere voluit, quam earum imbecillitatem ostendere. *Zuingerus.*
[g] Ὑπαρχούσῃ El. [h] Ven. 1. et Bas. pro ἔδει habent Pass. ἐδεῖτο. *Sylb.* [i] Τοῦ λογικοῦ δηλονότι. *Andron.* [k] Omnia inter τέλος· ἡ δὲ et τοῦ βελτίονος desunt N C. [l] Τὰ abest a Ven. 1. [m] Nempe *sapientia.* Hoc significat Aristot. Quemadmodum medicinæ proposita valetudo est, sic et prudentiæ sapientiam esse propositam. *Lamb.* Clarius aliquanto Andronicus, optimus Aristotelis interpres: Ἀλλὰ ζητεῖ ὅπως γένηται· καὶ οὐ διὰ τοῦτο κυρία αὐτῆς ἐστιν [*præest illi,*] ὥσπερ οὐδ' ἡ ἰατρικὴ κυρία ἐστὶ τῆς ὑγιείας· οὐ γὰρ αὐτῇ ἐπιτάττει [*imperat,*] ἀλλὰ τῆς ἕνεκα. Καὶ διὰ τοῦτο μᾶλλον βελτίων ἡ σοφία τῆς φρονήσεως, καθάπερ καὶ ἡ ὑγίεια τῆς ἰατρικῆς, ὅτι αὐτῆς ἕνεκα πράττει. [n] Ἀρχὴν Bas. [o] Οὐδὲ γὰρ ἡ πολιτικὴ, διότι ἐπιτάττει περὶ πάντων ἐν τῇ πόλει, ἤδη καὶ τῶν θεῶν ἄρχει. *Sed nec civilis scientia, quod omnia præcipiat quæ sunt in urbe, etiam diis imperat.* Andron. [p] Περὶ deest N C.

erunt. Perspicuum est autem, etiamsi ad agendum nullam vim haberet, eam tamen necessariam futuram: quia partis animi virtus est, et quia consilium sine prudentia, sineque virtute non erit rectum: hæc enim ut finem, illa ut ea, quæ ad finem pertinent, agamus, efficit. At vero neque in sapientiam dominatur, neque animi particulæ melioris habitus est: quemadmodum neque medicina bonæ valetudinis principatum habet: non enim ea utitur, sed ut existat et adsit, operam dat. Illius igitur causa præcipit atque imperat, non illi. Præterea sub prudentiæ imperio sapientiam esse dicere, simile est, ut si quis dicat, scientiam civilem Diis immortalibus præesse, quia omnia instituat ac præcipiat, quæ sunt in civitate.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

PARS ALTERA.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Η′.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. VII.

ΚΕΦ. α′.

[a] ΜΕΤΑ [b] δὲ ταῦτα λεκτέον, ἄλλην ποιησαμένους ἀρχὴν, ὅτι τῶν περὶ τὰ ἤθη φευκτῶν [c] τρία [d] ἐστὶν εἴδη, κακία, ἀκρασία, θηριότης. Τὰ δ᾽ ἐναντία, τοῖς μὲν δυσὶ, δῆλα· τὸ μὲν γὰρ ἀρετὴν, τὸ δ᾽ ἐγκράτειαν καλοῦμεν. Πρὸς δὲ τὴν θηριότητα, [e] μάλιστ᾽ ἂν ἁρμόττοι λέγειν τὴν ὑπὲρ ἡμᾶς ἀρετὴν,

[a] Μετὰ τὰ εἰρημένα περὶ τῶν ἠθικῶν ἀρετῶν καὶ διανοητικῶν, ῥητέον περὶ ἐγκρατείας, καὶ τῆς ὑπὲρ ἡμᾶς ἀρετῆς, ἥτις ἡρωϊκή τίς ἐστι καὶ θεία, κ. τ. λ. *Andr.* [b] Δὲ deest N C. et C C C. [c] Vide Magn. Moral. lib. ii. cap. 4. [d] Εἰσὶν N C. [e] Μάλιστ᾽ ἄν τις ἁρμόττειν λέγοι Ven. 1. et Bas. Quam lectionem retinet etiam Aspasius, etsi nostra sequiorem. N C. ἁρμόττει.

CAP. I.

SEQUITUR nunc ut alio initio facto dicamus, eorum, quæ in moribus fugienda sunt, tria esse genera, vitiositatem, incontinentiam, feritatem. Ac duorum quidem primorum contraria, nota sunt: alterum enim virtutem, alterum continentiam appellamus. Feritati autem aptissime dicere possimus opponi eam, quæ supra nos est, heroicam quandam ac di-

[f] ἡρωϊκήν [g] τινα καὶ θείαν, ὥσπερ Ὅμηρος περὶ Ἕκτορος πεποίηκε [h] λέγοντα τὸν Πρίαμον, ὅτι σφόδρα ἦν ἀγαθὸς,

[i] —— οὐδὲ ἐῴκει
Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.

Ὥστ' εἰ, καθάπερ φασὶν, ἐξ ἀνθρώπων γίνονται [k] θεοὶ δι' ἀρετῆς ὑπερβολὴν, τοιαύτη τις ἂν εἴη δηλονότι ἡ τῇ [l] θηριωδείᾳ ἀντιτιθεμένη ἕξις· καὶ γὰρ ὥσπερ [m] οὐδὲ θηρίου ἐστὶ κακία, οὐδ' ἀρετὴ, οὕτως οὐδὲ θεοῦ· ἀλλ' ἡ μὲν, [n] τιμιώτερον ἀρετῆς· ἡ δὲ, ἕτερόν τι γένος κακίας. Ἐπεὶ δὲ σπάνιον καὶ τὸ θεῖον ἄνδρα εἶναι· καθάπερ οἱ Λάκωνες [o] εἰώθασι προσαγορεύειν, ὅταν ἀγασθῶσι σφόδρα του, [p] Σεῖος ἀνὴρ φασίν· οὕτω καὶ ὁ

[f] Heroicæ virtutes non differunt ab humanis virtutibus præterquam sola ὑπερβολῇ et excellentia: proinde quot sunt species ἀρετῶν ἀνθρωπίνων, totidem et Ἡρωϊκῶν: erit igitur fortitudo Heroica, temperantia Heroica, et similes. Contraria Heroicæ virtuti est θηριότης, immanitas belluina, totidem sui ambitu species comprehendens, quot sunt vitiorum humanorum differentiæ. *Zuingerus.* [g] Τι N C. [h] Λέγοντος N C. mendose. [i] Priamus apud Homerum conqueritur filiorum fortissimos in bello occubuisse, Mestora, Troilum, et Hectora; superesse vero imbelles:

Ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Μήστορά τ' ἀντίθεον, καὶ Τρώϊλον ἱππιοχάρμην,
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐῴκει
Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο. Iliad. ω'. v. 255, &c.

[k] Ven. 1. Bas. et C C C. θεῖοι habent pro θεοί. [l] Θηριώδει N C. C C C. vero et Bas. legunt θηριωδίᾳ, penultima monophthongo. [m] Οὐδὲν Aurel. [n] Vide Magn. Moral. lib. ii. cap. 5. [o] Οἰώθασι El. [p] El. N C. Ven. 1. et Bas. habent Θεῖος. Sed ad Laconicam dialectum rectius quadrat σεῖος. Sic enim et σιός ab eadem gente dicitur ὁ θεός: et σιοκόροι, οἱ θεοκόροι seu οἱ θεῶν θεραπευταί, teste Hesychio. *Sylburg.* Plato in Menone, sub finem: Καὶ οἱ Λάκωνες ὅταν τινὰ ἐγκωμιάζωσιν ἀγαθὸν ἄνδρα, Σεῖος ἀνὴρ (φασὶν) οὗτος.

vinam virtutem: quemadmodum Priamum Homerus de Hectore loquentem facit, quoniam bonitate ac virtute præstabat,

—namque illum haud esse putares
Mortali genitore satum, at genus esse deorum.

Itaque si (ut aiunt) propter excellentiam præstantiamque virtutis, Dii ex hominibus efficiuntur, talis erit profecto is animi habitus, qui habitui illi ferino opponitur: nam ut feræ neque vitium, neque virtus est, sic neque Dei: sed hic quidem habitus virtute præstabilius et honoratius quiddam est, ille autem aliud quoddam a vitio genus est. Verum quoniam raro admodum evenit, ut vir divinus existat; (quemadmodum Lacones eum solent divinum appellare et salutare, quem magnopere admirantur: O virum divinum, inquiunt:) sic inter homines raro aliquis re-

θηριώδης ἐν τοῖς ἀνθρώποις [q] σπάνιος, [r] μάλιστα δὲ ἐν τοῖς βαρβάροις ἐστί. Γίνεται δ' ἔνια καὶ διὰ νόσους [s] καὶ πηρώσεις· [t] καὶ τοὺς διὰ κακίαν δὲ τῶν ἀνθρώπων ὑπερβάλλοντας, οὕτως ἐπιδυσφημοῦμεν. Ἀλλὰ περὶ μὲν τῆς τοιαύτης [u] διαθέσεως ὕστερον ποιητέον τινὰ μνείαν· περὶ δὲ κακίας εἴρηται πρότερον. Περὶ δὲ ἀκρασίας καὶ [x] μαλακίας καὶ τρυφῆς λεκτέον, καὶ περὶ ἐγκρατείας καὶ καρτερίας· οὔτε γὰρ [y] ὡς περὶ τῶν αὐτῶν ἕξεων τῇ ἀρετῇ καὶ τῇ μοχθηρίᾳ ἑκατέραν αὐτῶν ὑποληπτέον, οὔθ' ὡς ἕτερον γένος. Δεῖ δ', ὥσπερ ἐπὶ τῶν ἄλλων, τιθέντας [z] τὰ φαινόμενα, καὶ πρῶτον διαπορήσαντας, οὕτω δεικνύναι, μάλιστα μὲν [a] οὖν πάντα τὰ ἔνδοξα περὶ ταῦτα τὰ πάθη· εἰ δὲ μή, τὰ πλεῖστα καὶ κυριώτατα· ἐὰν γὰρ λύηται τὰ δυσχερῆ, καὶ

[q] Quidam Codd. φύσει σπάνιος. Cujus lectionis vestigium retinent Codices, qui inserunt φησὶν post θηριώδης in hanc sententiam: videtur autem retinenda vox φύσει, ut sit ἀντίθεσις, φύσει et διὰ νόσους. *Casaub.* [r] Δὲ καὶ μάλιστα CCC. [s] Pro καὶ πηρώσεις corrupte habet NC. ἱστηρώτησις. [t] Καὶ διὰ κακίαν δὲ τοὺς ὑπερβάλλοντας τῶν ἀνθρώπων NC. [u] Διαθέσεις proprie dicuntur, non ἕξεις nisi improprie: ita scilicet ut ἕξεις alias perfectas, alias imperfectas statuamus. Hanc ob causam in sequentibus sæpe ἕξεις appellat. *Zuing.* [x] Synonyma sunt, et eandem vitiosam dispositionem significant, uti paulo post ostendet. *Zuing.* [y] Ὡς deest NC. Guilielmus Canterus pro ὡς περὶ τῶν αὐτῶν legendum censet ὥσπερεὶ τῶν αὐτῶν. Vide ejus Nov. Lect. lib. iv. cap. 27. [z] Τὸ φαινόμενον NC. [a] El. CCC. Ven. 1. et Bas. omittunt οὖν.

peritur feritate belluarum similis natura: sed si quis, is maxime apud barbaros exoritur. Nonnullas autem hujusmodi immanitates, morbi et membrorum debilitationes pariunt: atque eos homines, qui vitio cæteris antecellunt, turpi atque infami nomine feros et immanes appellamus. Sed de hac quidem animi affectione nobis erit aliquid posterius dicendum: de vitiositate autem supra diximus. Nunc de incontinentia, et mollitia, et luxu dicendum est: itemque de continentia, et tolerantia: non enim de utraque perinde existimandum est, aut quasi iidem habitus sint, atque virtus et vitium, aut quasi diversa sint genera. Oportet autem, quod in aliis facere solemus, propositis primum iis, quæ sunt in promptu, atque in quæstionem dubiumque revocatis, ita expli care atque ostendere, maxime quidem omnia, quæ hominum opinionibus comprobata de his animi perturbationibus feruntur: sin minus, at certe plurima et præcipua: nam si ea, quæ difficilia et impedita sunt, dissolvantur atque expediantur, et relinquantur ea,

καταλείπηται τὰ ἔνδοξα, δεδειγμένον ἂν εἴη ἱκανῶς. [b]Δοκεῖ δὴ ἥ [c]τε ἐγκράτεια, καὶ καρτερία, τῶν σπουδαίων καὶ τῶν ἐπαινετῶν εἶναι· ἡ δὲ ἀκρασία τε καὶ μαλακία, τῶν φαύλων τε καὶ ψεκτῶν· καὶ ὁ αὐτὸς ἐγκρατὴς καὶ ἐμμενετικὸς [d]τῷ λογισμῷ, καὶ ἀκρατὴς καὶ ἐκστατικὸς τοῦ λογισμοῦ. Καὶ ὁ μὲν ἀκρατὴς, [e]εἰδὼς ὅτι φαῦλα, πράττει διὰ πάθος· ὁ δ' ἐγκρατὴς, εἰδὼς ὅτι φαῦλαι αἱ ἐπιθυμίαι, οὐκ ἀκολουθεῖ διὰ τὸν λόγον. Καὶ τὸν σώφρονα μὲν, ἐγκρατῆ καὶ καρτερικόν· τὸν δὲ τοιοῦτον, οἱ μὲν, [f]πάντα σώφρονα, οἱ δ', οὔ. Καὶ τὸν ἀκόλαστον, ἀκρατῆ, καὶ τὸν ἀκρατῆ, ἀκόλαστον συγκεχυμένως· [g]οἱ δὲ ἑτέρους εἶναί φασι· τὸν δὲ φρόνιμον, ὁτὲ μὲν οὔ φασιν ἐνδέχεσθαι εἶναι ἀκρατῆ· ὁτὲ δὲ ἐνίους φρονίμους ὄντας καὶ δεινοὺς, [h]ἀκρατεῖς εἶναι. Ἔτι, ἀκρατεῖς λέγονται καὶ θυ-

[b] Vide Magn. Moral. lib. ii. cap. 6. [c] Τε deest El. [d] Τῷ λόγῳ N C.
[e] Ven. 1. et Bas. omittunt ista, εἰδὼς ὅτι φαῦλα, πράττει διὰ πάθος· ὁ δ' ἐγκρατής. sed perperam. *Sylburgius*. Eliensis habet τὰ φαῦλα. [f] Πάντες N C. πάντως C C C. [g] Ὁτὲ δὲ El. [h] Ἀκρατεῖς εἶναι λέγοντες N C.

quæ probabilia et opinionibus hominum recepta sunt, satis hoc fuerit a nobis declaratum. Videtur igitur continentia et tolerantia in numero rerum bonarum et laudabilium esse; incontinentia autem et mollitia in malarum et vituperabilium: idemque esse continens, et qui facile in eo permanet, quod ratio præcipit; idem quoque incontinens, atque is, qui facile desciscit a judicio rationis. Atque incontinens quidem sciens res esse malas, agit eas tamen perturbatione animi concitatus: continens autem, quia cupiditates esse turpes et malas intelligit, a ratione revocatus, eas non sequitur. Ac temperantem quidem, continentem et tolerantem esse volunt: eum autem, qui talis sit, esse per omnia temperantem alii aiunt, alii negant. Itemque intemperantem alii incontinentem, et incontinentem intemperantem confuse dicunt esse; alii eos inter se differre volunt: prudentem vero interdum negant ullo modo incontinentem esse posse: interdum nonnullos, qui prudentes sint et solertes, incontinentes esse. Præterea dicuntur iræ, et honoris, et lucri incontinentes. Atque hæc quidem sunt, quæ de his virtutibus ac vitiis, crebris hominum sermonibus usurpantur.

μοῦ, καὶ τιμῆς, καὶ κέρδους. Τὰ μὲν οὖν [i]λεγόμενα ταῦτ' ἐστίν.

ΚΕΦ. β′.

ἈΠΟΡΗΣΕΙΕ δ' ἄν τις, πῶς ὑπολαμβάνων ὀρθῶς, ἀκρατεύεταί τις. Ἐπιστάμενον μὲν οὖν οὔ φασί τινες [k]οἷόν τε εἶναι· δεινὸν γὰρ, ἐπιστήμης ἐνούσης, ὡς ᾤετο Σωκράτης, ἄλλο τι κρατεῖν, καὶ περιέλκειν [l]αὐτὸν ὥσπερ ἀνδράποδον. Σωκράτης μὲν [m]γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον, ὡς οὐκ οὔσης ἀκρασίας· οὐθένα γὰρ ὑπολαμβάνοντα, πράττειν παρὰ τὸ βέλτιστον, ἀλλὰ δι' ἄγνοιαν. Οὗτος μὲν οὖν ὁ λόγος ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς, καὶ δέον ζητεῖν περὶ τὸ πάθος, εἰ δι' ἄγνοιαν, τίς ὁ τρόπος γίνεται τῆς ἀγνοίας· ὅτι γὰρ οὐκ [n]οἴεταί γε ὁ ἀκρατευόμενος, πρὶν ἐν τῷ πάθει γενέσθαι, φανερόν. Εἰσὶ δέ τινες, οἳ τὰ μὲν συγχωροῦσι, τὰ δ' οὔ· τὸ μὲν γὰρ ἐπιστήμης μηθὲν εἶναι κρεῖττον, ὁμολογοῦσι· τὸ δὲ

[i] Οὖν deest quibusdam editis. [k] Οἷόν τέ τινα εἶναι N C. [l] Αὐτὴν N C. Σωκράτης ἄλλο τι κρατεῖν, καὶ περιέλκειν desunt El. quæ tamen agnoscit in margine. [m] Οὖν pro γὰρ habet N C. [n] Camot. post οἴεταί γε inserit πράττειν. N C. vero et Bas. totum locum sic legunt: Ὅτι μὲν γὰρ οὐκ οἴεταί γε δεῖν πράττειν ἃ πράττει ὁ ἀκρατ. neque aliter Aspas.

CAP. II.

DUBITARE autem possit aliquis, quomodo is, qui de rebus recte existimat, incontinenter vivere queat. Qui scit igitur, ut incontinenter vivat, fieri posse negant nonnulli: grave enim ac difficile fuerit, ut arbitrabatur Socrates, in quo insit scientia, in eo aliud quidpiam dominari, et huc et illuc eum, quasi mancipium, trahere. Socrates enim proinde quasi nulla sit incontinentia, omnino rationem eorum, qui aliquam statuebant, oppugnabat: neminem enim, qui bene de rebus existimaret, quidquam aliud, quam quod sit optimum, agere: sed si agat, propter inscientiam agere. Hæc igitur oratio ea in controversiam revocat, quæ sunt in promptu quæque perspicue apparent: et quærendum est, si perturbatio incontinentis ab inscientia proficiscitur, quis sit hic inscientiæ modus: incontinentem enim id, quod agit, non putare agendum esse prius, quam perturbatione concitetur, perspicuum est. Sunt autem nonnulli, qui alia

μηθένα πράττειν παρὰ τὸ δόξαν βέλτιον, οὐχ ὁμολογοῦσι. Καὶ διὰ τοῦτο, τὸν ἀκρατῆ φασιν οὐκ ἐπιστήμην ἔχοντα, κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν, ἀλλὰ δόξαν. Ἀλλὰ μὴν εἴγε δόξα, καὶ [o] μὴ ἐπιστήμη, μηδ' ἰσχυρὰ [p] ὑπόληψις ἡ [q] ἀντιτείνουσα, ἀλλ' ἠρεμαία, καθάπερ ἐν τοῖς διστάζουσι, συγγνώμη, τῷ μὴ [r] ἐν ταύταις μένειν πρὸς ἐπιθυμίας ἰσχυράς· τῇ δὲ [s] μοχθηρίᾳ οὐ συγγνώμη, οὐδὲ τῶν ἄλλων οὐδενὶ τῶν ψεκτῶν. Φρονήσεως ἄρα ἀντιτεινούσης· αὕτη γὰρ ἰσχυρότατον. Ἀλλ' ἄτοπον· ἔσται γὰρ ὁ αὐτὸς [t] ἅμα φρόνιμος καὶ ἀκρατής· φήσειε δ' ἂν [u] οὐδεὶς φρονίμου εἶναι τὸ πράττειν ἑκόντα τὰ φαυλότατα. Πρὸς δὲ τούτοις, δέδεικται πρότερον, ὅτι πρακτικός [x] γε ὁ φρόνιμος· τῶν ἐσχάτων γάρ τις καὶ τὰς ἄλλας ἔχων ἀρετάς. Ἔτι, εἰ μὲν [y] ἐν

[o] Μὴ post καὶ deest Ven. 1. [p] Ὑπόληψις hic pro δόξῃ sumitur, et ἐπιστήμῃ opponitur. Quædam autem est ὑπόληψις ἰσχυρὰ, quæ scientiam æmulatur, qualis reperitur in hominibus obstinatis et pervicacibus, quod de Heraclito infra aperte testatur: quædam ἠρεμαία, tacita nimirum et imbecillis, non obstinata assensio. *Zuingerus.* [q] Ἀντιτείνουσα N C. [r] Ἐν αὐταῖς El. Ven. 1. Bas. vero et Aurel. habent ἐμμένειν ἐν ταύταις πρ. [s] Μοχθηρία proprie pro κακίᾳ, id est, confirmato habitu improbitatis; improprie autem pro dispositione vitiosa, ut hoc in loco. *Zuing.* [t] Ἅμα deest N C. [u] Οὐδὲ Bas. sed minus recte. οὐδεὶς φρόνιμον N C. [x] Γε deest N C. [y] Ἐν deest N C.

ex his concedunt, alia non item: nihil enim scientia potentius esse fatentur: neminem autem quidquam præter id, quod ei potius esse visum est, agere, non fatentur. Atque ob hanc causam dicunt incontinentem non scientia præditum, sed opinione duntaxat imbutum a voluptatibus superari. Atqui si opinio est incontinentis, non scientia: neque firma existimatio, quæ adversetur et obsistat cupiditati, sed infirma et imbecilla, ut iis contingit, quorum in dubio est animus: profecto ei ignosci debet, si in ea non permaneat adversus vehementes et firmas cupiditates: improbitati vero non est ignoscendum, neque ulli cuiquam rei vituperabili. Superatur igitur a cupiditate incontinens, prudentia reclamante et repugnante: hæc enim potentissima quædam res est. At hoc absurdum: erit enim simul idem prudens et incontinens: nemo autem prudentis esse dixerit, sua voluntate res improbissimas admittere. Præterea supra docuimus, qui sit prudens, eundem ad agendum esse aptissimum: quippe qui in extremis, id est, in rebus singularibus versetur, aliisque virtutibus ornatus sit.

τῷ ἐπιθυμίας ἔχειν ἰσχυρὰς καὶ φαύλας, ὁ ἐγκρατής· οὐκ [z]ἔσται ὁ σώφρων ἐγκρατὴς, οὐδ᾽ ὁ ἐγκρατὴς σώφρων· οὔτε γὰρ [a]τὸ ἄγαν, σώφρονος, [b]οὔτε τὸ φαύλας ἔχειν. Ἀλλὰ μὴν δεῖ γε· [c]εἰ μὲν γὰρ [d]χρησταὶ αἱ ἐπιθυμίαι, φαύλη ἡ κωλύουσα ἕξις μὴ ἀκολουθεῖν· ὥσθ᾽ ἡ ἐγκράτεια, οὐ πᾶσα [e]σπουδαία· εἰ δ᾽ ἀσθενεῖς καὶ μὴ φαῦλαι, οὐθὲν σεμνόν· οὐδ᾽ εἰ φαῦλαι καὶ ἀσθενεῖς, οὐθὲν μέγα. Ἔτι, εἰ πάσῃ δόξῃ ἐμμενετικὸν ποιεῖ ἡ ἐγκράτεια, φαύλη, οἷον εἰ καὶ τῇ ψευδεῖ· καὶ εἰ πάσης δόξης ἡ ἀκρασία ἐκστατικὸν, ἔσται τις σπουδαία ἀκρασία· [f]οἷον ὁ Σοφοκλέους [g]Νεοπτόλεμος ἐν τῷ Φιλοκτήτῃ· ἐπαινετὸς γὰρ, οὐκ ἐμμένων οἷς ἐπείσθη ὑπὸ τοῦ Ὀδυσσέως, [h]διὰ τὸ λυπεῖσθαι ψευδόμενος. Ἔτι, ὁ σοφιστικὸς λόγος [i]ψευδόμενος,

[z] Ἔστιν N C. [a] Quidam Codd. τὸ ἄγεσθαι. Et sic Aspasius: οὐ γὰρ τοῦ σώφρονός ἐστι τὸ ἄγεσθαι ἢ τὸ πολεμεῖσθαι ὑπὸ αἰσχρῶν ἡδονῶν. [b] Bas. habet οὔτε δὲ φαύλ. Sed τὸ vix omitti hic potest. *Sylburg.* [c] Εἰ μὲν γὰρ χρησταὶ αἱ ἐπιθυμίαι τοῦ ἐγκρατοῦς, φαύλη ἡ ἐγκράτεια, κωλύουσα αὐταῖς χρῆσθαι· εἰ δὲ ἀσθενεῖς καὶ οὐ φαῦλαι, οὐδὲν σεμνὸν ἡ ἐγκράτεια· νῦν δὲ τοιαύτη δοκεῖ. Εἰ δὲ φαῦλαι καὶ ἀσθενεῖς, οὐδὲν μέγα τὸ τοιούτων κρατεῖν· ὥστε οὐ μέγα ἡ ἐγκράτεια. Δεῖ τοίνυν δὴ φαύλας εἶναι τὰς ἐπιθυμίας τοῦ ἐγκρατοῦς καὶ ἰσχυράς· καὶ διὰ τοῦτο οὔτε ὁ σώφρων ἐγκρατὴς ἂν εἴη, οὔτε ὁ ἐγκρατὴς σώφρων· ut optime exponit Andronicus. [d] Χρησταί γε αἱ N C. [e] Σπουδαῖον El. a prima manu. Sed habet etiam σπουδαία in margine. [f] Οἷον καὶ ὁ El. [g] Nota est Fabula. [h] Perion. *Tum cum vi doloris coactus mentiretur.* Hæc ab Aristotelis sententia remotissima sunt. *Lamb.* [i] *Mentientem* etiam M. Tullius commemorat lib. ii. de *Divinat.* *Quomodo autem mentientem, quem ψευδόμενον vocant, dissolvas?* Idem.

Præterea si in eo situs est continens, ut vehementibus et malis cupiditatibus incendatur: non erit profecto temperans continens, neque continens temperans: nam neque immoderatum quidquam, neque malis cupiditatibus affici, temperantis est. Atqui ita esse oportet: nam si bonæ sint cupiditates, malus est habitus, qui prohibet sequi: itaque non omnis erit bona continentia: quod si sint imbecillæ, neque malæ, non erit gloriosum eas vincere: si malæ et imbecillæ, non magnum. Præterea si in omni opinione perseverantem efficit continentia, mala est, puta si etiam in falsa: et si incontinentia de omni opinione facile dimovebit, erit aliqua bona incontinentia: exempli causa, Sophoclis Neoptolemus in Philoctete laudandus est, qui non maneat in iis, quæ persuaserat ei Ulysses, quia ei mentiri sit molestum. Præterea sophistarum ratio, quam mentientem vocant, dubitationem affert pene inexplicabilem: nam quia volunt adversarium adigere ad assen-

ἀπορία· διὰ γὰρ τὸ παράδοξα βούλεσθαι ἐλέγχειν, ἵνα δεινοὶ ὦσιν, ὅταν ἐπιτύχωσιν, ὁ γενόμενος συλλογισμὸς ἀπορία γίνεται· δέδεται γὰρ ἡ διάνοια, ὅταν μένειν μὲν [k] μὴ βούληται, [l] διὰ τὸ μὴ ἀρέσκειν τὸ συμπερανθέν· προϊέναι [m] δὲ μὴ δύνηται, διὰ τὸ λῦσαι μὴ ἔχειν τὸν λόγον. Συμβαίνει δ' ἔκ τινος λόγου ἡ ἀφροσύνη μετὰ ἀκρασίας ἀρετή· τἀναντία γὰρ πράττει ὧν ὑπολαμβάνει, διὰ τὴν ἀκρασίαν· ὑπολαμβάνει γὰρ τἀγαθὰ κακὰ εἶναι, καὶ [n] οὐ δεῖν πράττειν· ὥστε τἀγαθὰ καὶ οὐ τὰ κακὰ πράξει. Ἔτι, ὁ τῷ πεπεῖσθαι πράττων καὶ διώκων τὰ ἡδέα, καὶ προαιρούμενος, βελτίων ἂν δόξειεν [o] εἶναι τοῦ μὴ διὰ λογισμὸν, ἀλλὰ δι' ἀκρασίαν· [p] εὐιατότερος γὰρ διὰ τὸ μεταπεισθῆναι ἄν. Ὁ δ' ἀκρατὴς ἔνοχος τῇ [q] παροιμίᾳ ἐν ᾗ φαμὲν,

Ὅταν τὸ ὕδωρ [r] πνίγῃ, τί δεῖ [s] ἐπιπίνειν;

[k] Μὴ deest C C C. [l] Δὶ pro διὰ scribit N C. et μὴ post τὸ deest. [m] Δὲ deest C C C. [n] Οὐ δεῖ Ven. 1. et infra Bas. pro πεπεῖσθαι habet πείθεσθαι. *Sylburg.* [o] Εἶναι deest El. et N C. [p] Εὐιατώτερος El. [q] Παροιμίᾳ ἐν τῷ ᾗ φαμ. N C. [r] N C. Ven. 1. et Bas. legunt τὸν φάρυγγα πνίγῃ, et mox habent ἐπὶ πίνειν pro ἐπιπίνειν. [s] Λέγεται αὕτη ἡ παροιμία ἐπὶ τῶν ἀνθρώπων τῶν βλαπτομένων,

tiendum rebus inopinatis, et abhorrentibus ab opinione populari, ut, si assecuti fuerint, quod volunt, solertes et acuti esse videantur; ratiocinatio ea, quæ collecta est, dubitationem parit inexplicabilem: vincta enim mens est, cum ille neque vult insistere, quia id, quod conclusum est, non probat; neque longius progredi potest, propterea quod rationem dissolvere nequit. Evenire autem ex aliqua ratione potest, ut imprudentia cum incontinentia sit virtus: contra enim facit atque existimat, propter incontinentiam: existimat autem ea quæ bona sunt, esse mala, neque esse agenda: ita quæ bona sunt, acturus est, non quæ mala. Præterea qui ea, quæ jucunda sunt, eo ipso quod ita persuasum habeat, taleque consilium ceperit, agit et persequitur, is eo melior videatur, qui non ratione, sed incontinentia ad turpitudinem aliquam impellatur: facilius enim sanari potest, quia de sententia possit dimoveri. In incontinentem autem quadrat id quod tritum est omnium sermone proverbium,

Quid adhibendum est, cum premit
fauces aqua?

si enim persuasum ei esset, ut

εἰ μὲν γὰρ [t] μὴ ἐπέπειστο [u] ἃ πράττει, μεταπεισθεὶς ἂν ἐπαύσατο· [x] νῦν δὲ πεπεισμένος, οὐδὲν ἧττον [y] ἄλλα πράττει. Ἔτι εἰ [z] περὶ πάντα ἀκρασία ἐστὶ καὶ ἐγκράτεια, τίς ὁ ἁπλῶς ἀκρατής; οὐθεὶς γὰρ ἁπάσας ἔχει τὰς ἀκρασίας· φαμὲν δ' εἶναί τινας ἁπλῶς. Αἱ μὲν οὖν ἀπορίαι τοιαῦταί τινες συμβαίνουσι· τούτων δὲ τὰ μὲν ἀνελεῖν δεῖ, τὰ δὲ καταλιπεῖν· ἡ γὰρ λύσις τῆς ἀπορίας, [a] εὕρεσίς ἐστι.

ΚΕΦ. γ'.

[b] ΠΡΩΤΟΝ μὲν οὖν σκεπτέον, πότερον εἰδότες, ἢ οὔ, καὶ πῶς εἰδότες· εἶτα, περὶ ποῖα τὸν ἀκρατῆ καὶ τὸν ἐγκρατῆ θετέον· λέγω [c] δὲ, πότερον περὶ πᾶσαν ἡδονὴν καὶ λύπην, ἢ περί τινας ἀφωρισμένας· καὶ τὸν ἐγκρατῆ καὶ τὸν καρτερικὸν, πότερον ὁ αὐτὸς, ἢ ἕτερός ἐστιν. Ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα συγγενῆ τῆς θεωρίας ἐστὶ ταύτης. [d] Ἔστι δὲ ἀρχὴ τῆς

ὑφ' ὧν οἴονται ὠφεληθῆναι· εἰ γὰρ ὑπὸ τῶν δυναμένων ὠφελεῖν, ἤτοι, εἰ ἀπὸ τῶν ὠφελίμων πραγμάτων βλάπτονται, τί ἂν οὕτω πάθωσιν, ὑπὸ μὴ δυναμένων ὠφελεῖν πραγμάτων, ἀλλὰ βλάπτειν; *Aspas.* [t] Μὴ delet Lamb. [u] Subaudi κακὰ εἶναι. *Aspasius.* [x] Νυνὶ δὲ μὴ πέπεισμ. N C. [y] Τοιαῦτα *Lamb.* [z] Περὶ ἅπαντα ἀκρατής ἐστι N C. [a] Sc. τοῦ ζητουμένου. Vide cap. 1. ἐὰν γὰρ λύηται, et reliqua. [b] Πρότερον N C. [c] Δὴ N C. [d] Pro ἔστι δὲ ἀρχὴ Eliensis legit ἔστι δ' ἡ ἀρχή.

ea quæ agit, ageret: simul atque ei dissuasum esset, de sententia desisteret: nunc autem tametsi non sit ei persuasum, talia agit tamen. Præterea si in omnibus versatur incontinentia et continentia, quis absolute incontinens est? nemo enim omni genere incontinentiæ affectus est: at aliquos esse dicimus incontinentes absolute. Et hæ quidem tales quædam sunt difficultates, quæ dubitationem afferunt: quarum aliæ tollendæ, aliæ relinquendæ sunt: difficultatis enim et dubitationis dissolutio, inventio est.

CAP. III.

PRIMUM igitur videndum est, utrum scientes peccent incontinentes, necne; et quemadmodum scientes: deinde quibus in rebus incontinens et continens locandus sit: id est, utrum in omni voluptate et dolore, an in certis voluptatibus ac doloribus: continensque et patiens, utrum idem sint, an differant. Itemque de aliis omnibus, quæ sunt huic disputationi quasi cognata. Hinc autem ducitur hujus orationis initi-

σκέψεως, πότερον ὁ ἐγκρατὴς καὶ ἀκρατής εἰσι, τῷ περὶ ἃ, ἢ τῷ πῶς, ἔχοντες τὴν διαφοράν· λέγω δὲ, πότερον τῷ [e]περὶ ταδὶ εἶναι μόνον [f]ἀκρατὴς ὁ ἀκρατὴς, ἢ οὔ· [g]ἀλλὰ τῷ ὡς, ἢ οὒ, ἀλλὰ τῷ ἐξ ἀμφοῖν. Ἔπειτ', εἰ περὶ ἅπαντ' ἐστὶν ἡ ἀκρασία καὶ [h]ἡ ἐγκράτεια, ἢ οὔ· [i]οὔτε γὰρ περὶ ἅπαντά ἐστιν ὁ ἁπλῶς ἀκρατὴς, ἀλλὰ περὶ ἅπερ ὁ ἀκόλαστος, οὔτε τῷ πρὸς ταῦτα ἁπλῶς ἔχειν· [k]ταὐτὸν γὰρ [l]ἂν ἦν τῇ [m]ἀκολασίᾳ· ἀλλὰ τῷ ὡδὶ ἔχειν· ὁ μὲν γὰρ, ἄγεται προαιρούμενος, νομίζων ἀεὶ δεῖν τὸ παρὸν ἡδὺ διώκειν· ὁ δ' οὐκ οἴεται μὲν, διώκει δέ. Περὶ μὲν οὖν [n]τοῦ δόξαν ἀληθῆ, ἀλλὰ μὴ ἐπιστήμην εἶναι, παρ' ἣν ἀκρατεύονται, οὐθὲν διαφέρει πρὸς τὸν λόγον· ἔνιοι γὰρ τῶν δοξαζόντων, οὐ διστάζουσιν, ἀλλ' οἴονται ἀκριβῶς [o]εἰδέναι. Εἰ οὖν διὰ τὸ ἠρέμα πιστεύειν, [p]οἱ δοξάζοντες μᾶλλον τῶν ἐπισταμένων [q]παρὰ τὴν ὑπόληψιν

[e] Περὶ τάδι N C. [f] Ἀκρατὴς prior non apparet in El. nisi inter lineas. [g] Ven. 1. et Bas. omittunt ista, ἀλλὰ τῷ ὡς, ἢ οὔ. Neque Eliensis agnoscit nisi in margine. [h] Ἡ deest El. et Ven. 1. [i] Οὔτε τῷ N C. [k] Ταὐτὸ El. [l] Ἂν deest Ven. 1. N C. et El. [m] Γρ. ἀκρασίᾳ. [n] Τὴν δόξαν N C. [o] Ἰδέναι pro εἰδέναι El. ut sæpius antea. [p] Οἱ deest Ven. 1. [q] Περὶ τὴν ὑπόληψιν πράττουσιν N C.

um, utrum continens et incontinens appellentur ac differant inter se, ex iis rebus, in quibus versantur, an ex animorum habitu: hoc dico, utrum incontinens eo solum sit incontinens, quod in his, aut illis versetur, necne: an vero quod sic vel sic affectus sit, necne: an potius ex utrisque. Deinde utrum in omnibus versetur incontinentia et continentia, necne: non enim in omnibus versatur is, qui absolute est incontinens, sed in quibus intemperans: neque eo dicitur, quod absolute in hæc affectus sit (idem enim esset incontinentia, quod intemperantia) sed quod hoc modo sit affectus: nam intemperans quidem cupiditatibus servit consilio capto, existimans præsentem jucunditatem sequi semper oportere; incontinens autem non existimat ille quidem, sed sequitur tamen. Si quis igitur dicat, veram opinionem esse, non scientiam, præter quam incontinenter homines vivunt; nihil refert ad eam rem, de qua disputamus: nonnulli enim eorum, qui aliqua de re opinantur, non sunt incerti, neque dubii, sed certo se rem scire existimant. Si igitur ii, qui opinantur, propterea quod leviter et imbecille credunt ita rem esse,

πράξουσιν, οὐθὲν διοίσει ἐπιστήμη δόξης· [r]ἔνιοι γὰρ πιστεύουσιν οὐδὲν ἧττον οἷς δοξάζουσιν, ἢ ἕτεροι οἷς ἐπίστανται· [s]δηλοῖ δὲ Ἡράκλειτος. Ἀλλ᾽ ἐπεὶ διχῶς λέγομεν τὸ ἐπίστασθαι· καὶ γὰρ [t]ἔχων μὲν, οὐ χρώμενος δὲ τῇ ἐπιστήμῃ, καὶ ὁ χρώμενος λέγεται ἐπίστασθαι· διοίσει τὸ, ἔχοντα μὲν, [u]μὴ θεωροῦντα δὲ, [x]πράττειν ἃ μὴ δεῖ [y]πράττειν, τοῦ ἔχοντα καὶ θεωροῦντα· τοῦτο γὰρ δοκεῖ δεινὸν, ἀλλ᾽ οὐκ εἰ μὴ θεωρῶν. Ἔτι [z]ἐπεὶ [a]δύο τρόποι τῶν προτάσεων, ἔχοντα μὲν ἀμφοτέρας, οὐθὲν κωλύει πράττειν παρὰ τὴν ἐπιστήμην· χρώμενον μέντοι τῇ καθόλου, ἀλλὰ μὴ τῇ κατὰ μέρος· [b]πρακτὰ γὰρ καθ᾽ ἕκαστα. Διαφέρει δὲ καὶ τὸ καθόλου· τὸ μὲν γὰρ ἐφ᾽ ἑαυτοῦ,

[r] Id probat Plato in Menone. *Lambin.* [s] Ὁ Ἡράκλειτος ἃ ἐδόξαζεν ᾤετο ἐπίστασθαι ἀκριβῶς, οἷον, ὅτι οὐκ ἔστι κίνησις· καὶ τἄλλα, ὅσα ἐτίθει. *Andronicus.* Vide Magn. Moral. lib. ii. cap. 6. [t] Ὁ ἔχων El. et N C. [u] Μὴ δὲ θεωροῦντα δὲ τοῦ ἔχοντος καὶ θεωροῦντος ἃ μὴ δεῖ πράττειν· τοῦτο γὰρ δοκεῖ N C. Bas. vero legit μὴ θεωροῦντα δὲ, καὶ θεωροῦντα πράττ. et mox omittit πράττειν post ἃ μὴ δεῖ. Camot. quoque inserit comma istud, καὶ τὸ θεωροῦντα: sed retento utroque verbo πράττειν, tollit clausulam, τοῦ ἔχοντα καὶ θεωροῦντα. *Sylb.* [x] Πράττειν abest ab Eliensi. [y] Πράττειν deest C C C. [z] Ἐπειδὴ N C. [a] Disputat hoc loco adversus Platonem, qui negat eum, qui sciat, quidquam repugnans ei, quod sciat, agere posse. *Lamb.* [b] Bas. legit πρακτὰ γὰρ τὰ καθ᾽ ἕκαστα. Itidemque Zuingerus. *Sylb.*

de qua opinantur, facilius quam qui sciunt, contra atque existimant, agent; nihil inter scientiam et opinionem intererit: nonnulli enim non minorem fidem habent iis, quæ opinantur, quam alii iis quæ sciunt: quod declarat Heraclitus. Sed quoniam scire dupliciter dicimus (nam et is, qui scientia præditus est, nec ea utitur: et is, qui utitur, scire dicitur) intererit utrum is, qui cum scientia præditus sit, ea non cernit nec contemplatur animo, quæ scientia comprehendit, an is, qui re ipsa ea, quæ scit, animo contemplatur, agat quæ non sunt agenda: mirum enim hoc videatur, siquis in eorum, quæ scit, cogitatione et contemplatione defixus, non si is, qui id, quod scit, non cernit animo, aliena a scientia agat. Præterea quoniam duo sunt enunciationum genera, nihil prohibet, quo minus is, qui utrumque genus tenet, aliquid præter scientiam agat: dum enunciatione universa et generali utitur, non ea, quæ ad res singulares pertinet: res enim singulares tantum sub actionem veniunt. Jam vero etiam ipsius universi sunt aliquæ differentiæ: aliud est enim, quod in se ipso vertitur; aliud, quod ad rem accommo-

τὸ δ' ἐπὶ τοῦ πράγματός ἐστιν. Οἷον [c]ὅτι παντὶ ἀνθρώπῳ συμφέρει τὰ ξηρὰ, καὶ ὅτι [d]οὗτος ἄνθρωπος· ἢ ὅτι ξηρὸν τὸ τοιόνδε, ἀλλ' εἰ τόδε τοιόνδε, ἢ οὐκ ἔχει, [e]ἢ οὐκ ἐνεργεῖ. Κατά γε [f]δὴ τούτους διοίσει τοὺς τρόπους ἀμήχανον ὅσον· ὥστε [g]δοκεῖν, οὕτω μὲν εἶναι μηθὲν ἄτοπον, ἄλλως δὲ θαυμαστόν. Ἔτι τὸ ἔχειν τὴν ἐπιστήμην ἄλλον τρόπον τῶν νῦν ῥηθέντων ὑπάρχει τοῖς ἀνθρώποις· ἐν τῷ γὰρ ἔχειν μὲν, μὴ χρῆσθαι δὲ, διαφέρουσαν ὁρῶμεν τὴν ἕξιν· ὥστε καὶ ἔχειν πως, καὶ μὴ ἔχειν· οἷον τὸν καθεύδοντα, [h]καὶ μαινόμενον, καὶ οἰνωμένον. Ἀλλὰ μὴν οὕτω διατίθενται [i]οἵγε ἐν τοῖς πάθεσιν ὄντες· θυμοὶ γὰρ, καὶ ἐπιθυμίαι ἀφροδισίων, καὶ ἔνια τῶν τοιούτων, ἐπιδήλως καὶ τὸ σῶμα μεθιστᾶσιν· ἐνίοις δὲ καὶ μανίας ποιοῦσι. Δῆλον οὖν ὅτι ὁμοίως ἔχειν λεκτέον τοὺς ἀκρατεῖς τούτοις. Τὸ δὲ λέγειν τοὺς λόγους τοὺς ἀπὸ τῆς ἐπιστήμης, [k]οὐδὲν σημεῖον·

[c] Ὅτι deest N C. [d] Ὁ οὗτος El. [e] Ἢ deest El. [f] Τὶ scribit C C C. [g] Bas. habet δοκεῖν μὲν οὕτως εἰδέναι, μηθὲν ἄτοπ. *Sylb.* N C. vero οὕτως εἶναι, εἰδέναι μηθ. [h] C C C. Ven. 1. et Bas. habent καὶ μὴ μαινόμ. [i] Οἱ ἐν τοῖς El. [k] Post οὐδὲν σημεῖον N C. et Bas. addunt τοῦ ἐνεργεῖν κατὰ τὴν ἐπιστήμην: quæ tamen non agnoscit Aspasius.

datur. Verbi gratia, omni homini sicca prodesse, et hunc esse hominem: vel quicquid tale sit, siccum esse; verum sitne hoc tale, aut nescit, aut si scit, scientis munere non fungitur. Incredibile igitur est, quantum hæc duo genera inter se differant, adeo ut si quis ita sciens peccet, nihil absurdi sit: sin illo modo, valde mirum. Præterea alio modo fieri potest, ut homines scientia præditi sint, quam quos modos paulo ante exposuimus: nam ejus, qui scientiam habet, neque ea utitur, habitum magnopere discrepare videmus, adeo ut habere quodammodo, et non habere videatur: qualis est is, qui dormit, et furiosus, et vinolentus. Atqui homines aliqua animi perturbatione concitati, ita ut illi, sunt affecti: iræ enim, et rerum venerearum cupiditates, et nonnullæ hujusmodi animi perturbationes, perspicue corpus quoque ipsum immutant: nonnullis hominibus etiam furores immittunt. Nimirum igitur dicendum est similiter atque hos, affectos esse incontinentes. Nec vero si quis rationes et sententias a scientia ductas et profectas pronunciet, satis signi sit eum scientiæ convenienter agere: nam qui his animi perturba-

καὶ γὰρ οἱ ἐν τοῖς πάθεσι τούτοις ὄντες, ἀποδείξεις καὶ ἔπη λέγουσιν Ἐμπεδοκλέους· καὶ οἱ πρῶτον μαθόντες, συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δ' οὔπω· [l]δεῖ γὰρ συμφῦναι· τοῦτο δὲ χρόνου δεῖ. Ὥστε καθάπερ τοὺς ὑποκρινομένους, οὕτως ὑποληπτέον λέγειν καὶ τοὺς ἀκρατευομένους. Ἔτι καὶ ὧδε φυσικῶς ἄν τις [m]ἐπιβλέψειε τὴν αἰτίαν· ἡ μὲν γὰρ καθόλου δόξα, ἡ δ' ἑτέρα περὶ τῶν καθ' ἕκαστά ἐστιν, ὧν αἴσθησις ἤδη κυρία· [n]ὅταν δὲ μία γένηται ἐξ αὐτῶν, ἀνάγκη τὸ συμπερανθὲν, ἔνθα μὲν φάναι τὴν ψυχὴν, [o]ἐν δὲ ταῖς ποιητικαῖς πράττειν εὐθύς. Οἷον, εἰ παντὸς γλυκέος γεύεσθαι δεῖ, τουτὶ δὲ γλυκὺ, ὡς ἕν τι τῶν [p]καθ' ἕκαστον, ἀνάγκη τὸν δυνάμενον, καὶ μὴ κωλυόμενον, ἅμα [q]τούτῳ καὶ πράττειν. Ὅταν οὖν ἡ μὲν καθόλου ἐνῇ, ἡ κωλύουσα γεύεσθαι, ἡ δ', ὅτι

[l] Quidam Codd. habent συμφυῆ εἶναι, quod videtur esse interpretamentum. [m] βλέψει N C. [n] Locus est facilis iis, qui paulum modo in Philosophia exercitati sunt. Aliæ sunt, inquit, opiniones de rebus universis, aliæ de singularibus. Atque illarum aliæ in iis scientiis locum habent, quæ in cognitione positæ sunt: aliæ in iis, quæ ad agendum aut efficiendum sunt utiles. Simul atque igitur in illis dixit aliquis, omnem hominem esse animal, et Socratem esse hominem, necesse est animum assentiri, Socratem esse animal: in his autem, statim, ut quis dixit, quicquid est dulce gustandum est, et hoc est dulce, gustat. Perionius sententiam hujus loci non vidit. *Lambin.* [o] Ego hæc verba, ἐν δὲ ταῖς ποιητικαῖς corrupta esse puto, et legendum, ἐν δὲ ταῖς πρακτοῖς, et ita Argyrop. *Idem.* N C. habet ἐνίοτε δὲ ταῖς. [p] Καθ' ἕκαστα N C. [q] Bas. pro τούτῳ habet τοῦτο.

tionibus æstuant, demonstrationes, et versus Empedoclis recitant: et qui primum didicerunt, sermones illi quidem connectunt, sed nondum intelligunt: oportet enim illa una cum ætate adolescere: cui rei tempore opus est. Quocirca ut histriones, sic existimandi sunt loqui etiam incontinentes. Præterea hoc etiam modo hujus rei causam ex natura spectare licet: nam cum opiniones aliæ sint de rebus universis, aliæ de singularibus, quarum sensus arbiter ac dominus est: necesse est ubi ex duabus una effecta sit, in iis quidem, quæ sunt cognitionis, animum id, quod conclusum est, enunciare, et affirmare; in iis autem, quæ sub actionem veniunt, statim agere. Ut si omne dulce gustandum est: hoc autem est dulce, tanquam unum de singularibus: necesse est, eum, qui possit, quique non prohibeatur, simul atque dictum sit, etiam agere. Cum igitur inest universa opinio, quæ gustare prohibet: secunda,

πᾶν [r]τὸ γλυκὺ, ἡδὺ, τουτὶ δὲ γλυκύ· αὕτη δὲ [s]ἐνεργεῖ· [t]τύχῃ δὲ ἐπιθυμία ἐνοῦσα, ἡ μὲν λέγει φεύγειν τοῦτο, ἡ δὲ ἐπιθυμία ἄγει· κινεῖν γὰρ ἕκαστον δύναται τ῀ μορίων. Ὥστε συμβαίνει ὑπὸ λόγυ πως καὶ δόξης ἀκρατεύεσθαι· ὐκ ἐναντίας δὲ καθ' αὑτὴν, ἀλλὰ κατὰ [u]συμβεβηκός· ἡ γ̀ὸ ἐπιθυμία ἐναντία, ἀλλ' [x]οὐχ ἡ δόξα, τῷ ὀρθῷ λόγῳ. Ὥςε καὶ διὰ τῦτο τὰ θηρία οὐκ ἀκρατῆ, ὅτι ὐκ [y]ἔχει καθόλυ [z]ὑπόληψιν, ἀλλὰ τῶν καθ' ἕκαςα φαντασίαν ϗ μνήμην. Πῶς δὲ λύεται ἡ ἄγνοια, καὶ πάλιν γίνεται ἐπιςήμων ὁ ἀκρατὴς, [a]ὁ αὐτὸς λόγος καὶ περὶ οἰνωμένου καὶ καθεύδοντος, [b]ϗ οὐκ ἴδιος τῦτου τῦ πάθους, ὃν δεῖ παρὰ τῶν φυσιολόγων ἀκούειν. [c]Ἐπεὶ δὲ ἡ τελευταία πρότασις, δόξα τε αἰσθητῦ, ϗ κυρία τῶν πράξεων, ταύτην ἢ οὐκ ἔχει ὁ ἐν τῷ πάθει ὢν, ἢ οὕτως

[r] Τὸ ante γλυκὺ deest El. [s] Ἐνεργῆ C C C. [t] Bas. habet τύχῃ δὲ ἐπιθυμία οὖσα, et post ἡ μὲν inserit οὖν. Cui quoad οὖν adstipulantur Eliensis, C C C. et Ven. 1. N C. etiam pro ἐνοῦσα legit ἰοῦσα. [u] Συμβεβηκῶς C C C. [x] Pro οὐχ ἡ δόξα El. scribit οὐχὶ δόξα. [y] Ἔχει τῶν καθόλου N C. Ven. 1. et Bas. [z] Ὑπόληψιν εἶναι N C. λῆψιν, ἀλλὰ C C C. [a] Καὶ ὁ αὐτὸς El. [b] Καὶ deest N C. [c] Ὅταν δὲ ἐν τῷ πάθει γένηται ὁ ἀκρατὴς, τὴν ἐλάττω πρότασιν, τὴν κυρίαν τῶν πράξεων, τὴν ὅτι τόδε κακὸν, ἢ οὐκ ἔχει οὐδαμῶς οὐδὲ ἐπίσταται, ἢ οὕτως ἔχει ὥσπερ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι ἔπη τινὰ καὶ ἀποδείξεις λέγουσιν. *Cum vero ab affectu suo possidetur incontinens, minorem propositionem, et quæ actionum quasi princeps est et domina, hoc nimirum malum esse, aut non habet omnino nec novit, aut ita, quemadmodum versus ac demonstrationes recitant ebrii.* Andron.

omnia dulcia esse jucunda: et tertia, hoc esse dulce (hæc autem est quæ agit) et inhæret forte cupiditas: opinio quidem illa prima hoc fugere jubet, cupiditas autem alio trahit: potest enim unamquamque animi partem commovere. Ita fit, ut a ratione et opinione quodammodo nascatur incontinentia: non quod opinio per se sit rationi contraria, sed ex eventu: cupiditas enim, non opinio, rectæ rationi adversatur. Quocirca etiam propter hanc rationem, bestiæ non sunt incontinentes: quia non habent rerum universarum existimationem, sed singularium visionem, et memoriam. Quo pacto autem inscientia depulsa scientiam recuperet incontinens, eadem et communis ratio est ebriorum ac dormientium, non hujus perturbationis propria: quæ ab iis audienda est, qui de natura rerum disputant. Quoniam autem ultima enunciatio, ejus, quod sub sensum cadit, opinio est, actionumque domina est atque arbitra; hanc aut non habet is, qui in per-

ἔχει, ὡς οὐκ ἦν [d]τῷ ἔχειν ἐπίστασθαι, ἀλλὰ [e]λέγειν, ὥσπερ ὁ οἰνωμένος, τὰ Ἐμπεδοκλέους· καὶ διὰ τὸ μὴ καθόλου, μηδ' ἐπιστημονικὸν ὁμοίως εἶναι δοκεῖν τῷ καθόλου τὸ ἔσχατον ὅρον· καὶ ἔοικεν ὃ ἐζήτει [f]Σωκράτης συμβαίνειν· οὐ γὰρ [g]τῆς κυρίως εἶναι δοκούσης ἐπιστήμης παρούσης, γίνεται τὸ πάθος· οὐδ' αὐτὴ περιέλκεται διὰ τὸ πάθος, ἀλλὰ τῆς αἰσθητικῆς. Περὶ μὲν [h]οὖν τοῦ εἰδότα, καὶ μή, καὶ πῶς εἰδότα ἐνδέχεται ἀκρατεύεσθαι, τοσαῦτα εἰρήσθω.

ΚΕΦ. δ'.

ΠΟΤΕΡΟΝ δέ ἐστί τις ἁπλῶς ἀκρατής, ἢ πάντες κατὰ μέρος, καὶ εἰ ἔστι, περὶ ποῖά ἐστι, λεκτέον [i]ἐφεξῆς. Ὅτι μὲν οὖν περὶ ἡδονὰς καὶ λύπας εἰσὶν οἵ τ' [k]ἐγκρατεῖς καὶ καρτερικοὶ, καὶ [l]ἀκρατεῖς καὶ μαλακοὶ, φανερόν. Ἐπεὶ δ' ἐστὶ τὰ μὲν ἀναγκαῖα τῶν ποιούντων ἡδονήν, τὰ δ' αἱρετὰ

[d] Alii τό. [e] Τὸ λέγειν Ven. 1. et Bas. [f] Σωκράτης deest N C. [g] Τοῦ κυρίου ἐπιστήμης εἶναι δοκούσης παρούσης El. [h] Οὖν deest N C. [i] Pro ἐφεξῆς N C. habet ἀπ' ἀρχῆς. [k] Ἐγκρατευόμενοι N C. [l] Οἱ ἀκρατεῖς El.

turbatione est, aut certe sic habet, ut eam habere non sit scire, sed vinolentorum more versus Empedoclis recitare: et quoniam non est universus, neque similem vim habet ad scientiam efficiendam terminus ultimus, atque id, quod universum est: non immerito etiam videtur id, quod quærebat Socrates, evenire: non enim tum cum præsto est illa, quæ vere et proprie videtur esse scientia, existit perturbatio; neque ea scientia a perturbatione convellitur, sed cum adest ea, quæ sensu continetur. De eo igitur, qui sciens aut insciens, sit incontinens: et quomodo ut sciens incontinenter vivat, fieri possit, hactenus a nobis dictum sit.

CAP. IV.

DEINCEPS utrum sit aliquis absolute incontinens, an omnes ex parte, et certæ rei sint incontinentes: tum, si quis est absolute incontinens, in quibus versetur, dicendum est. Continentes igitur et patientes, incontinentes et molles in voluptatibus et doloribus versari, perspicuum est. Quoniam autem eorum, quæ voluptatem efficiunt, alia sunt necessaria, alia per se expetenda quidem illa, sed ejusmodi, ut supra

μὲν καθ' αὑτά, ἔχοντα δ' [m] ὑπερβολήν, ἀναγκαῖα [n] μὲν τὰ σωματικά· λέγω δὲ τὰ τοιαῦτα, τά [o] τε περὶ τὴν τροφήν, καὶ τὴν τῶν ἀφροδισίων χρείαν, καὶ τὰ τοιαῦτα τῶν σωματικῶν, περὶ ἃ τὴν ἀκολασίαν ἔθεμεν καὶ τὴν σωφροσύνην· τὰ δ' ἀναγκαῖα μὲν οὔ, αἱρετὰ δὲ καθ' αὑτά· λέγω δὲ οἷον νίκην, τιμήν, πλοῦτον, καὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν [p] καὶ ἡδέων· τοὺς μὲν οὖν πρὸς ταῦτα [q] παρὰ τὸν ὀρθὸν λόγον ὑπερβάλλοντας τὸν [r] ἐν αὐτοῖς, ἁπλῶς μὲν [s] οὐ λέγομεν ἀκρατεῖς, προστιθέντες δὲ τό, χρημάτων ἀκρατεῖς, καὶ κέρδους, καὶ τιμῆς, καὶ θυμοῦ· ἁπλῶς δ' οὔ, ὡς ἑτέρους καὶ καθ' ὁμοιότητα λεγομένους· [t] ὥσπερ ἄνθρωπος, ὁ τὰ Ὀλύμπια [u] νενικηκώς· ἐκείνῳ γὰρ ὁ κοινὸς λόγος τοῦ ἰδίου μικρῷ [x] διέφερεν, ἀλλ' ὅμως ἕτερος ἦν. [y] Σημεῖον δέ· ἡ μὲν [z] γὰρ ἀκρασία ψέγεται,

[m] Τὴν ὑπερβολὴν El. [n] N C. habet δὲ pro μέν. [o] Τε deest N C. [p] Καὶ abest a textu Eliensis; sed apparet in margine. [q] Περὶ N C. [r] Ven. 1. et Bas. habent ἐν ἑαυτοῖς, reciprocum. [s] Οὐ deest N C. male. [t] Καθάπερ διαφέρει ὁ ἄνθρωπος, ὁ τὰ Ὀλύμπια νενικηκώς, τοῦ ἁπλῶς ἀνθρώπου· καὶ γὰρ εἰ καὶ μικρόν ἐστι τὸ διάφορον αὐτῶν, ἀλλ' ὅμως διαφέρει, καὶ ἕτερός ἐστι διὰ τὴν προσθήκην. *Andron.* Alii cum Eustratio suspicantur nescio quem Olympionicem proprio alio nomine caruisse, communique omnium hominum nomine fuisse Ἄνθρωπον, i. e. Hominem, appellatum, quod tamen nomen commune illi proprium esset. [u] Νικῶν El. Sed a manu recenti νενικηκώς. [x] Διαφέρει N C. [y] Hæc pertinent ad continentis et incontinentis differentiam: neque sunt referenda ad similitudinem victoris Olympici, quam proxime interposuit, ut putavit Perionius. *Lamb.* [z] Γὰρ deest N C.

modum expeti possint (sunt autem necessaria ea, quæ ad corpus pertinent, ea, inquam, quæ in victu et rerum venerearum usu posita sunt, cæteraque hujus generis, quæ ad corpus referuntur, in quibus intemperantiam et temperantiam locavimus: quæ vero cum minime necessaria sint, per se tamen sunt optabilia et expetenda sunt: verbi gratia, victoria, honos, divitiæ, taliaque bona et jucunda) eos igitur qui in his præter rectam rationem, quæ in ipsis inest, modum superant, absolute quidem incontinentes non dicimus, sed cum adjectione, pecuniæ incontinentes, lucri, honoris, iræ: absolute autem nequaquam, tanquam ab illis differant, et ex quadam similitudine sic appellentur: ut cuidam Olympiorum victori, Ἄνθρωπος, id est, Homo nomen erat: communis enim illius appellatio ac ratio a propria paulo differebat, sed alia tamen erat. Cujus rei hoc argumentum est, quod

οὐχ ὡς ἁμαρτία μόνον, ἀλλὰ καὶ [a]ὡς κακία τις, ἢ ἁπλῶς οὖσα, ἢ κατά τι μέρος· τούτων δ' οὐθείς. Τῶν δὲ περὶ τὰς σωματικὰς ἀπολαύσεις, περὶ ἃς λέγομεν τὸν σώφρονα καὶ ἀκόλαστον, ὁ μὴ τῷ προαιρεῖσθαι τῶν [b]τε ἡδέων διώκων τὰς ὑπερβολὰς, καὶ τῶν λυπηρῶν φεύγων, πείνης, [c]καὶ δίψης, καὶ ἀλέας, καὶ ψύχους, καὶ πάντων τῶν περὶ ἁφὴν καὶ γεῦσιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν διάνοιαν, ἀκρατὴς λέγεται, οὐ κατὰ [d]πρόσθεσιν, ὅτι περὶ [e]τάδε, καθάπερ ὀργῆς, ἀλλ' ἁπλῶς μόνον. Σημεῖον δέ· καὶ γὰρ [f]μαλακοὶ λέγονται [g]περὶ ταύτας, περὶ ἐκείνων δὲ οὐδεμίαν· καὶ διὰ τοῦτ' εἰς ταὐτὸ [h]τὸν ἀκρατῆ καὶ ἀκόλαστον τίθεμεν, καὶ ἐγκρατῆ καὶ σώφρονα, ἀλλ' οὐκ ἐκείνων οὐδένα, [i]διὰ τὸ περὶ τὰς αὐτάς πως ἡδονὰς καὶ λύπας εἶναι. Οἱ δ' εἰσὶ μὲν περὶ ταὐτὰ, ἀλλ' οὐχ ὡσαύτως εἰσίν· ἀλλ' οἱ μὲν προαιροῦνται, οἱ δ' οὐ προαι-

[a] Ὡς deest Ven. 1. [b] Δὶ pro τε habet N C. sed τε deest Ven. 1. [c] Καὶ deest N C. [d] Προαίρεσιν N C. [e] Ταδὶ N C. [f] Aspasius ἀκόλαστοι. Itemque Argyrop. et Aretinus; melius tamen μαλακοί. *Mur.* [g] Περὶ αὐτὰς N C. Ea autem, quorum nimium ferre non possunt *molles*, sunt fames, sitis, frigus et similia: illa, a quorum nimio qui vincuntur, *molles* non dicuntur, sunt pecunia, honos, ira, et istiusmodi. *Lamb.* [h] Τὸν ἀκόλαστον τίθεμεν El. [i] Δὴ C C C.

incontinentia vituperatur non solum ut peccatum, sed etiam ut vitium quoddam aut simpliciter et absolute, aut aliqua ex parte: horum autem, quos proxime posui, incontinentium nemo sic vituperatur. Eorum vero, qui in corporis voluptatibus perfruendis volutantur, iis, in quibus temperantem atque intemperantem versari dicimus: qui non eo quod id consilii ceperit, rerum jucundarum nimium sequitur, et rerum molestarum nimium fugit, ut famis, sitis, caloris, frigoris, earumque omnium, quæ ad tactum, gustatumque pertinent, sed præter consilium, et cogitationem: is incontinens dicitur, non cum adjectione hujus vel illius rei, ut iræ, sed simpliciter tantum. Cujus rei hoc argumentum est, quod qui harum rerum nimium ferre non possunt, molles dicuntur, non qui ab illarum nimio vincuntur: atque ob hanc causam in eadem re incontinentem et intemperantem locamus, itemque continentem et temperantem, quia in eisdem quodammodo voluptatibus et doloribus versantur: sed illorum neminem. Verum quamvis hi in iisdem versentur, non eodem modo tamen: sed intemperantes consilium ce-

ροῦνται. Διὸ μᾶλλον ἀκόλαστον ἂν εἴποιμεν, ὅστις [k]μηδ' ἐπιθυμῶν, ἢ ἠρέμα, διώκει τὰς ὑπερβολὰς, καὶ φεύγει μετρίας λύπας, ἢ [l]τοῦτον, ὅστις διὰ τὸ ἐπιθυμεῖν σφόδρα· τί γὰρ ἂν [m]ἐκεῖνος ποιήσειεν, εἰ προσγένοιτο ἐπιθυμία νεανικὴ, καὶ περὶ τὰς τῶν ἀναγκαίων ἐνδείας λύπη ἰσχυρά; [n]Ἐπεὶ δὲ τῶν ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν, αἱ μέν εἰσι [o]τῷ γένει καλῶν καὶ σπουδαίων· τῶν γὰρ ἡδέων ἔνια φύσει αἱρετὰ, τὰ δ' ἐναντία τούτων, τὰ δὲ μεταξὺ, καθάπερ [p]διείλομεν πρότερον, [q]οἷον χρήματα, καὶ κέρδος, καὶ νίκη, καὶ τιμή· πρὸς ἅπαντα δὴ καὶ τὰ τοιαῦτα, καὶ τὰ μεταξὺ, οὐ τῷ πάσχειν [r]καὶ ἐπιθυμεῖν καὶ φιλεῖν ψέγονται, ἀλλὰ τῷ πῶς, καὶ ὑπερβάλλειν. Διὸ, ὅσοι μὲν παρὰ τὸν λόγον [s]ἢ κρατοῦνται, ἢ διώκουσι τῶν φύσει τι καλῶν [t]καὶ ἀγαθῶν, οἷον [u]οἱ περὶ τιμὴν, καὶ μαλ-

[k] Μὴ ἐπιθυμῶν sine δὲ Bas. [l] N C. et quidam editi pro τοῦτον habent τοιοῦτον. [m] Ἐκεῖνα N C. qui paulo inferius ἢ περὶ pro καὶ περί. [n] Lego ἔτι δὲ, ne duobus modis pendeat oratio: et quod nihil addatur ad illud ἐπεὶ, et quod nihil ad illud αἱ μὲν; legendo autem ἔτι, saltem alterum incommodum tollitur. *Muret.* [o] Τῶν γένει El. et Bas. [p] Διείλομαι N C. [q] Οἷς χρήματα δὲ καὶ N C. Δὲ etiam retinent El. et C C C. [r] Καὶ ἐπιθυμεῖν desunt El. [s] Pro ἢ κρατοῦνται El. in margine legit ἀκρατοῦνται. [t] Καὶ deest El. N C. vero habet ἢ ἀγαθῶν. Et infra καὶ περὶ pro ἢ περὶ τέκνα. [u] Οἱ abest a N C.

perunt ita vivendi, incontinentes non item. Itaque potius eum intemperantem appellaverimus, qui ne cupiens quidem, aut levi certe cupiditate affectus, immoderatas voluptates persequitur, et mediocres dolores fugit, quam eum, qui idem agat magnis et indomitis cupiditatibus incensus: quid enim faciat ille, si acris et vehemens aliqua cupiditas accedat, et ob rerum necessariarum penuriam ingens et vehemens dolor excruciet? Quoniam autem cupiditatum et voluptatum aliæ sunt genere honestæ et bonæ (nam jucundorum aliqua sunt natura expetenda, alia his contraria, alia his interjecta, quemadmodum supra partiti sumus, ut pecunia, lucrum, victoria, honor) in his igitur omnibus, cæterisque ejusdem generis, et mediis, non quod afficiantur, et cupiant, et ament homines, vituperantur: sed quod hoc modo cupiant, vel ament, et quod modum superent. Quocirca qui secus ac monet ratio, aut vincuntur, aut persequuntur aliquod natura bonum, atque honestum, ut, qui nimio honoris, aut liberorum, et parentum amore studioque ducuntur (hæc e-

λοι ἢ δεῖ σπουδάζοντες, ἢ περὶ τέκνα καὶ γονεῖς· καὶ γὰρ ταῦτα τῶν ἀγαθῶν, καὶ ἐπαινοῦνται οἱ περὶ ταῦτα σπουδάζοντες· ἀλλ' ὅμως ἐστί τις ὑπερβολὴ καὶ ἐν τούτοις, εἴ τις [x]ὥσπερ ἡ Νιόβη μάχοιτο [y]καὶ πρὸς τοὺς θεοὺς, ἢ ὥσπερ Σάτυρος ὁ Φιλοπάτωρ ἐπικαλούμενος περὶ τὸν πατέρα, λίαν γὰρ ἐδόκει μωραίνειν. Μοχθηρία μὲν οὖν οὐδεμία [z]περὶ ταῦτ' ἐστὶ, διὰ τὸ εἰρημένον, ὅτι φύσει τῶν αἱρετῶν ἕκαστόν ἐστι δι' αὑτό· φαῦλαι δὲ καὶ φευκταὶ αὐτῶν εἰσιν αἱ ὑπερβολαί. Ὁμοίως δὲ, οὐδὲ [a]ἀκρασία· ἡ γὰρ ἀκρασία, οὐ μόνον φευκτὸν, ἀλλὰ καὶ [b]τῶν ψεκτῶν ἐστι. Δι' ὁμοιότητα δὲ τοῦ πάθους προσεπιθέντες [c]τὴν ἀκρασίαν, [d]περὶ ἑκάστου λέγουσιν, οἷον κακὸν ἰατρὸν, καὶ κακὸν ὑποκριτὴν, ὃν ἁπλῶς οὐκ ἂν εἴποιεν κακόν. [e]Ὥσπερ οὐδ' ἐνταῦθα, διὰ τὸ μὴ κακίαν εἶναι ἑκάστην αὐ-

[x] Ὡς N C. Τοῦ γὰρ φιλεῖν τοὺς παῖδας, φύσει ὄντος ἀγαθοῦ, φεύγειν δεῖ τὴν ὑπερβολὴν, καὶ μὴ καθάπερ ἡ Νιόβη, ἣ καὶ πρὸς τοὺς θεοὺς ὑπὲρ τῶν τέκνων ἐμάχετο, ἢ ὁ Σάτυρος ὡς θεὸν ἐπικαλούμενος τὸν πατέρα. *Andron.* [y] Καὶ deest Bas. ut et MSS. nostris. [z] Camot. habet περὶ ταῦτ' ἐστι. [a] Verba inter ἀκρασία et μόνον desunt N C. [b] Non dicit ipsam ἀκρασίαν esse ex numero τῶν ψεκτῶν, ut Argyr. Lamb. et alii putant, et Græcus etiam Interpres, sed referri πρὸς τὰ ψεκτὰ, tanquam ad objectum, ut rectissime D. Thomas. *Muret.* [c] Πρὸς τὴν ἀκρασίαν legit Vetus Interp. et omnino ita legendum est; nam dicunt primo ἀκρασίαν, deinde addunt περὶ τί. *Idem.* [d] Περὶ ἕκαστον N C. et El. [e] Bas. Camot. C C C. et N C. post ὥσπερ inserunt οὖν.

nim quoque in numero bonorum habenda sunt, et qui hæc studiose colunt atque expetunt, etiam laudantur) verum tamen est etiam in his aliquod nimium, si quis, ut Niobe, etiam cum diis pugnet, aut ut Satyrus ille, qui patris amans vocatus est, immodico patris amore afficiatur: valde enim desipere videbatur. Vitium igitur in his nullum est, propterea quod, ut dixi, unumquidque eorum per se expetendum est natura: sed eorum nimiæ atque immoderatæ cupiditates malæ sunt, ac fugiendæ. Similiter autem nulla incontinentia: incontinentia enim non solum fugienda res est, verum etiam in his rebus numeratur, quæ sunt vituperabiles. Propter similitudinem autem perturbationis, adjectione præterea facta rei, cujus incontinentia est, ita cujusque rei incontinentiam dicere solent: quemadmodum malum medicum, et malum histrionem, quem absolute nemo malum dixerit. Ut igitur hic non dicuntur simpliciter mali, quia non est, vi-

τῶν, ἀλλὰ τῷ ἀνάλογον [f]ὁμοίαν· οὕτω δηλονότι κἀκεῖ ὑποληπτέον [g]μόνον ἀκρασίαν καὶ ἐγκράτειαν εἶναι, ἥτις ἐςὶ περὶ τὰ αὐτὰ τῇ σωφροσύνῃ καὶ [h]τῇ ἀκολασίᾳ. Περὶ δὲ [i]θυμὸν, καθ' ὁμοιότητα [k]λέγομεν· διὸ καὶ προστιθέντες ἀκρατῆ θυμοῦ, ὥσπερ τιμῆς καὶ κέρδους φαμέν.

ΚΕΦ. ε΄.

ΕΠΕΙ δ' ἐστὶν ἔνια μὲν ἡδέα φύσει, καὶ τούτων τὰ μὲν ἁπλῶς, τὰ δὲ κατὰ γένη καὶ ζώων καὶ ἀνθρώπων· τὰ δ' οὐκ ἔστιν, ἀλλὰ τὰ μὲν διὰ πηρώσεις, τὰ δὲ δι' [l]ἔθη [m]γίνεται, τὰ [n]δὲ διὰ μοχθηρὰς φύσεις· ἔστι καὶ περὶ τούτων ἕκαστα παραπλησίας ἰδεῖν ἕξεις. Λέγω δὲ τὰς θηριώδεις, οἷον τὴν [o]ἄνθρωπον, ἣν λέγουσι τὰς κυούσας ἀνασχίζουσαν, τὰ παιδία κατεσθίειν· ἢ οἵοις φασὶ χαίρειν ἐνίους τῶν [p]ἀπηγριωμένων περὶ τὸν Πόντον, τοὺς μὲν ὠμοῖς, τοὺς δὲ κρέ-

[f] Illud ὁμοίαν Aspasius indicat esse glossam vocis ἀνάλογον. *Mur.* [g] Μόνην N C. [h] Τῇ deest El. [i] Θυμοῦ Ven. 1. et Bas. [k] Λεγομένην legendum videtur. *Mur.* [l] Ἤθη El. [m] Bas. habet γίνονται, pluraliter. [n] Δὴ N C. [o] Lamiam nescio quam indigitat, si fides Aspasio; cujus hæc sunt verba: ἡ Λαμία γυνή τις ἦν περὶ τὸν Πόντον, ἥτις διότι ἀπώλετο τὰ οἰκεῖα τέκνα, τὰ τῶν ἄλλων γυναικῶν βρέφη ἤσθιεν. Camotius post τὴν ἄνθρωπον, addit καλουμένην Λαμίαν περὶ τὸν Πόντον: quod est glossema. [p] Quidam codd. post ἀπηγριωμένων addunt μερῶν,

tium medici, aut histrionis, sed proportione quadam vitio simile: sic nimirum et illic existimare debemus duntaxat eam esse incontinentiam, et continentiam, quæ in iisdem atque temperantia et intemperantia versatur. In ira autem ex similitudine quadam aliquem dicimus incontinentem: itaque etiam cum adjectione dicimus, iræ incontinentem, quemadmodum honoris et lucri.

CAP. V.

SED quoniam aliqua sunt jucunda natura, eorumque alia simpliciter et absolute, alia diversis animantium atque hominum generibus jucunda sunt: alia non sunt jucunda natura, sed partim propter debilitationes corporum, partim propter consuetudinem, partim propter vitiosas naturas fiunt jucunda: licet etiam in his singulis consimiles habitus animadvertere. Voco autem immanes et ferinos habitus, qualis erat ejus mulieris, quam dicunt gravidis mulieribus apertis ac persectis, pueros devorare solitam: aut qualibus rebus efferatos quosdam circa Pontum populos delectari fe-

ασιν [q] ἀνθρώπων, τοὺς δὲ τὰ παιδία δανείζειν ἀλλήλοις εἰς εὐωχίαν· ἢ τὸ [r] περὶ Φάλαριν λεγόμενον. Αὗται μὲν θηριώδεις. Αἱ δὲ διά τε νόσους γίνονται καὶ [s] μανίαν ἐνίοις, [t] ὥσπερ ὁ τὴν μητέρα καθιερεύσας καὶ φαγὼν, καὶ ὁ τοῦ συνδούλου τὸ ἧπαρ. Αἱ δὲ νοσηματώδεις, ἢ ἐξ ἔθους, οἷον [u] αἱ τῶν τριχῶν τίλσεις, καὶ ὀνύχων τρώξεις, ἔτι δ' ἀνθράκων καὶ γῆς· πρὸς δὲ τούτοις, ἡ τῶν ἀφροδισίων τοῖς ἄῤῥεσι. Τοῖς μὲν γὰρ φύσει, τοῖς δ' ἐξ ἔθους συμβαίνουσιν· οἷον τοῖς ἐθιζομένοις ἐκ παίδων. Ὅσοις μὲν οὖν [x] φύσις αἰτία, τούτους μὲν [y] οὐδ' ἂν εἷς εἴποι ἀκρατεῖς· ὥσπερ οὐδὲ τὰς γυναῖκας, ὅτι οὐκ ὀπυίουσι, ἀλλ' ὀπυίονται· ὡσαύτως [z] δὲ καὶ τοῖς νοσηματωδῶς ἔχουσι [a] δι' ἔθος. Τὸ μὲν οὖν ἔχειν ἕκαστα τούτων, ἔξω τῶν ὅρων ἐστὶ τῆς κακίας, καθάπερ [b] καὶ ἡ θηριότης. Τὸ δὲ ἔχοντα κρατεῖν ἢ κρατεῖσθαι, οὐχ ἡ ἁπλῆ ἀκρασία, ἀλλ' ἡ

sed aptius ἐθνῶν, vel βαρβάρων, et quidem post περὶ τὸν Πόντον· ut infra: ἔνια γένη τῶν πόῤῥω βαρβάρων. *Sylb.* [q] Ἀνδρῶν El. ἀνθρωπείοις C C C. et alii. [r] Ὁ δὲ Φάλαρις λέγεται φαγεῖν τὸν ἑαυτοῦ παῖδα. *Aspasius.* [s] Μανίας N C. διὰ μανίαν El. [t] Ὁ Ξέρξης ὁ τῶν Περσῶν βασιλεὺς μανεὶς, ἔφαγε τὴν ἑαυτοῦ μητέρα κρεουργήσας. *Aspasius.* Sed quo auctore incertum. [u] Vide Magn. Mor. lib. ii. cap. 6. [x] Ἡ φύσις El. [y] Οὐδ' ἂν εἴποιεν ἀκρατ. N C. [z] Δὲ abest ab El. [a] Δι' ἔθους Bas. [b] Καὶ deest C C C.

runt, alios scilicet crudis, alios humanis carnibus: alios, liberos suos inter se mutuos in epulas dare: aut quale est id quod vulgo de Phalaride dicitur. Ferini igitur sunt hi habitus. Alii autem propter morbos et furores nonnullis innascuntur: qualis ille fuit, qui matrem immolavit et comedit, et qui conservi jecur. Alii vel ex morbo, vel ex consuetudine proficiscuntur, ut pilorum evulsiones, et unguium corrosiones, carbonum quoque et terræ: præterea venereorum usus cum masculis. Namque hæ cupiditates aliis naturales sunt, aliis ex consuetudine nascuntur, ut qui a pueris consueverunt. Atque eorum quidem, quibus natura causam præbet, incontinentem quemquam nemo dixerit: quemadmodum neque mulieres, quod in complexu venereo non agant, sed patiantur: eademque ratione neque eos, qui ex consuetudine vitium morbo simile contraxerunt. His igitur singulis animi malis tentari, extra vitii terminos ac fines egredi est, quemadmodum et feritate ad belluarum naturam proxime accedere. His autem tentatum atque affectum, superiorem

καθ' ὁμοιότητα, [c] καθάπερ καὶ τὸν περὶ τοὺς θυμοὺς ἔχοντα τοῦτον τὸν τρόπον τοῦ πάθους, ἀκρατῆ δ' οὐ λεκτέον· πᾶσα γὰρ ὑπερβάλλουσα κακία, κ̀ ἀφροσύνη, καὶ δειλία, κ̀ ἀκολασία, καὶ χαλεπότης, αἱ μὲν θηριώδεις, αἱ δὲ νοσηματώδεις εἰσίν· ὁ μὲν γὰρ φύσει τοιοῦτος, [d] οἷος δεδιέναι πάντα, κἂν ψοφήσῃ μῦς, θηριώδη δειλίαν δειλός· ὁ δὲ τὴν γαλῆν ἐδεδίει διὰ νόσον. Καὶ τῶν ἀφρόνων οἱ μὲν ἐκ φύσεως [e] ἀλόγιστοι, καὶ μόνον τῇ αἰσθήσει ζῶντες, θηριώδεις, [f] ὥσπερ ἔνια γένη τῶν πόῤῥω βαρβάρων· οἱ δὲ διὰ νόσους, οἷον τὰς ἐπιληπτικὰς, ἢ μανίας, νοσηματώδεις. Τούτων δ' ἐστὶ μὲν ἔχειν τινὰ ἐνίοτε μόνον, μὴ κρατεῖσθαι δέ· λέγω δὲ, οἷον εἰ Φάλαρις κατεῖχεν, ἐπιθυμῶν παιδίου φαγεῖν, ἢ πρὸς ἀφρο-

[c] Hic locus in omnibus Libris corruptus est, et sic emendandus: Καθάπερ καὶ τὸν περὶ τοὺς θυμοὺς ἔχοντα τοῦτον τὸν τρόπον, τούτου τοῦ πάθους ἀκρατῆ, ἀκρατῆ δ' οὐ λεκτέον. Natum est mendum ex voce ἀκρατῆ, quam cum Librarii bis scriptam viderent, putarunt alteram supervacaneam esse, atque idcirco sustulerunt. Illud, τούτου, præterea omiserunt, vel consulto, vel inconsulto, propter similitudinem trium syllabarum deinceps insequentium τούτου τοῦ. *Lamb.* [d] Qualis fuit Anthemon quidam, qui non nisi galea tectus in publicum prodire solebat, metuens ne cœlum rueret, teste Heraclide Pontico. *Zuing.* [e] Ἀλόγιστα καὶ C C C. [f] Psyllorum nota est stultitia, qui armis contra Austrum, regioni suæ infestum, profecti, arenis obruti fuere. *Herodotus* lib. iv.

esse aut inferiorem, non simplex continentia aut incontinentia est, sed ex similitudine: quemadmodum et eum, qui in ira hoc modo affectus est, ut vincatur, hujus perturbationis incontinentem, incontinentem autem dicere non debemus: omnis enim modum superans vitiositas, et amentia, et timiditas, et intemperantia, et sævitia, vel ferina est, vel morbosa: nam qui natura talis est, ut omnia extimescat, etiamsi mus strídorem ediderit, ferina quadam timiditate timidus est: alius erat, qui felem morbo affectus metuebat. Et ex amentium numero, ii, qui natura stulti et inconsiderati sunt, sensuque duntaxat vivunt, ferarum sunt similes: quemadmodum nonnullæ longinquorum barbarorum nationes: qui vero propter morbos veluti comitiales, vel furores, ii sunt morbosi. Nihil obstat autem, quo minus aliquis interdum his vitiis affectus sit tantum, sed non vincatur: hoc dico: ut si Phalaris cum pusionem concupiscat vel ad edendum, vel ad potiendum absurda rerum venerearum voluptate, se cohibeat et contineat. Neque vero quicquam obstat, quo mi-

διοσίων ἄτοπον ἡδονήν. Ἔστι δὲ καὶ κρατεῖσθαι, μὴ μόνον ἔχειν. Ὥσπερ οὖν καὶ μοχθηρία, ἡ μὲν κατ' ἄνθρωπον ἁπλῶς λέγεται μοχθηρία· ἡ δὲ κατὰ πρόσθεσιν, ὅτι θηριώδης ἢ νοσηματώδης, ἁπλῶς δ' οὔ· τὸν [g] αὐτὸν τρόπον δῆλον ὅτι καὶ ἀκρασία ἐστὶν, ἡ μὲν θηριώδης, ἡ δὲ νοσηματώδης· ἁπλῶς δὲ ἡ κατὰ τὴν ἀνθρωπικὴν ἀκολασίαν μόνη. Ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτειά ἐστι μόνον περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη, καὶ ὅτι περὶ τὰ ἄλλα ἐστὶν ἄλλο εἶδος ἀκρασίας, λεγόμενον κατὰ μεταφορὰν, καὶ οὐχ ἁπλῶς, δῆλον.

ΚΕΦ. ϛ'.

ΟΤΙ δὲ καὶ ἧττον αἰσχρὰ ἀκρασία ἡ τοῦ θυμοῦ, ἢ ἡ τῶν ἐπιθυμιῶν, θεωρήσωμεν. Ἔοικε γὰρ ὁ θυμὸς ἀκούειν [h] μέν τι τοῦ λόγου, παρακούειν δέ· καθάπερ οἱ [i] ταχεῖς τῶν διακόνων, οἳ πρὶν ἀκοῦσαι πᾶν τὸ λεγόμενον, ἐκθέουσιν, εἶτα ἁμαρτάνουσι τῆς [k] πράξεως· καὶ οἱ κύνες, πρὶν σκέψασθαι

[g] Αὐτὸν δὴ τρόπον N C. et Bas. [h] Γρ. μέντοι. [i] Nota est vox Lartis Tolumnii Veientium regis in talorum jactu, *occide*: qua cum ille ludens uteretur, Satellitum quidam ex improviso supervenientem Romanum legatum, tanquam a rege jussus, interfecit. *Zuing.* [k] P. Victorius testatur se in quibusdam codicibus reperisse προστάξεως, i. e. *a mandato aut præscripto aberrant*, quam scripturam non improbo. Huic lectioni adstipulatur etiam Andron.

nus etiam vincatur, non solum affectus vitio sit. Quemadmodum igitur et improbitas alia absolute dicitur improbitas ea, quæ in hominem cadit: alia cum adjectione, quia improbitas ferina, aut morbosa, non absolute: sic nimirum et incontinentia est alia ferina et immanis, alia morbosa: simpliciter autem et absolute ea sola, quæ humanæ intemperantiæ convenit. Incontinentiam igitur, et continentiam in eisdem versari, in quibus intemperantia et temperantia: in aliisque aliud incontinentiæ genus situm esse, quod ex translatione nominis, non absolute dicitur, perspicuum est.

CAP. VI.

NUNC autem et iræ, quam cupiditatum, minus esse turpem incontinentiam cognoscamus. Videtur enim ira illa quidem aliqua ex parte rationem, sed negligenter et confuse audire, ministrorum præproperorum more, qui priusquam id omne, quod dicitur, audierint, exiliunt, deinde ab actione aberrant: et ut canes, qui priusquam at-

εἰ φίλος, ἂν μόνον ψοφήσῃ, ὑλακτοῦσιν· [l]οὕτως ὁ θυμὸς, διὰ θερμότητα καὶ ταχύτητα τῆς φύσεως, ἀκούσας μὲν, οὐκ ἐπίταγμα δὲ ἀκούσας, ὁρμᾷ πρὸς τὴν τιμωρίαν. Ὁ μὲν γὰρ λόγος ἢ ἡ φαντασία, ὅτι ὕβρις ἢ ὀλιγωρία, ἐδήλωσεν· ὁ δ', ὥσπερ συλλογισάμενος ὅτι δεῖ τῷ τοιούτῳ πολεμεῖν, χαλεπαίνει εὐθύς. Ἡ δ' ἐπιθυμία, ἐὰν μόνον εἴπῃ ὅτι ἡδὺ, ὁ λόγος ἢ ἡ αἴσθησις, ὁρμᾷ πρὸς τὴν ἀπόλαυσιν. Ὥσθ' ὁ μὲν θυμὸς ἀκολουθεῖ τῷ λόγῳ πως, ἡ δ' ἐπιθυμία οὔ· αἰσχίων [m]οὖν· ὁ μὲν [n]γὰρ τοῦ θυμοῦ ἀκρατὴς, τοῦ λόγου πως ἡττᾶται· ὁ δὲ τῆς ἐπιθυμίας, [o]καὶ οὐ τοῦ λόγου. Ἔτι, ταῖς φυσικαῖς συγγνώμη [p]μᾶλλον ἀκολουθεῖν ὀρέξεσιν, ἐπεὶ καὶ ἐπιθυμίαις ταῖς τοιαύταις μᾶλλον, ὅσαι κοιναὶ πᾶσι, καὶ ἐφ' ὅσον κοιναί. [q]Ὁ δὲ θυμὸς φυσικώτερον, καὶ ἡ χαλεπότης τῶν ἐπιθυμιῶν, τῶν τῆς ὑπερβολῆς καὶ τῶν μὴ ἀναγκαίων· ὥσπερ [r]ὁ ἀπολογούμενος ὅτι τὸν πατέρα τύπτοι· καὶ γὰρ οὗτος,

[l] Οὕτως καὶ θυμὸς N C. [m] Οὐδ' ἂν El. [n] Bas. omittit γὰρ post ὁ μέν. γὰρ τοῦ desunt C C C. [o] Καὶ non agnoscit El. [p] C C C. et quidam editi omittunt μᾶλλον. [q] Ὁ δὲ θυμὸς φυσικώτερον καὶ χαλεπώτερον Vet. Interp. Felicianus autem ὁ δὲ θυμὸς καὶ ἡ χαλεπότης φυσικώτερον τῶν ἐπιθυμιῶν. [r] Ex Fabula aliqua hæc desumpta esse videntur.

tenderint, utrum sit amicus necne, si quis modo fores pulsaverit, aut strepitum aliquem ediderit, latrant: sic ira propter fervorem et celerem naturæ motum, audit illa quidem rationem, sed imperio non exaudito ad pœnas repetendas omni impetu fertur. Ratio enim, aut visio contumeliam vel contemptum in facto inesse indicavit: illa proinde ac si ratiocinando concluserit, huic tali, qui contumelia affecerit vel contempserit, bellum inferre oportere, continuo sævit atque excandescit. Cupiditas autem, si ratio depravata, vel sensus illud esse jucundum dixerit modo, ad perfruendam voluptatem incitatur. Ita rationem ira quodammodo sequitur; cupiditas vero minime: hæc igitur turpior illa est: nam iræ incontinens a ratione quodammodo superatur; ille autem alter a cupiditate, non a ratione. Præterea ignoscendum ei magis est, qui naturales appetitiones sequitur: nam et iis cupiditatibus danda venia est, quæ sunt omnium communes, et quatenus sunt communes. Ira autem et sævitia magis naturalis est, quam cupiditates immoderatæ, minimeque necessariæ:

ἔφη, τὸν ἑαυτοῦ, κἀκεῖνος τὸν ἄνωθεν· καὶ τὸ παιδίον δείξας, καὶ οὗτος ἐμὲ, ἔφη, ὅταν ἀνὴρ γένηται· συγγενὲς γὰρ ἡμῖν. Καὶ ὁ ἑλκόμενος ὑπὸ τοῦ υἱοῦ, παύεσθαι ἐκέλευε πρὸς ταῖς [s] θύραις· καὶ γὰρ αὐτὸς ἑλκύσαι τὸν πατέρα μέχρις ἐνταῦθα. Ἔτι, ἀδικώτεροι οἱ ἐπιβουλότεροι. Ὁ μὲν οὖν θυμώδης, οὐκ ἐπίβουλος, οὐδ' ὁ θυμὸς, ἀλλὰ φανερός· ἡ δ' ἐπιθυμία, [t] καθάπερ τὴν Ἀφροδίτην φασὶ,

Δολοπλόκου γὰρ Κυπρογενοῦς·

καὶ Ὅμηρος,

——— [u] τὸν κεστὸν ἱμάντα

Πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονέοντος.

Ὥστ' εἴ περ ἀδικωτέρα, καὶ αἰσχίων ἡ ἀκρασία αὕτη, τῆς περὶ τὸν θυμόν ἐστι, καὶ ἁπλῶς ἀκρασία, καὶ κακία πως.

[s] Non ad fores judicii ut vult Aspas. sed potius domus. [t] Ὅθεν Ὅμηρός φησι τὴν Ἀφροδίτην δολοπλόκον, καὶ κεστὸν ἱμάντα διὰ τοῦτο τῇ Ἀφροδίτῃ ἀνατιθέασι, τὸ ποικίλον ὑποφαίνοντες τῆς ἐπιθυμίας. *Andron.* [u] Initium solummodo et finem ponit loci cujusdam Homerici : reliqua tanquam nota subticet. Loquitur ibi Poeta de Venere Cestum exuente, eumque Junoni ad Jovem conciliandum dante :

Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
Ποικίλον, ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο.
Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς,
Πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων.

Iliad. ξ. ver. 214.

ut ille, qui hac defensione, cur patrem verberaret, utebatur : nam iste (inquit) suum verberavit, et ille suum, et hic quoque me, vir factus, verberabit, parvulo filio suo demonstrato : est enim hoc nobis cognatum. Et qui a filio trahebatur, trahendi finem facere jubebat ad fores : nam a se quoque usque ad hunc locum, patrem suum tractum esse. Præterea quo quisque occultior et insidiosior est, eo est injustior. At homo iracundus minime est insidiator : neque ira ipsa, immo vero aperta : cupiditas autem fallax et insidiosa, quemadmodum aiunt esse Venerem,

Nectentisque dolos Veneris :

et, ut ait Homerus,

Dixit : tum niveo cestum de pectore solvit,
In quo sermo inerat blandus qui mente sagaci
Quamvis prudentes spoliat.

Quare si injustior, ergo et turpior hæc incontinentia est, quam quæ in ira versatur : estque hæc absolute incontinentia, et quodammodo vitiositas. Præterea nemo dolens

Ἔτι, οὐδεὶς [x] ὑβρίζει λυπούμενος, ὁ δ' ὀργῇ ποιῶν πᾶς, ποιεῖ λυπούμενος· ὁ δ' ὑβρίζων, μεθ' ἡδονῆς. Εἰ οὖν οἷς ὀργίζεσθαι μάλιστα δίκαιον, ταῦτα ἀδικώτερα, καὶ ἡ ἀκρασία ἡ δι' ἐπιθυμίαν· [y] οὐ γάρ ἐστιν ἐν θυμῷ ὕβρις. Ὡς μὲν τοίνυν [z] αἰσχίων ἡ περὶ ἐπιθυμίας ἀκρασία, τῆς περὶ τὸν θυμὸν, καὶ ὅτι ἔστιν ἡ ἐγκράτεια καὶ ἀκρασία περὶ ἐπιθυμίας καὶ ἡδονὰς σωματικὰς, δῆλον. Αὐτῶν δὲ τούτων τὰς διαφορὰς ληπτέον· ὥσπερ γὰρ εἴρηται κατ' ἀρχὰς, αἱ μὲν ἀνθρωπικαί εἰσι καὶ φυσικαὶ, καὶ τῷ γένει, καὶ τῷ μεγέθει· αἱ δὲ θηριώδεις· αἱ δὲ καὶ διὰ πηρώσεις, καὶ νοσήματα· τούτων δὲ περὶ τὰς πρώτας σωφροσύνη καὶ ἡ [a] ἀκολασία μόνον ἐστί. Διὸ καὶ τὰ θηρία οὔτε σώφρονα, οὔτε ἀκόλαστα λέγομεν, ἀλλ' ἢ κατὰ μεταφορὰν, καὶ εἴ τινι ὅλως ἄλλο πρὸς ἄλλο διαφέρει γένος τῶν ζώων [b] ὕβρει καὶ [c] σιναμωρίᾳ, καὶ τῷ παμφάγον εἶναι· οὐ γὰρ ἔχει

[x] Ὑβρίζειν non solum id valet, quod Latini *contumelia afficere* dicunt, sed etiam *stuprum inferre*, ut interpretati sumus. *Lamb.* Sed prior significatio huic loco magis accommodata videtur. [y] Nullus enim irascitur eo animo, ut injuriam inferat, sed potius ut injuriam illatam propulset: et sic hæc verba sunt intelligenda. *Zuing.* [z] Αἰσχίων deest Ven. 1. male. [a] Γρ. Ἀκρασία. [b] Ὕβρει deest C C C. [c] Aptissimum vocabulum, et Brutorum malitiæ convenientissimum. Nam cum ratione careant, μωραίνειν dici possunt, ὅτι μὴ ὁρῶσι τὸ τέλος· et

stuprum infert alteri: at qui ira incitatus aliquid facit, dolens facit: qui stuprum infert, cum voluptate infert. Si igitur ea quæque sunt injustissima, propter quæ jure optimo irascimur: profecto incontinentia ob cupiditatem suscepta injustior est: non inest enim in ira voluptaria libido. Incontinentiam igitur eam, quæ in cupiditatibus versatur, iræ incontinentia turpiorem esse: continentiamque et incontinentiam in cupiditatibus, et corporis voluptatibus versari, perspicuum est. Harum autem ipsarum differentiæ sunt cognoscendæ: nam quemadmodum initio a nobis dictum est, aliæ sunt humanæ et naturales, tum genere, tum magnitudine: aliæ immanes et ferinæ; aliæ ex corporis debilitationibus, et morbis natæ: quarum in primis versantur temperantia duntaxat, et intemperantia. Itaque neque temperantes, neque intemperantes bestias dicimus, nisi per tralationem sermonis, etiamsi omnino animantium genus aliud ab alio libidine, et profusa ad rem veneream petulantia, et omnium rerum eda-

προαίρεσιν, οὐδὲ λογισμὸν, ἀλλ' ἐξέστηκε τῆς φύσεως, ὥσπερ οἱ μαινόμενοι τῶν ἀνθρώπων. Ἔλαττον δὲ θηριότης, κακίας· φοβερώτερον δέ· οὐ γὰρ διέφθαρται τὸ βέλτιστον, ὥσπερ ἐν τῷ ἀνθρώπῳ, [d] ἀλλ' οὐκ ἔχει. Ὅμοιον οὖν, ὥσπερ ἄψυχον συμβαλεῖν πρὸς ἔμψυχον, πότερον κάκιον· [e] ἀσινεστέρα γὰρ ἡ φαυλότης ἀεὶ, ἡ τοῦ μὴ ἔχοντος ἀρχήν· ὁ δὲ νοῦς ἀρχή. Παραπλήσιον οὖν τὸ [f] συμβάλλειν ἀδικίαν πρὸς ἄνθρωπον ἄδικον· ἔστι γὰρ ὡς ἑκάτερον κάκιον· [g] μυριοπλάσια γὰρ ἂν κακὰ ποιήσειεν ἄνθρωπος κακὸς, θηρίου.

ΚΕΦ. ζ'.

ΠΕΡΙ δὲ τὰς δι' ἁφῆς καὶ γεύσεως ἡδονὰς καὶ λύπας, καὶ ἐπιθυμίας καὶ φυγάς· περὶ ἃς ἥ τε ἀκολασία καὶ ἡ σωφροσύνη διωρίσθη πρότερον· ἔστι [h] μὲν οὕτως ἔχειν, ὥστε ἡττᾶσθαι καὶ ὧν οἱ πολλοὶ κρείττους· ἔστι δὲ κρατεῖν, καὶ

quia facultatem habent nocendi, sic σίνεσθαι possunt. *Zuing.* El. corrupte legit συνομωρίᾳ. [d] Bas. et C C C. legunt ἀλλ' ἡμάρτηται, καὶ οὐκ ἔχει. [e] Sic habent codices emendati: alii ἀσθενεστέρα, quos secutus est Perion. *Lambinus.* Ἀσθενεστέρα videtur esse glossema. [f] Γρ. συμβαλεῖν. [g] Bas. in textu habet μυριαπλάσια; ea scilicet forma, qua πολλαπλάσια. *Sylb.* [h] Μὲν οὖν οὕτως El.

citate differat: non enim consilium ullum habent, nullaque rationis agitatione prædita sunt, sed a natura desciverunt, ut homines furiosi. Est autem feritas minus malum quidem vitiositate, sed horribilius tamen: neque enim corruptum est in illis, id quod est optimum, quomodo in homine, sed eo carent. Simile igitur est, ut si inanimum cum animato conferatur, utrum sit pejus: innocentior enim minusque perniciosa semper improbitas ejus est, quod principium non habet: mens autem principium est. Simile igitur est, ut si injustitiam cum homine injusto conferas: nam fieri potest, ut utrumque altero sit pejus: infinitis certe partibus plura mala intulerit homo vitiosus et improbus, quam fera.

CAP. VII.

IN voluptatibus autem et doloribus, quæ tactu et gustatu percipiuntur, itemque in earum cupiditatibus, et fugis (in quibus temperantia et intemperantia supra posita est) potest quis ita affectus esse, ut etiam ab eis vincatur, quibus plerique sunt superiores: potest rursus fieri, ut etiam eas vincat, a quibus vulgus

ὧν οἱ πολλοὶ ἥττους. Τούτων δ' ὁ μὲν περὶ ἡδονὰς ἀκρατής, ὁ δ' ἐγκρατής· ὁ δὲ περὶ λύπας μαλακός, ὁ δὲ καρτερικός. Μεταξὺ δὲ [i]τῶν πλείστων ἕξεις, κἂν εἰ ῥέπωσι μᾶλλον πρὸς τὰς χείρους. Ἐπεὶ δ' ἔνιαι τῶν ἡδονῶν ἀναγκαῖαί εἰσιν, αἱ δ' οὔ, καὶ μέχρι τινός· αἱ δ' ὑπερβολαὶ οὔ, οὐδὲ [k]αἱ ἐλλείψεις· ὁμοίως δὲ καὶ περὶ ἐπιθυμίας ἔχει καὶ λύπας· ὁ μὲν τὰς ὑπερβολὰς διώκων τῶν ἡδέων, [l]ἢ καθ' ὑπερβολάς, [m]ἢ διὰ προαίρεσιν, [n]καὶ δι' αὐτάς, καὶ μηδὲν δι' ἕτερον ἀποβαῖνον, ἀκόλαστος· ἀνάγκη γὰρ [o]τοῦτον μὴ εἶναι μεταμελητικόν· ὥστ' [p]ἀνίατος. Ὁ δὲ ἐλλείπων, ὁ ἀντικείμενος· ὁ δὲ μέσος, [q]σώφρων. Ὁμοίως δὲ καὶ ὁ φεύγων τὰς [r]σωματικὰς λύπας, μὴ δι' ἧτταν, ἀλλὰ διὰ [s]προαίρεσιν. Τῶν δὲ μὴ προαιρουμένων, ὁ μὲν ἄγεται διὰ τὴν ἡδονήν· ὁ δὲ διὰ τὸ φεύγειν

[i] Ἡ τῶν πλείστων ἕξις N C. [k] Αἱ deest El. [l] Legendum videtur μὴ καθάπερ ὑπερβολαὶ, ἀλλὰ διὰ, et reliqua. *Muret.* [m] Zuingerus legendum censet εἰ. [n] Καὶ deest El. [o] Γρ. τούτων. [p] N C. et quidam editi ἀνίατος· ὁ γὰρ μὴ μεταμελητικὸς, ἀνίατος: et sic legisse videtur Lambinus. [q] Ὁ σώφρων El. [r] Σωματικὰς deest N C. [s] Quia ratio corrupta est a vitioso habitu. *Zuing.*

superatur. Horum autem is, qui a voluptatibus vincitur, incontinens; qui voluptatum victor est, continens: et qui doloribus est inferior, fractus et mollis; qui superior, patiens dicendus est. Sunt autem maximæ partis hominum habitus inter hos interjecti, quamvis ad vitiosos magis vergere videantur. Quoniam autem voluptates aliæ sunt necessariæ, aliæ non necessariæ, et illæ quidem usque ad aliquem finem necessariæ: earum vero neque nimium, neque parum sunt necessaria (similiterque de cupiditatibus, et doloribus est sentiendum) qui jucunditates aut immoderatas, aut immoderate sequitur, si propterea quod consilium cepit hujusmodi, et propter ipsas, non propter aliud quicquam, quod ex eis redeat, is intemperans est: hunc enim necesse ėst non facile factorum suorum pœnitere: itaque insanabilis est: nam qui ita natura comparatus est, ut eum non pœniteat, is ad sanitatem nunquam revertitur. Qui autem modum deserit in expetendis voluptatibus, huic opponitur: at medius, temperans nominatur. Similiterque intemperans est, qui dolores corporis fugit: non quia vincatur, sed quia consilium ceperit ita vivendi. Eorum autem, qui consilium non ceperunt ita vivendi, a-

τὴν λύπην, τὴν ἀπὸ τῆς ἐπιθυμίας· ὥστε διαφέρουσιν ἀλλήλων. [t] Παντὶ δὲ ἂν δόξειε χείρων εἶναι, εἴ τις μὴ ἐπιθυμῶν, ἢ ἠρέμα, πράττοι τι αἰσχρὸν, ἢ εἰ σφόδρα ἐπιθυμῶν· [u] καὶ εἰ μὴ ὀργιζόμενος [x] τύπτοι, ἢ εἰ ὀργιζόμενος· τί γὰρ ἂν [y] ἐποίει, ἐν πάθει ὤν; διὸ ὁ ἀκόλαστος, χείρων τοῦ ἀκρατοῦς. [z] Τῶν δὴ λεχθέντων, τὸ μὲν μαλακίας εἶδος μᾶλλον, ὁ δ' [a] ἀκρατής. Ἀντίκειται δὲ τῷ μὲν ἀκρατεῖ ὁ ἐγκρατὴς, τῷ δὲ μαλακῷ ὁ καρτερικός· τὸ μὲν γὰρ καρτερεῖν ἐστιν ἐν τῷ ἀντέχειν, ἡ δὲ ἐγκράτεια ἐν τῷ κρατεῖν· ἕτερον δὲ τὸ ἀντέχειν καὶ κρατεῖν, ὥσπερ καὶ τὸ μὴ ἡττᾶσθαι τοῦ νικᾷν. Διὸ καὶ αἱρετώτερον ἐγκράτεια καρτερίας ἐστίν. Ὁ δὲ ἐλλείπων, πρὸς ἃ οἱ πολλοὶ καὶ ἀντιτείνουσι καὶ δύνανται, οὗτος μαλακὸς καὶ τρυφῶν· καὶ γὰρ ἡ τρυφὴ μαλακία τίς ἐστιν· ὃς [b] οὐχ ἕλκει τὸ ἱμάτιον, ἵνα μὴ πονήσῃ τὴν ἀπὸ τοῦ αἴρειν λύπην· καὶ μιμούμενος τὸν

[t] Bas. pro παντὶ habet παντῇ adverbium, quod alias solet παρεξύνεσθαι, πάντῃ. *Sylburg.* [u] Ἢ εἰ ὀργιζόμενος El. καὶ μὴ ὀργιζόμενος C C C. omisso εἰ. [x] N C. et nonnulli impressorum legunt τύπτει. [y] Ποίει C C C. [z] Τῶν δὲ Bas. Τῶν δὴ λεχθέντων τὸ μὲν μαλακίας εἶδος μᾶλλον, ὁ δ' ἀκρατὴς, atque hæc est vera et incorrupta Scriptura, quamvis libri Florentini habeant, ὁ δ' ἀκόλαστος. Argyr. etiam et Aspasius perspicue probant eam lectionem, quam secuti sumus. *Lambinus.* [a] Vetus Interpres sic reperisse in suis videtur, ὁ δ' ἀκόλαστος, ἀκόλαστος δ' ἀντίκειται σώφρονι, ἀντίκειται δὲ τῷ μὲν ἀκρατεῖ ὁ ἐγκρατής. *Victorius.* [b] Οὐχ deest Ven. 1. Bas. Camot. El. C C C. et N C.

lius propter voluptatem quovis impellitur: alius quia dolorem fugit, ex cupiditate nascentem: itaque inter se differunt. Nemo est autem, cui non videatur deterior is, qui nulla, aut levi cupiditate affectus, turpe aliquid admittat, quam qui vehementi; et qui non iratus alterum pulset, quam qui idem faciat ira incitatus: quid enim faceret commotus ac perturbatus? itaque deterior est incontinente intemperans. Eorum igitur, qui supra a nobis dicti sunt, alter magis est mollis, alter incontinens. Opponitur autem incontinenti continens, molli patiens: patientia enim est in resistendo, continentia in vincendo: aliud est autem resistere, aliud vincere: quemadmodum aliud est non vinci, aliud vincere. Quare et continentia optabilius quiddam est, quam patientia. Jam vero qui modum deserit in iis, quibus plerique obsistunt, et obsistere possunt, is mollis et delicatus est: deliciæ enim mollities quædam est: ut qui vestem trahit, ne quid in ea attollen-

κάμνοντα, οὐκ οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν. Ὁμοίως δὲ ἔχει καὶ περὶ ἐγκράτειαν ἢ ἀκρασίαν· οὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἡττᾶται ἢ λυπῶν, [c] θαυμαστὸν, ἀλλὰ [d] καὶ συγγνωμονικὸν, εἰ ἀντιτείνων, ὥσπερ ὁ [e] Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἔχεως πεπληγμένος, ἢ [f] ὁ Καρκίνου ἐν τῇ Ἀλόπῃ Κερκύων· καὶ ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα, ἀθρόον ἐκκαγχάζουσιν, οἷον [g] συνέπεσε Ξενοφάντῳ· ἀλλ' εἴ τις πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν, τούτων ἡττᾶται, καὶ μὴ δύναται ἀντιτείνειν, μὴ διὰ φύσιν τοῦ γένους, ἢ διὰ νόσον, [h] οἷον ἐν τοῖς [i] Περσῶν βασιλεῦσιν ἡ μαλακία διὰ τὸ γένος, καὶ ὡς τὸ [k] θῆλυ πρὸς τὸ ἄρρεν διέστηκε. Δοκεῖ δὲ καὶ ὁ παιδιώδης, [l] ἀκόλαστος εἶναι· ἔστι δὲ μαλακός· ἡ γὰρ παιδιὰ, ἄνεσίς ἐστιν, εἴ περ οὖν ἀνάπαυσις. Τῶν δὲ πρὸς

[c] Οὐ θαυμαστὸν N C. [d] Καὶ ante συγγνωμονικὸν deest C C C. [e] Ὥσπερ Φιλοκτήτης, ὃν εἰσήγαγεν ἐν τοῖς ποιήμασι Θεοδέκτης ὁ ποιητὴς πεπληγμένον ὑπὸ ὄφεως, καὶ μέχρι τινὸς κρατοῦντα τῆς λύπης, εἶτα ἀναβοήσαντα. *Andron.* Inclamavit autem κόψατε τὴν ἐμὴν χεῖρα. *Aspas.* Erat Theodectes Aristotelis discipulus, L. Fabulis nobilitatus, quæ omnes interiere. [f] Ὁ Καρκῖνος τραγικὸς ἦν, ὁ δὲ Κερκύων εἶχε θυγατέρα τὴν Ἀλόπην· μαθὼν δὲ ὅτι ἐμοιχεύθη ἡ αὐτοῦ θυγάτηρ ἠρώτησεν αὐτὴν, τίς ἦν ὁ μοιχεύσας, λέγων εἴ μοι τοῦτον εἴποις, οὐ δ' ὅλως ἂν λυπηθῶ. Εἶτα εἰπούσης τῆς Ἀλόπης τὸν αὐτὴν μοιχεύσαντα, οὐκ ἔτι ὁ Κερκύων ὑπὸ τῆς λύπης ἔφερε ζῆν, ἀλλὰ καὶ τὸ ζῆν ἀπελέγετο. *Aspas.* [g] Ξενίτισι El. [h] Ὥσπερ N C. Ven. 1. et Bas. [i] Vulgo Σκυθῶν: in aliis libris Περσῶν, quod verius puto; nam et Aspasius ita legit. *Mur.* Nos Aspasium, Lambinum, Muretum, Duvallium, libros quosdam manu exaratos, et ipsam Historiæ veritatem secuti, Περσῶν edidimus. [k] Distat mollitia. *Lamb.* [l] Ἀκρατὴς legendum censet Zuingerus.

da laboris suscipiat, ac doloris: et cum ægrum imitetur, miserum se esse non arbitratur, qui tamen misero sit similis. Itemque de continentia et incontinentia sentiendum: neque enim si quis a vehementibus et immodicis voluptatibus, aut doloribus superetur, mirum debeat videri: immo vero venia sit dignus, si obsistendo vincatur: ut Theodectæ Philoctetes a vipera percussus, vel Carcini Cercyon in Alope: et ut qui risum comprimere conantes, universum profundunt, quod Xenophanto accidit: sed si quis, quibus voluptatibus multi possunt obsistere, ab iis superetur, neque possit contra niti, non propter generis naturam, aut morbum, quemadmodum Persarum regibus mollities propter genus innata est, et ut fœmina a mare distat. Atque etiam is, qui ludo et joco magnopere deditus est, videtur esse intemperans: sed mollis est potius: ludus enim, remissio animorum est, siquidem est requies.

ταύτην ὑπερβαλλόντων, ὁ παιδιώδης [m] *ἐστίν. Ἀκρασίας δὲ, τὸ μὲν προπέτεια, τὸ δὲ ἀσθένεια· οἱ μὲν γὰρ βουλευσάμενοι, οὐκ ἐμμένουσιν οἷς ἐβουλεύσαντο, διὰ τὸ πάθος· οἱ δὲ, διὰ τὸ μὴ* [n] *βουλεύσασθαι, ἄγονται ὑπὸ τοῦ πάθους. Ἔνιοι γὰρ, ὥσπερ οἱ* [o] *προγαργαλίσαντες, οὐ γαργαλίζονται, οὕτω καὶ* [p] *προαισθόμενοι, καὶ προϊδόντες, καὶ προεγείραντες ἑαυτοὺς καὶ τὸν λογισμὸν, οὐχ ἡττῶνται ὑπὸ τοῦ πάθους, οὔτ' ἂν ἡδὺ ᾖ, οὔτ' ἂν λυπηρόν. Μάλιστα δὲ οἱ ὀξεῖς καὶ μελαγχολικοὶ, τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν γὰρ διὰ τὴν ταχύτητα, οἱ δὲ διὰ τὴν σφοδρότητα, οὐκ ἀναμένουσι τὸν λόγον, διὰ τὸ ἀκολουθητικοὶ εἶναι τῇ φαντασίᾳ.*

ΚΕΦ. η'.

ΕΣΤΙ *δὲ ὁ μὲν ἀκόλαστος, ὥσπερ ἐλέχθη, οὐ μεταμελητικός· ἐμμένει γὰρ τῇ προαιρέσει· ὁ δ' ἀκρατὴς, μετα-*

[m] Ἐστὶν deest CCC. [n] Βούλεσθαι NC. [o] Προγαργαλισθέντες CCC.
[p] Προαισθανόμενοι El. NC. et Bas. sed male.

In iis autem, qui modum jocandi ac ludendi superant, jocosus numeratur. Incontinentia autem alia est festinatio præceps, alia imbecillitas: alii enim posteaquam deliberaverunt, non constant in eis, quæ deliberata sunt, propter perturbationem: alios autem, quia non consultarunt neque deliberarunt, quovis trahit ac rapit perturbatio. Nonnulli enim, ut ii, qui se ipsi ante titillarint non titillantur ab alio: sic quia præsenserunt, ac præviderunt, seipsos denique ac rationis judicium ante expergefecerunt, a perturbatione non vincuntur, sive jucunditatem ostentet, sive dolorem intentet. Maxime autem et ii, quos acuta, et ii, quos atra bilis vexat, præcipiti illa incontinentia sunt incontinentes: illi enim propter celeritatem, hi propter acrimoniam seu vehementiam, rationem non opperiuntur, eo quod species animo oblatas, visionesque facile sequantur.

CAP. VIII.

INTEMPERANTEM autem, ut supra diximus, non facile suorum factorum pœnitet: perstat enim in consilio suscepto: incontinens autem omnis, ejusmodi est quodammodo, ut eum facile pœni-

μελητικὸς [q]πᾶς. Διὸ οὐχ ὥσπερ ἠπορήσαμεν, οὕτω καὶ ἔχει· ἀλλ' [r]ὁ μὲν ἀνίατος, ὁ δὲ ἰατός· ἔοικε γὰρ ἡ μὲν μοχθηρία τῶν νοσημάτων οἷον ὑδέρῳ καὶ φθίσει, ἡ δὲ ἀκρασία τοῖς ἐπιληπτικοῖς· ἡ μὲν γὰρ συνεχὴς, ἡ δὲ οὐ συνεχὴς πονηρία. Καὶ ὅλως δὲ, ἕτερον τὸ γένος ἀκρασίας καὶ κακίας· ἡ μὲν γὰρ κακία λανθάνει, ἡ δὲ ἀκρασία οὐ λανθάνει. Αὐτῶν δὲ τούτων βελτίους οἱ ἐκστατικοὶ, ἢ οἱ τὸν λόγον ἔχοντες μὲν, μὴ ἐμμένοντες δέ· ὑπ' ἐλάττονος γὰρ πάθους ἡττῶνται, καὶ οὐκ ἀπροβούλευτοι, ὥσπερ [s]ἕτεροι· ὅμοιος γὰρ ὁ ἀκρατής ἐστι τοῖς ταχὺ μεθυσκομένοις, καὶ ὑπὸ ὀλίγου οἴνου, καὶ ἐλάττονος ἢ ὡς οἱ πολλοί. Ὅτι μὲν οὖν κακία ἡ ἀκρασία οὐκ ἔστι, φανερόν· ἀλλά πῃ ἴσως· τὸ μὲν γὰρ παρὰ προαίρεσιν, τὸ δὲ κατὰ [t]προαίρεσίν ἐστιν. Οὐ μὴν ἀλλ' ὅμοιόν γε κατὰ τὰς πράξεις, ὥσπερ τὸ [u]Δημοδόκου εἰς Μιλησίους· Μιλήσιοι γὰρ ἀξύνετοι μὲν οὐκ εἰσι, δρῶσι δὲ, οἷά περ οἱ ἀξύνετοι· καὶ οἱ

[q] Πῶς N C. et Bas. [r] Γρ. Ὁ μὲν εὐίατος (vel ἰατὸς) ὁ δὲ ἀνίατος. [s] Bas. et Camot. pro ἕτεροι habent ἅτεροι, i. e. οἱ ἕτεροι. *Sylburg.* [t] Τὴν προαίρεσιν El. [u] Demodocus Milesius, genere Larius, multa alia in Milesios scommata conjecit. *Lambinus.*

teat. Itaque non ita se res habet, ut supra dubitavimus: sed hic quidem sanabilis est, ille autem insanabilis: similis enim est vitiositas aquæ inter cutem, et tabi; incontinentia autem morbis comitialibus: illa enim assidua et perpetua est; hæc non est perpetua improbitas. Atque in summa aliud est incontinentiæ genus, aliud vitiositatis: vitiositas enim latet; non latet incontinentia. Horum autem ipsorum ii sunt meliores, qui facile de sententia deducuntur, quam qui ratione in consilium adhibita, in ea non perstant: hi enim primum a minore perturbatione superantur: deinde non sine deliberatione antegressa, ut illi alteri: similis est enim incontinens hic, quem imbecillum diximus, iis, qui cito, et modico vino, et pauciore quam vulgus, fiunt ebrii. Incontinentiam igitur non esse vitiositatem, perspicuum est; nisi forte aliqua ratione: hæc enim a consilio aversa est; illa consilio congruit. In actionibus tamen reperiuntur similes: quale illud est Demodoci in Milesios: Milesii non sunt illi quidem stulti, sed tamen eadem faciunt, quæ stulti: sic incontinentes non

ἀκρατεῖς, ἄδικοι μὲν οὐκ εἰσιν, ἀδικοῦσι δέ. Ἐπεὶ δ' ὁ μὲν τοιοῦτός [x] ἐστιν, οἷος [y] μὴ διὰ τὸ πεπεῖσθαι διώκειν τὰς καθ' ὑπερβολὴν καὶ παρὰ τὸν ὀρθὸν λόγον σωματικὰς ἡδονάς, ὁ δὲ πέπεισται διὰ τὸ τοιοῦτος εἶναι, οἷος διώκειν αὐτάς· ἐκεῖνος μὲν οὖν εὐμετάπειστος, [z] ὁ δ' οὔ. Ἡ γὰρ ἀρετὴ καὶ μοχθηρία τὴν ἀρχήν, ἡ μὲν φθείρει, ἡ δὲ σώζει· ἐν δὲ ταῖς πράξεσι τὸ οὗ ἕνεκα, ἀρχή· ὥσπερ ἐν τοῖς μαθηματικοῖς αἱ ὑποθέσεις. Οὔτε δὴ ἐκεῖ ὁ λόγος διδασκαλικὸς τῶν ἀρχῶν, οὔτε ἐνταῦθα, ἀλλ' ἀρετή, ἢ φυσική, ἢ [a] ἠθικὴ τοῦ ὀρθοδοξεῖν περὶ τὴν ἀρχήν. Σώφρων μὲν οὖν ὁ τοιοῦτος, ἀκόλαστος δὲ ὁ ἐναντίος. Ἔστι δέ τις διὰ πάθος ἐκστατικὸς παρὰ τὸν ὀρθὸν λόγον· ὃν ὥστε μὲν μὴ πράττειν κατὰ τὸν ὀρθὸν λόγον, κρατεῖ τὸ πάθος· ὥστε δ' εἶναι τοιοῦτον οἷον πεπεῖσθαι διώκειν [b] ἀνέδην δεῖν τὰς τοιαύτας ἡδονάς, οὐ κρατεῖ. Οὗτός ἐστιν ὁ ἀκρατής,

[x] Ἐστὶν deest El. [y] Διὰ τὸ μὴ πεπ. El. et Bas. contra mentem Lambin. [z] Οὗτος δ' οὐ El. N C. et Bas. [a] El. N C. C C C. et Bas. habent ἐθιστή, quod probat Lambin. [b] Ἀναίδην, quasi ἄνευ αἰδοῦς, El. N C. Ven. 1. et Bas. cum tamen Hesychius, Suidas, Etymologus et alii Lexicographi Græci agnoscunt tantum ἀνέδην, *effuse, laxatis animi habenis*. Sylb.

sunt illi quidem injusti, sed injuste faciunt tamen. Quoniam autem incontinens ejusmodi est, ut non quod ita sibi persuaserit, immoderatas et a recta ratione alienas sequatur corporis voluptates: intemperans vero sibi persuasit ita vivendum esse, quia talis est, ut eas sequatur: ergo ille facile de sententia deducetur, hic non item. Nam ut virtus principium tuetur et conservat: ita vitiositas perdit, atque extinguit: in actionibus autem id, cujus gratia illæ suscipiuntur, principium est: ut in Mathematicis ea, quæ posita, et concessa sunt. Neque igitur illic principia ratione doceri possunt: neque hic, sed virtus aut naturalis, aut ea, quæ ex consuetudine comparatur, recte sentiendi de principio magistra est. Temperans igitur est is, qui talis est, intemperans autem qui ei contrarius. Est porro aliquis alius, qui propter perturbationem a recta ratione aversus de consilio, quasi de gradu dejicitur: quem quidem perturbatio hactenus superat, ut non agat, quod monet et præscribit ratio: sed ut talis sit, ut sibi persuadeat imprudenter et improbe persequendas esse hujus generis voluptates, non superat. Hic est incontinens, intemperante

[c]βελτίων τοῦ ἀκολάστου, οὐδὲ φαῦλος ἁπλῶς· σώζεται γὰρ τὸ βέλτιστον, ἡ ἀρχή. Ἄλλος δ' ἐναντίος ὁ ἐμμενετικὸς, καὶ οὐκ ἐκστατικὸς, διά γε τὸ πάθος. Φανερὸν [d]δὴ ἐκ τούτων, ὅτι ἡ μὲν σπουδαία ἕξις, ἡ δὲ φαύλη.

ΚΕΦ. θ'.

ΠΟΤΕΡΟΝ οὖν ἐγκρατής ἐστιν ὁ ὁποιῳοῦν λόγῳ, καὶ ὁποιᾳοῦν προαιρέσει ἐμμένων, ἢ ὁ τῇ ὀρθῇ· καὶ ἀκρατὴς δὲ, ὁ ὁποιᾳοῦν μὴ ἐμμένων προαιρέσει, καὶ ὁποιῳοῦν λόγῳ, ἢ ὁ [e]μὴ τῷ [f]ψευδεῖ λόγῳ καὶ τῇ προαιρέσει τῇ ὀρθῇ, ὥσπερ ἠπορήθη πρότερον, ἢ κατὰ συμβεβηκὸς ὁ ὁποιᾳοῦν· καθ' αὐτὸ δὲ [g]τῷ ἀληθεῖ λόγῳ καὶ τῇ ὀρθῇ προαιρέσει, ὁ μὲν ἐμμένει, ὁ δὲ οὐκ ἐμμένει. Εἰ γάρ τις τοδὶ διὰ τοδὶ αἱρεῖται [h]ἢ διώκει, καθ' αὐτὸ μὲν τοῦτο διώκει καὶ αἱρεῖται· κατὰ συμβεβηκὸς δὲ [i]πρότερον· ἁπλῶς δὲ λέγομεν, τὸ καθ' αὐτό. Ὥστε, ἐστὶ μὲν ὡς

[c] Βελτίων ὢν N C. et Bas. [d] Δὲ N C. et Bas. qui mox cum C C C. legit τούτου pro τούτων. [e] El. et alii Codd. transposita negatione legunt: ἢ ὁ τῷ ψευδεῖ λόγῳ, καὶ τῇ προαιρέσει τῇ μὴ ὀρθῇ. neque aliter Lamb. [f] Lege ἢ ὁ τῷ ἀληθεῖ, et ita cogit sententia ipsa, ut e sequentibus perspicitur. *Mur.* [g] Ὁ τῷ ἀληθεῖ El. [h] Καὶ διώκει N C. [i] Τὸ πρότερον Bas. Cam. Aur. et N C.

melior, neque absolute improbus: salva enim res est ea, quæ omnium est optima, principium. Alter est huic contrarius, qui in sententia permanet, quique propter animi perturbationem de eo, quod constituit, non depellitur. Ex iis igitur perspicuum est, hunc habitum esse bonum: illum, malum et vitiosum.

CAP. IX.

UTRUM igitur continens sit is, qui in qualibet ratione, et in quolibet consilio perstat: an is demum, qui in recto consilio: et utrum is incontinens, qui in quolibet consilio, atque in quavis ratione non permanet, an is, qui in ratione falsa, et in consilio minus recto, quemadmodum supra a nobis dubitatum est: an ex eventu quidem in quavis ratione et in quovis consilio: per se autem in vera ratione et recto consilio permaneat continens, non permaneat incontinens, videamus. Si quis enim illud propter hoc optet et expetat, aut persequatur, per se quidem hoc persequi et optare dicendus est, ex eventu vero illud prius: per se autem, simpliciter et absolute intelligi volumus. Itaque acci-

ὁποιᾳοῦν δόξῃ, ὁ μὲν ἐμμένει, ὁ δὲ ἐξίςαται· ἁπλῶς δὲ [k] τῇ ἀληθεῖ. Εἰσὶ δέ τινες [l] οἱ ἐμμενετικοὶ τῇ δόξῃ, [m] εἰσὶ δ' οὓς καλοῦσιν ἰσχυρογνώμονας, οἷον δύσπειστοι καὶ οὐκ εὐμετάπειστοι, οἳ ὅμοιον μέν τι ἔχουσι τῷ ἐγκρατεῖ, οἷον ὁ ἄσωτος τῷ ἐλευθερίῳ, καὶ ὁ θρασὺς τῷ θαῤῥαλέῳ· εἰσὶ δ' ἕτεροι κατὰ πολλά. Ὁ μὲν γὰρ διὰ πάθος καὶ ἐπιθυμίαν οὐ μεταβάλλει, ὁ ἐγκρατής· ἐπεὶ εὔπειστος, ὅταν τύχῃ, ἔςαι ὁ ἐγκρατής· ὁ δὲ, οὐχ ὑπὸ λόγου· [n] ἐπεὶ ἐπιθυμίας γε λαμβάνουσι, καὶ ἄγονται πολλοὶ ὑπὸ τῶν ἡδονῶν. Εἰσὶ δὲ ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες, καὶ οἱ ἀμαθεῖς καὶ [o] ἄγροικοι· οἱ μὲν ἰδιογνώμονες, δι' ἡδονὴν καὶ λύπην· χαίρουσι γὰρ νικῶντες, ἐὰν μὴ μεταπείθωνται· καὶ λυποῦνται, ἂν ἄκυρα τὰ αὐτῶν ᾖ, ὥσπερ ψηφίσματα. Ὥςε μᾶλλον τῷ ἀκρατεῖ ἐοίκασιν ἢ τῷ ἐγ-

[k] Ὁ τῇ ἀληθεῖ El. et N C. [l] Ego eosdem esse puto, τοὺς ἐμμενετικοὺς τῇ δόξῃ et ἰσχυρογνώμονας. *Lamb.* [m] Illud ultimum εἰσὶ δὲ Argyr. delet. Distinguit quosdam ἐμμενετικοὺς τῇ δόξῃ a continentibus, et quosdam οὐκ ἐμμενετικοὺς ab incontinentibus. *Muret.* [n] Ἔστιν Lamb. [o] Οἱ ἄγροικοι quidam Editi.

dere potest, ut in qualibet opinione ille permaneat; hic ex qualibet depellatur: absolute autem in vera ille permanet, hic non permanet. Sunt autem quidam, qui in opinione sua facile perseverant: atque hi sunt, quos in sententia obfirmatos et pertinaces appellamus: quales sunt ii, qui ægre sibi aliquid a quoquam persuaderi patiuntur, quique non facile de sententia deducuntur: qui simile quiddam habent continenti, ut prodigus liberali, et audax fidenti: sed in multis ab eo discrepant. Continens enim propter perturbationem et cupiditatem, sententiam non mutat: nam ubi fors ita tulerit, facile sibi fidem fieri patietur: pertinax autem et in sententia obfirmatus, de sententia non decedit, etiamsi suadeat ratio: deinde magna pars hominum cupiditates ultro arcessit ac recipit, seseque a voluptatibus duci facile patitur. Obfirmati autem in sententia sunt ii, qui præcipuas quasdam sententias in animum induxerunt, indoctique, et agrestes homines: atque ii quidem, qui præcipuas sententias in animum induxerunt, propter voluptatem ac dolorem sunt pertinaces: lætantur enim cum vincunt, si de sententia sua non deducantur: et graviter molesteque ferunt, si sua veluti decreta rescindantur atque infirmentur. Itaque inconti-

κρατεῖ. Εἰσὶ δέ τινες οἳ τοῖς δόξασιν οὐκ ἐμμένουσιν, οὐ δι' ἀκρασίαν, οἷον ἐν [p] τῷ Φιλοκτήτῃ τοῦ Σοφοκλέους ὁ Νεοπτόλεμος· καίτοι δι' ἡδονὴν οὐκ ἐνέμεινεν, ἀλλὰ καλήν· τὸ γὰρ ἀληθεύειν αὐτῷ καλὸν ἦν, ἐπείσθη δ' ὑπὸ τοῦ Ὀδυσσέως ψεύδεσθαι· οὐ γὰρ πᾶς ὁ δι' ἡδονήν τι [q] πράττων, ἐστὶν ἀκόλαστος, οὔτε φαῦλος, οὔτε ἀκρατής· ἀλλ' ὁ δι' αἰσχράν. Ἐπεὶ δ' ἐστί τις καὶ τοιοῦτος οἷος ἧττον ἢ δεῖ τοῖς σωματικοῖς [r] χαίρων, καὶ οὐκ ἐμμένων τῷ λόγῳ, ὁ τοιοῦτος τούτου καὶ τοῦ ἀκρατοῦς μέσος ὁ ἐγκρατής· ὁ μὲν [s] γὰρ ἀκρατὴς οὐκ ἐμμένει τῷ λόγῳ, διὰ τὸ μᾶλλόν τι· [t] οὗτος δὲ, διὰ τὸ ἧττόν τι· ὁ δ' ἐγκρατὴς ἐμμένει, καὶ οὐδὲ [u] δι' ἕτερον μεταβάλλει. Δεῖ δὲ, εἴπερ ἡ ἐγκράτεια σπουδαῖον, ἀμφοτέρας τὰς ἐναντίας ἕξεις φαύλας εἶναι, ὥσπερ καὶ φαίνονται· ἀλλὰ διὰ τὸ τὴν ἑτέραν ἐν ὀλίγοις καὶ ὀλιγάκις εἶναι φανερὰν, ὥσπερ ἡ σωφροσύνη

[p] Bds. legit τῷ Φιλοκτήτῃ τῷ Σοφοκλέους, ad differentiam scilicet ejus Philoctetis, qui a Theodecte supra dicitur conscriptus. *Sylb.* [q] Πράττων ἢ ἀκόλαστος, εἴτε φαῦλος C C C. in textu: in margine vero οὔτε ἀκόλαστος, οὔτε φαῦλος. [r] Lege χαίρων. *Mur.* [s] Γὰρ deest C C C. [t] Οὗτος δὲ διὰ El. [u] Γρ. Δι' ἕτερόν τι.

nenti, quam continenti sunt similiores. Sunt autem nonnulli, qui non perstant in eis, quæ ipsi decreverunt et comprobarunt, sed non propter incontinentiam: ut in Sophoclis Philoctete Neoptolemus; atqui propter voluptatem in sententia non perstitit; at honestam: nam vera loqui, erat ei pulchrum atque honestum; persuasum autem ei fuerat ab Ulysse, ut mentiretur: non enim quisquis voluptate adductus aliquid agit, intemperans est, neque improbus, neque incontinens; sed qui turpi. Quoniam autem est etiam aliquis ejusmodi, qui minus quam debeat, corporis voluptatibus delectetur, et qui in ratione non permaneat; inter hunc, et incontinentem, medius continens locatus est: incontinens enim propterea sese in rationis gyro non continet, quia magis quam par est, voluptatibus delectatur; hic autem nomine vacans, propterea quod minus delectatur: continens autem in ratione permanet, neque propter alterutrum sententiam mutat. Necessario autem, si continentia bonum est, ambo habitus contrarii mali sunt, quemadmodum apparet: sed quia alter in paucis, et raro reperitur, idcirco ut temperantia intem-

τῇ ἀκολασίᾳ δοκεῖ ἐναντίον εἶναι μόνον, οὕτω καὶ ἡ ἐγκράτεια τῇ ἀκρασίᾳ. Ἐπεὶ [x]δὲ καθ' ὁμοιότητα πολλὰ λέγεται, καὶ ἡ ἐγκράτεια ἡ τοῦ σώφρονος καθ' ὁμοιότητα ἠκολούθηκεν· ὅ, τε γὰρ ἐγκρατὴς, οἷος μηδὲν παρὰ τὸν λόγον διὰ τὰς σωματικὰς ἡδονὰς ποιεῖν, καὶ ὁ σώφρων· ἀλλ' ὁ μὲν ἔχων, ὁ δ' οὐκ ἔχων φαύλας ἐπιθυμίας· καὶ ὁ μὲν τοιοῦτος οἷος μὴ ἥδεσθαι παρὰ τὸν λόγον, ὁ δ' οἷος ἥδεσθαι, ἀλλὰ μὴ ἄγεσθαι. Ὅμοιοι δὲ καὶ ὁ [y]ἀκρατὴς καὶ ὁ ἀκόλαστος, [z]ἕτεροι μὲν ὄντες, ἀμφότεροι δὲ [a]τὰ σωματικὰ ἡδέα διώκουσιν· ἀλλ' ὁ μὲν καὶ οἰόμενος δεῖν, ὁ δ' οὐκ οἰόμενος.

ΚΕΦ. ι΄.

ΟΥΔ' ἅμα φρόνιμον καὶ ἀκρατῆ ἐνδέχεται εἶναι τὸν αὐτόν· ἅμα γὰρ φρόνιμος καὶ σπουδαῖος τὸ ἦθος δέδεικται ὤν. Ἔτι, οὐ τῷ εἰδέναι μόνον φρόνιμος, ἀλλὰ καὶ τῷ πρακτικός· ὁ δ' ἀκρατὴς, οὐ πρακτικός. Τὸν δὲ δεινὸν οὐδὲν κωλύει

[x] N C. caret δὲ. [y] Ἐγκρατὴς Ven. 1. [z] Ἕτερον N C. [a] Bas. τὰ σωματικὰ καὶ ἡδέα: at non Lamb.

perantiæ duntaxat videtur adversari, sic et incontinentiæ continentia. Sed quando quidem ex similitudine multa dicuntur, temperantis quoque continentia ex similitudine quadam ducta est: nam et continens et temperans ejusmodi sunt, ut nihil a ratione faciant alienum propter corporis voluptates: sed hoc interest, quod ille pravis afficitur cupiditatibus, hic non item: et hic ejusmodi est, ut nullà re delectetur præter rationem; ille ejusmodi, ut delectetur quidem, sed non ut trahatur. Similes sunt quoque inter se incontinens et intemperans: et cum inter se alioquin differant, ambo corporis delectationes persequuntur: sed hic ita ut existimet eas sequi oportere, ille ita ut non existimet.

CAP. X.

NEQUE vero fieri potest, ut idem una prudens sit, et incontinens: nam prudentem etiam bonum virum simul esse ostendimus. Præterea non ex eo solum prudens aliquis est, quod sciat, sed ex eo etiam quod ad res agendas idoneus sit: at incontinens ad agendum ineptus est. Solertem autem nihil prohibet incontinentem

ἀκρατῆ [b] εἶναι· διὸ καὶ δοκοῦσιν ἐνίοτε [c] φρόνιμοι εἶναί τινες, ἀκρατεῖς δὲ, διὰ τὸ τὴν δεινότητα διαφέρειν τῆς φρονήσεως τὸν εἰρημένον τρόπον ἐν τοῖς πρώτοις λόγοις· καὶ κατὰ μὲν τὸν λόγον ἐγγὺς εἶναι, διαφέρειν δὲ κατὰ τὴν προαίρεσιν. Οὐδὲ δὴ ὡς ὁ εἰδὼς καὶ θεωρῶν, ἀλλ' ὡς ὁ καθεύδων ἢ οἰνωμένος· καὶ ἑκὼν μέν· τρόπον γάρ τινα εἰδὼς, καὶ ὃ ποιεῖ, καὶ οὗ ἕνεκα· πονηρὸς δ' οὔ· ἡ γὰρ προαίρεσις, ἐπιεικής· ὥσθ' ἡμιπόνηρος, καὶ οὐκ ἄδικος, οὐ γὰρ [d] ἐπίβουλος. Ὁ μὲν γὰρ αὐτῶν οὐκ ἐμμενετικὸς, οἷς ἂν βουλεύσηται· ὁ δὲ μελαγχολικὸς, οὐδὲ βουλευτικὸς ὅλως. Καὶ ἔοικε δὴ ὁ ἀκρατὴς πόλει, ἣ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα, καὶ νόμους ἔχει σπουδαίους, χρῆται δ' οὐδενὶ, ὥσπερ [e] Ἀναξανδρίδης ἔσκωψεν·

Ἡ πόλις [f] ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει·

[b] Post εἶναι addit C C C. τὸ ἦθος, quod videtur esse interpretamentum. [c] Quidam post φρόνιμοι inserunt μέν. [d] Ἐπίβουλος hic non tam videtur significare *insidiatorem*, quam *eum, qui ἐπὶ βουλῇ*, i. è. *consulto facit:* nam et Plato ita interdum accipit nomen ἐπιβουλῆς. *Muret.* [e] Poeta tragicus e Rhodo insula, qui cum contra Athenienses carmen, cujus hic meminit Aristoteles, scripsisset, fame et inedia ab iis necatus est. *Zuing.* Sycophanta in Pluto, cum dixisset se esse φίλον ἐπιμελητὴν πραγμάτων, interrogatus τί μαθών; respondet βούλομαι. *Camerarius.* [f] Est versus trimeter; legendum autem censeo ἐβούλευ'. *Lambin.* Legendum ἐβούλευ'. *Muret.*

esse: itaque etiam videntur interdum nonnulli prudentes esse, et tamen incontinentes: quia solertia differt a prudentia eo modo, quo modo superiore libro diximus: et propterea quia ratione sunt duo illa quidem finitima, sed consilio differunt. Neque etiam incontinens instar ejus est, qui scit, eaque quæ scit, re considerat, et animo contemplatur; sed ejus, qui dormit, vel qui vino obrutus est: et vero sua sponte facit quidem ille; facit enim quodammodo sciens et quid, et cujus rei gratia faciat: sed improbus non est tamen; consilium enim ejus bonum est: itaque dimidia ex parte malus est: neque injustus est; quoniam non est subdolus aut insidiosus. Incontinentium enim aliqui non perstant in eis, quæ deliberarint: ii autem, qui atra bile laborant, ne ad consultandum quidem ulla ex parte apti sunt. Similis igitur est incontinens ei civitati, quæ omnia quidem decernit, quæ sunt decernenda, legesque habet bonas atque utiles, sed nulla earum utitur: quemadmodum Anaxandrides salse dixit:

Consultat, a qua spernitur lex, civitas:

ὁ δὲ πονηρὸς, χρωμένῃ μὲν τοῖς νόμοις, πονηροῖς δὲ χρωμένῃ. Ἔστι δ' ἀκρασία καὶ ἐγκράτεια περὶ τὸ ὑπερβάλλον τῆς τῶν πολλῶν ἕξεως· ὁ μὲν γὰρ ἐμμένει μᾶλλον, ὁ δ' ἧττον, τῆς τῶν πλείστων δυνάμεως. Εὐιατοτέρα δὲ τῶν ἀκρασιῶν, ἣν οἱ μελαγχολικοὶ ἀκρατεύονται, τῶν [g] βουλευσαμένων μὲν, μὴ ἐμμενόντων δέ· καὶ οἱ δι' ἐθισμοῦ ἀκρατεῖς, τῶν φυσικῶν· ῥᾷον γὰρ ἔθος μετακινῆσαι φύσεως. Διὰ γὰρ τοῦτο καὶ τὸ [h] ἔθος χαλεπὸν, ὅτι [i] τῇ φύσει ἔοικεν, ὥσπερ καὶ [k] Εὔηνος λέγει,

Φημὶ πολυχρόνιον μελέτην [l] ἔμεναι φίλε· καὶ δὴ
Ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

Τί μὲν οὖν ἐστιν ἐγκράτεια, καὶ τί ἀκρασία, καὶ καρτερία [m] καὶ μαλακία, καὶ πῶς ἔχουσιν αἱ ἕξεις αὗται πρὸς ἀλλήλας, εἴρηται.

[g] Βουλευομένων N C. [h] Ἐθισμὸν N C. [i] Μὴ τῇ φύσει El. [k] Parius fuit, Elegorum scriptor, cujus Fragmenta aliquot hodie circumferuntur. [l] Μεῖναι Muret. [m] Καὶ τί μαλακία. El.

malus autem ei similis est, quæ legibus utitur, sed malis utitur. Versatur autem incontinentia, et continentia in eo, quod magnæ partis hominum habitum superat: continens enim magis, incontinens minus, quam maxima pars hominum possit, in recta ratione permanet. Ea autem incontinentia sanabilior est, quæ inest in incontinentibus atra bile affectis, quam eorum, qui in eo, quod deliberarunt, non permanent: faciliusque sanari possunt, qui ex consuetudine, quam qui ex natura, incontinentiam contraxerunt: facilius est enim consuetudinem mutare, quam naturam. Propterea enim et consuetudinem mutare difficile est, quia naturæ similis est, quemadmodum ait Euenus,

Multos, quod partum est meditando, permanet annos,
Atque in naturam tandem convertitur usus.

Quid igitur sit continentia, quid incontinentia: quid tolerantia et mollities: et quam inter se hi habitus rationem habeant, hactenus a nobis expositum est.

ΚΕΦ. ια'.

[a]ΠΕΡΙ δὲ ἡδονῆς καὶ λύπης θεωρῆσαι, τοῦ τὴν πολιτικὴν [o]φιλοσοφοῦντος· οὗτος γὰρ τοῦ τέλους ἀρχιτέκτων, πρὸς ὃ βλέποντες, ἕκαστον, τὸ μὲν κακὸν, τὸ δ' ἀγαθὸν ἁπλῶς λέγομεν. Ἔτι δὲ, καὶ τῶν ἀναγκαίων ἐπισκέψασθαι περὶ αὐτῶν· τήν τε γὰρ ἀρετὴν καὶ τὴν κακίαν τὴν ἠθικὴν περὶ λύπας καὶ ἡδονὰς [p]ἔθεμεν· καὶ τὴν εὐδαιμονίαν οἱ πλεῖστοι μεθ' ἡδονῆς εἶναί φασι. Διὸ καὶ τὸν μακάριον ὠνομάκασιν [q]ἀπὸ τοῦ χαίρειν. Τοῖς μὲν οὖν δοκεῖ οὐδεμία ἡδονὴ εἶναι [r]ἀγαθὸν, οὔτε καθ' αὑτὸ, οὔτε κατὰ συμβεβηκός· οὐ γὰρ εἶναι τὸ αὐτὸ ἀγαθὸν καὶ ἡδονήν· τοῖς δ' ἔνιαι μὲν εἶναι, αἱ δὲ πολλαὶ φαῦλαι· ἔτι δὲ τούτων τρίτον, εἰ καὶ

[a] Suspecta quibusdam est isto loco tota hæc de voluptate Disputatio, quæ librum hunc claudit: nam proprius ejus Disputationis locus est libro decimo; ubi Philosophus de voluptate tractat ex professo et accuratius. Non solet autem Aristoteles in eodem opere ex professo rem eandem bis explicare; tam multis præsertim: neque sane aut in Magnis Moralibus aut Eudemiis de voluptate duobus locis ab eo actum. Fortasse igitur ex Eudemiis male fuerunt ista jam olim huc a quibusdam translata, qui cum viderent septimum hunc librum eundem prorsus esse cum sexto illius operis, nisi quod hæc amplius sextus Eudemiorum haberet quam iste, assuenda illa hic quoque putant; haud animadvertentes ibi quidem necessario ista legi, quia non alibi in Eudemiis hæc tractantur: hic non ita; quia alius locus in hoc opere ei quæstioni est destinatus. Atque ut hoc probabiliter dici potest, sic nec aliter sentientibus suæ rationes desunt. *Casaubonus.* [o] Φιλοσόφου N C. [p] Vide supra lib. ii. cap. 4. [q] Ἀπὸ τοῦ μάλιστα χαίρειν Lambinus e cod. MS. Coloniensi. Μάλα χαίρειν Camerarius. [r] Ταὐτὸν ἀγαθὸν N C.

CAP. XI.

DE voluptate autem et dolore cognoscere ejus hominis est, qui in civilis prudentiæ studio se versari profitetur: hic enim ultimi bonorum omnium magister, et veluti architectus est: quod intuentes, unumquidque partim malum, partim bonum simpliciter dicere solemus. Præterea vero necessario nobis de iis disputandum et considerandum est: nam cum virtutes et vitia, quæ ad mores pertinent, in voluptate ac dolore locavimus; tum plerique vitam beatam cum voluptate copulatam esse dicunt. Itaque et μακάριον, beatum, ἀπὸ τοῦ μάλιστα χαίρειν, id est, a maxime gaudendo, nominarunt. Primum igitur sunt qui nullam voluptatem bonum esse censent, neque per se, neque ex eventu; non enim idem esse bonum et voluptatem: alii nonnullas esse bonas, multas vero malas: tertii disputant, etiamsi vo-

πᾶσαι ἀγαθὸν, ὅμως μὴ ἐνδέχεσθαι εἶναι τὸ ἄριστον ἡδονήν. Ὅλως μὲν οὖν οὐκ ἀγαθὸν, ὅτι [s]πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς [t]φύσιν αἰσθητή· οὐδεμία δὲ γένεσις συγγενὴς τοῖς τέλεσιν· οἷον οὐδεμία οἰκοδόμησις οἰκίᾳ. Ἔτι, ὁ σώφρων φεύγει τὰς ἡδονάς. Ἔτι, ὁ φρόνιμος τὸ ἄλυπον διώκει, οὐ τὸ ἡδύ. Ἔτι ἐμπόδιον τῷ φρονεῖν αἱ ἡδοναὶ, καὶ ὅσῳ μᾶλλον χαίρει, μᾶλλον· οἷον τὴν τῶν ἀφροδισίων· οὐδένα γὰρ [u]ἂν δύνασθαι νοῆσαί τι ἐν αὐτῇ. Ἔτι, τέχνη οὐδεμία ἡδονῆς· καίτοι πᾶν ἀγαθὸν, τέχνης ἔργον. Ἔτι, τὰ παιδία καὶ τὰ θηρία διώκει τὰς ἡδονάς. Τοῦ δὲ μὴ πάσας σπουδαίας, ὅτι εἰσὶ καὶ αἰσχραὶ καὶ ὀνειδιζόμεναι, καὶ ὅτι βλαβεραί· νοσώδη γὰρ ἔνια τῶν ἡδέων. [x]Ὅτι δ' οὐκ ἄριστον [y]ἡ ἡδονὴ, ὅτι οὐ τέλος, ἀλλὰ γένεσις. Τὰ μὲν οὖν λεγόμενα σχεδὸν ταῦτ' ἐστίν.

[s] Πᾶσιν N C. [t] Bas. in margine eodem casu legit, φύσιν αἰσθητήν: et mox in textu οὐδεμία γὰρ γένεσις. Sed αἰσθητὴ omnino legendum. [u] Quidam codd. carent ἄν. [x] Γρ. ἔτι δ'. [y] Οὐδεμία ἡ ἡδονὴ N C.

luptates omnes sint bonum, non posse fieri tamen, ut summum bonum sit voluptas. Omnino igitur non est bonum: quia voluptas omnis ad naturam ortus est, qui sensu percipi possit: at nullus ortus finibus est cognatus: ut nulla ædificatio cum ædibus cognationem habet. Præterea temperans fugit voluptates. Tum prudens indolentiam persequitur, non voluptatem. Deinde prudenter sentiendi facultatem impediunt voluptates, eoque magis, quo quisque magis delectatur: qualis est ea, quæ ex rebus venereis percipitur: in ea voluptate enim neminem quicquam animo agitare, aut ratione explicare posse. Præterea voluptatis ars nulla est: atqui quicquid est bonum, artis opus est. Tum vero voluptates pueri et bestiæ persequuntur. Non omnes autem esse bonas, id declarat, quod sunt etiam aliquæ turpes, et quæ vitio vertuntur, et quæ damnum afferunt: quædam enim eorum, quæ jucunda sunt, morbos gignunt. Jam vero neque summum bonum est voluptas, quia non finis, sed ortus est. Atque hæc fere sunt, quæ contra voluptatem disputantur.

ΚΕΦ. ιβ΄.

ΟΤΙ δὲ οὐ συμβαίνει διὰ ταῦτα μὴ εἶναι ἀγαθὸν, μηδὲ τὸ ἄριστον, ἐκ τῶνδε δῆλον. Πρῶτον μὲν, ἐπεὶ τὸ ἀγαθὸν διχῶς· τὸ μὲν γὰρ ἁπλῶς, τὸ δέ τινι· [z] καὶ αἱ φύσεις καὶ αἱ ἕξεις ἀκολουθήσουσιν. Ὥστε καὶ αἱ κινήσεις καὶ αἱ γενέσεις [a] ἀκολουθήσουσι. Καὶ αἱ φαῦλαι δοκοῦσαι, [b] αἱ μὲν ἁπλῶς φαῦλαι, τινὶ δ' οὐ, ἀλλ' αἱρεταὶ τῷδε· ἔνιαι δὲ, οὐδὲ τῷδε, ἀλλά ποτε καὶ ὀλίγον χρόνον, αἱρεταὶ δ' οὔ. Αἱ δὲ, οὐδὲ ἡδοναὶ, ἀλλὰ φαίνονται, ὅσαι μετὰ λύπης, καὶ ἰατρείας ἕνεκεν, οἷον αἱ τῶν καμνόντων. Ἔτι, ἐπεὶ τοῦ ἀγαθοῦ, τὸ μὲν ἐνέργεια, τὸ δ' ἕξις, κατὰ συμβεβηκὸς, αἱ καθιστᾶσαι εἰς τὴν φυσικὴν ἕξιν, ἡδεῖαί εἰσιν. [c] Ἔστι δ' ἡ ἐνέργεια ἐν ταῖς ἐπιθυμίαις τῆς [d] ὑπολύπου ἕξεως καὶ φύσεως. Ἐπεὶ

[z] Φύσεις et ἕξεις ponit hic pro eodem: item κινήσεις καὶ γενέσεις, ut ostendit in istis verbis, ἕξεως καὶ φύσεως. Lego autem: καὶ αἱ φύσεις καὶ ἕξεις, καὶ αἱ κινήσεις καὶ γενέσεις ἀκολουθοῦσι, i. e. *pro varietate habituum varii sunt appetitus:* nam alia appetimus καθεστηκυίας τῆς φύσεως, alia ἐνδεούσης. [a] Ἀκολουθοῦσιν καὶ αἱ φαῦλαι εἶναι δοκοῦσαι Vetus Interpres. [b] Αἱ μὲν absunt a quibusdam codd. [c] Ὅτι αἱ ἐνέργειαι El. in margine vero ἔστι δ' ἡ ἐνέργεια. [d] Ὑπολοίπου Lambinus. Utrumque agnoscit Aspas. *Indigentis et imperfecti* Vet. Interp. ergo legisse videtur ὑπελλιποῦς: at ὑπόλοιπος est *reliquus*, ὑπόλυπος nihil est. Legendum igitur forte ὑπελλιποῦς, aut potius ἐπιλειποῦς, et ita est: solvit rationem adductam ad confirmationem tertiæ opinionis. *Mur.*

CAP. XII.

EX his autem non effici, ut neque bonum, neque summum bonum sit voluptas, ea, quæ dicemus, declarabunt. Primum, quia cum duobus modis dicatur bonum: unumque sit, quod absolute et per se bonum est; alterum, quod alicui est bonum: eandem partitionem sequentur et naturæ et habitus. Eandem igitur et motiones et ortus. Et quæ malæ videntur voluptates, earum aliæ sunt simpliciter malæ, sed alicui non malæ, immo huic optabiles: aliæ ne huic quidem sunt optabiles, sed aliquando, et non diu: non sunt tamen optabiles. Hæ autem ne sunt quidem voluptates, sed videntur, nempe quotquot cum dolore aliquo conjunctæ sunt, et quæ curationis causa adhibentur, ut ægrotorum. Præterea cum bonum aliud sit muneris functio, aliud habitus: eæ voluptates, quæ in naturalem habitum restituunt, ex eventu jucundæ sunt. Inest autem in cupiditatibus functio habitus et naturæ aliqua re ca-

καὶ ἄνευ λύπης καὶ ἐπιθυμίας εἰσὶν ἡδοναὶ, οἷον αἱ τοῦ θεωρεῖν ἐνέργειαι, τῆς φύσεως οὐκ ἐνδεούσης. Σημεῖον δ', ὅτι οὐ τῷ αὐτῷ ἡδεῖ χαίρουσιν, ἀναπληρουμένης τε τῆς φύσεως καὶ καθεστηκυίας· [e]ἀλλὰ καθεστηκυίας μὲν τοῖς ἁπλῶς ἡδέσιν, ἀναπληρουμένης δὲ καὶ τοῖς ἐναντίοις. Καὶ γὰρ ὀξέσι καὶ πικροῖς χαίρουσιν, ὧν οὐδὲν οὔτε φύσει ἡδὺ, οὔθ' ἁπλῶς ἡδύ· ὥστε οὐδ' αἱ ἡδοναί. Ὡς γὰρ τὰ ἡδέα πρὸς ἄλληλα συνέστηκεν, οὕτω καὶ [f]αἱ ἡδοναὶ αἱ ἀπὸ τούτων. Ἔτι, οὐκ ἀνάγκη ἕτερόν τι εἶναι βέλτιον τῆς ἡδονῆς, ὥσπερ τινές φασι τὸ τέλος τῆς γενέσεως· οὐ γὰρ γενέσεις εἰσὶν [g]αἱ ἡδοναὶ, οὐδὲ μετὰ γενέσεως πᾶσαι, ἀλλ' ἐνέργειαι καὶ τέλος. Οὐδὲ γινομένων συμβαίνουσιν, ἀλλὰ χρωμένων. Καὶ τέλος, οὐ πασῶν ἕτερόν τι, ἀλλὰ τῶν εἰς τὴν τελείωσιν ἀγομένων τῆς φύσεως. Διὸ [h]καὶ οὐ καλῶς ἔχει τὸ αἰσθητὴν γένεσιν φάναι εἶναι τὴν

[e] Bas. omittit repetitionem istam ἀλλὰ καθεστηκυίας: sed perperam. *Sylburg.*
[f] Αἱ deest El. [g] Αἱ ἡδοναὶ desunt El. [h] Καὶ non agnoscit El.

rentis. Sunt enim etiam aliquæ doloris et cupiditatis expertes voluptates: quales sunt functiones muneris in contemplando occupatæ, natura nihil desiderante nullaque re egente. Illas autem non esse veras voluptates, argumento est, quod non iisdem rebus jucundis delectantur homines, cum expletur, et cum in suo statu est natura: sed natura constituta, rebus delectantur absolute jucundis; cum expletur vero, etiam contrariis. Acribus enim et amaris gaudent: quorum nihil est neque natura, neque absolute jucundum: ergo ne voluptates quidem. Ut enim ea, quæ jucunda sunt, inter se comparantur, sic et eæ, quæ ab his oriuntur, voluptates. Nec vero necesse est aliud quicquam voluptate melius esse, ut aiunt nonnulli, finem ortu esse meliorem: voluptates enim non sunt ortus: ne omnes quidem sunt cum ortu conjunctæ: sed muneris functiones potius, et finis. Nec cum gignuntur res aliquæ, sed cum quibus rebus utimur, eveniunt atque existunt voluptates. Neque omnium voluptatum finis, quiddam ab illis diversum est, sed earum, quæ ad naturæ perfectionem perducunt. Quapropter neque recte dicunt voluptatem ortum sive generationem esse, quæ sensu percipi possit: sed dicendum fuit potius, esse

ἡδονὴν, ἀλλὰ μᾶλλον λεκτέον ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως· ἀντὶ [i]δὲ τοῦ αἰσθητὴν, ἀνεμπόδιστον. Δοκεῖ δὲ γένεσίς τις εἶναι, ὅτι κυρίως ἀγαθόν· τὴν γὰρ ἐνέργειαν γένεσιν οἴονται εἶναι· ἔστι δ' ἕτερον. Τὸ δ' εἶναι φαύλας, ὅτι νοσώδη ἔνια ἡδέα, τὸ αὐτὸ καὶ ὅτι ὑγιεινὰ, ἔνια φαῦλα πρὸς χρηματισμόν. Ταύτῃ οὖν [k]φαῦλα ἄμφω, ἀλλ' οὐ φαῦλα, κατά γε τοῦτο· ἐπεὶ καὶ τὸ θεωρεῖν ποτε βλάπτει πρὸς ὑγίειαν· ἐμποδίζει δὲ, οὔτε φρονήσει, οὔθ' ἕξει οὐδεμίᾳ ἡ ἀφ' ἑκάστης ἡδονὴ, ἀλλὰ αἱ ἀλλότριαι· ἐπεὶ αἱ ἀπὸ τοῦ θεωρεῖν καὶ μανθάνειν, μᾶλλον ποιήσουσι θεωρεῖν καὶ μανθάνειν. Τὸ δὲ τέχνης μὴ εἶναι ἔργον μηδεμίαν ἡδονὴν, εὐλόγως συμβέβηκεν· οὔτε γὰρ ἄλλης ἐνεργείας οὐδεμιᾶς τέχνη ἐστὶ, [l]τῆς δυνάμεως· καίτοι καὶ ἡ μυρεψικὴ τέχνη, καὶ ἡ ὀψοποιητικὴ δοκεῖ ἡδονῆς εἶναι. Τὸ δὲ τὸν σώφρονα φεύγειν, καὶ τὸν φρόνιμον διώκειν τὸν ἄλυπον βίον, καὶ τὸ τὰ παιδία καὶ τὰ θηρία διώ-

[i] Δὲ caret El. [k] Κατὰ συμβιβηκὸς scilicet. *Zuing.* [l] Bas. et Cam. ante τῆς δυνάμεως inserunt ἀλλά: itidemque Lambinus. *Sylb.*

functionem muneris habitus cum natura consentientis: et in locum illorum verborum, Quæ sensu percipi possit, substituendum est, Non impeditam. Idcirco autem ortum quendam esse existimant, quia proprie bonum est: nam functionem muneris ortum esse arbitrantur: sed aliud est. Quod autem declarari ex eo putant voluptates esse malas, quia nonnulla jucunda morbos pariunt: eadem ratio contra salubria facit, quia nonnulla eorum sunt ad pecuniam quærendam inutilia. Hac igitur ratione erunt utraque mala: sed non idcirco mala sunt: nam etiam causas rerum animo contemplari, et discere, nocet interdum valetudini: sed neque prudentiam, neque ullum alium habitum voluptas impedit ea, quæ ab unoquoque habitu proficiscitur; sed quæ sunt alienæ: eæ enim, quæ ex contemplatione rerum et disciplina manant voluptates, efficient ut magis ac magis contemplemur, et discamus. Nullam vero voluptatis artem esse, non est mirum: neque id sine ratione accidit: nam neque ullius functionis ars est, sed facultatis potius: quanquam unguentaria et culinaria videntur esse voluptatis artes. Quod vero aiunt temperantem fugere voluptates, et prudentem sequi vi-

κειν, τῷ αὐτῷ λύεται πάντα. Ἐπεὶ γὰρ εἴρηται πῶς ἀγαθαὶ ἁπλῶς, καὶ πῶς οὐκ ἀγαθαὶ πᾶσαι αἱ ἡδοναὶ, τὰς τοιαύτας τὰ παιδία καὶ τὰ θηρία διώκει, καὶ τὴν τούτων ἀλυπίαν ὁ φρόνιμος, τὰς μετ' ἐπιθυμίας καὶ λύπης, καὶ τὰς σωματικάς· τοιαῦται γὰρ αὗται· καὶ τὰς τούτων ὑπερβολὰς, καθ' ἃς ὁ ἀκόλαστος.[m] ἀκόλαστος. Διὸ ὁ σώφρων φεύγει ταύτας· ἐπεί εἰσιν ἡδοναὶ καὶ σώφρονος.

ΚΕΦ. ιγ'.

ΑΛΛΑ μὴν ὅτι καὶ ἡ λύπη κακὸν, ὁμολογεῖται, καὶ φευκτόν· ἡ μὲν γὰρ ἁπλῶς κακὸν, ἡ δὲ [n] πῇ τῷ ἐμποδιστική. Τῷ δὲ φευκτῷ τὸ ἐναντίον, ᾗ φευκτόν τι καὶ κακὸν, ἀγαθόν. Ἀνάγκη οὖν τὴν ἡδονὴν ἀγαθόν τι εἶναι. Ὡς γὰρ [o] Σπεύσιππος [p] ἔλυεν, οὐ συμβαίνει ἡ λύσις· ὥσπερ τὸ μεῖζον τῷ ἐλάττονι, καὶ τῷ ἴσῳ [q] ἐναντίον· οὐ γὰρ ἂν φαίη ὅπερ

[m] Posterior ἀκόλαστος deest El. [n] Cam. et El. τῷ πῇ; sed πῇ τῷ Lamb. Sylb. et Duvall. quos sequimur. [o] Vide lib. x. cap. 2. [p] Ἔλεγεν El. [q] Τὸ ἐναντίον El. et Bas. qui mox habet φαίης pro φαίη. [r] Quidam Codices omittunt τῶν.

tam a dolore vacuam: pueros autem et bestias voluptates consectari: eadem ratione hæc omnia dissolvuntur. Nam quoniam exposuimus, quemadmodum sint absolute bonæ voluptates, et quemadmodum non omnes bonæ: has tales pueri et bestiæ persequuntur, harumque indolentiam vir prudens: eas, inquam, quæ cum cupiditate et dolore conjunctæ sunt, et quæ ad corpus pertinent (sunt enim hæ hujusmodi) earumque immoderationes, ex quibus intemperans et dicitur et est intemperans. Quo fit, ut has fugiat temperans: nam sunt et temperantis propriæ quædam voluptates.

CAP. XIII.

INTER omnes porro convenit, malum esse dolorem, ac fugiendum: alius enim absolute malum est, alius aliquo modo, nempe quod impedit. Quod autem rei fugiendæ contrarium est, qua fugienda et mala, bonum est. Necessario igitur bonum quiddam est voluptas. Neque enim ea, qua utebatur Speusippus, dissolutio quadrat: ut majus minori et æquali contrarium est, sic voluptati duo esse contraria, et dolorem, et id, quod medium est: non enim dixerit, voluptates idem esse, quod

κακόν τι εἶναι τὴν ἡδονήν. Ἄριστον δ' οὐδὲν κωλύει ἡδονήν τινα εἶναι, εἰ ἔνιαι φαῦλαι ἡδοναὶ, ὥσπερ καὶ ἐπιστήμην τινὰ, ἐνίων φαύλων οὐσῶν. Ἴσως δὲ καὶ ἀναγκαῖον, εἴ περ ἑκάστης ἕξεώς εἰσιν ἐνέργειαι ἀνεμπόδιστοι, εἴθ' ἡ πασῶν ἐνέργειά ἐστιν εὐδαιμονία, εἴτε ἡ τινὸς αὐτῶν, ἂν ᾖ ἀνεμπόδιστος, αἱρετωτάτην εἶναι· τοῦτο δ' ἐστὶν ἡδονή. Ὥστε εἴη ἄν τις ἡδονὴ τὸ ἄριστον, [t]τῶν πολλῶν ἡδονῶν φαύλων οὐσῶν, εἰ ἔτυχεν ἁπλῶς. Καὶ διὰ τοῦτο πάντες τὸν εὐδαίμονα, ἡδὺν οἴονται βίον εἶναι, καὶ ἐμπλέκουσι τὴν ἡδονὴν εἰς τὴν εὐδαιμονίαν, εὐλόγως· οὐδεμία γὰρ ἐνέργεια τέλειος, ἐμποδιζομένη· ἡ δ' εὐδαιμονία, τῶν τελείων. Διὸ προσδεῖται ὁ εὐδαίμων τῶν ἐν σώματι ἀγαθῶν, ϗ τῶν ἐκτὸς, ϗ τῆς τύχης, ὅπως μὴ ἐμποδίζηται [s]ταῦτα. Οἱ δὲ τὸν τροχιζόμενον καὶ τὸν δυστυχίαις μεγάλαις περιπίπτοντα, εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθὸς, ἢ [u]ἑκόντες, ἢ ἄκοντες, οὐδὲν λέγουσι. Διὰ δὲ τὸ προσδεῖσθαι τῆς τύχης, δοκεῖ τισι ταὐτὸν εἶναι ἡ εὐτυχία τῇ

[s] Ταῦτα deest N C. [t] *Ἂν N C. [u] *Ratione ita persuasi.* Zuing.

aliquod malum. Jam vero nihil prohibet, si nonnullæ voluptates malæ sunt, quo minus aliqua voluptas sit summum bonum: quemadmodum et scientia aliqua est optima, etiamsi aliquæ sint malæ. Immo vero fortasse et necesse est, siquidem uniuscujusque habitus functiones liberæ sunt et non impeditæ, sive omnium habituum functio beatitudo est, sive alicujus eorum, modo non sit impedita, eam maxime esse expetendam: at hoc est voluptas. Itaque erit aliqua voluptas summum bonum, cum sint multæ, si fors ita ferat, absolute malæ. Atque ob hanc causam, vitam beatam, jucundam esse omnes existimant, et beatitudinem cum voluptate connectunt, non injuria: nulla enim muneris functio, si impediatur, perfecta esse potest: at beatitudo, in perfectis rebus numeratur. Quocirca et corporis et externa bona, et fortunam quoque, ne hæc impediantur, desiderat beatus. Qui autem ei, qui in rota crucietur, et qui maximis calamitatibus afficiatur, beato esse licere dicunt, modo vir bonus sit, nihil dicunt, sive sua sponte, sive inviti dicant. Propterea autem quod fortunam desiderat, quibusdam vi-

εὐδαιμονίᾳ, οὐκ οὖσα· ἐπεὶ καὶ αὐτὴ ὑπερβάλλουσα, ἐμπόδιός ἐστι. Καὶ ἴσως [x] οὐκ ἔτι εὐτυχίαν καλεῖν δίκαιον· πρὸς γὰρ τὴν εὐδαιμονίαν ὁ ὅρος αὐτῆς. Καὶ τὸ διώκειν δὲ ἅπαντα καὶ θηρία καὶ ἀνθρώπους τὴν ἡδονὴν, σημεῖόν τι τοῦ εἶναί πως [y] ἄριστον αὐτήν.

[z] Φήμη δ' οὔ τί γε πάμπαν ἀπόλλυται, ἥν τινα λαοὶ
Πολλοὶ φημίζωσιν.

Ἀλλ' ἐπεὶ [a] οὐχ ἡ αὐτὴ οὔτε φύσις, οὔθ' ἕξις ἡ ἀρίστη, οὔτ' ἔστιν, οὔτε δοκεῖ, οὐδ' ἡδονὴν διώκουσι τὴν αὐτὴν πάντες· ἡδονὴν μέντοι πάντες. Ἴσως δὲ καὶ διώκουσιν, οὐχ ἣν οἴονται, οὐδ' ἣν ἂν φαῖεν, ἀλλὰ τὴν αὐτήν· [b] πάντα γὰρ φύσει ἔχει τι θεῖον. Ἀλλ' εἰλήφασί [c] γε τὴν τοῦ ὀνόματος κληρονομίαν αἱ σωματικαὶ ἡδοναὶ, διὰ τὸ πλειστάκις τε παραβάλλειν εἰς αὐτὰς, καὶ πάντας μετέχειν αὐτῶν. Διὰ τὸ μόνας οὖν γνω-

[x] Οὐκ ἔστιν εὐτυχίας πῶς. N C. [y] Τὸ ἄριστον El. et N C. [z] Versus qui hic citantur Hesiodi sunt, in fine Ἔργων, ubi pro οὔ τί γε vulg. Editt. habent οὔ τις; et mox,

——— ἥν τινα πολλοὶ
Λαοὶ φημίζουσι. ——— *Sylb.*

[a] Οὐχὶ El. [b] Πάντα γὰρ τοῦ ἀγαθοῦ ἐφίεται φύσει, ὅτι φύσει τι θεῖον ἔγκειται πᾶσι, καὶ πρὸς τὴν ἀγαθὴν ἡδονὴν καὶ κυρίως ἅπαντα φέρεται. *Andron.* [c] Γε deest El. et mox τι Basil. post πλειστάκις.

detur idem esse vita beata, atque secunda fortuna, cum longe aliud sit: nam etiam ipsa, si sit immoderata, impedimento est vitæ beatæ. Nec ea jam fortasse secunda fortuna jure nominatur: ea enim circumscribitur ac definitur ex ipsius cum vita beata comparatione. Et quod omnes et bestiæ et homines persequuntur voluptatem, argumento est eam quodammodo esse summum bonum.

Fama autem haud dubie non funditus interit illa,
Quam multi celebrant populi.

Sed quoniam neque eadem natura optima, neque idem habitus optimus est, nec videtur: ne eandem quidem sequuntur omnes voluptatem: sed omnes tamen voluptatem. Fortasse vero etiam sequuntur non eam, quam putant, neque eam, quam dixerint, sed eandem: in omnibus enim divinum quiddam inest natura. Sed nominis hæreditas venit ad corporis voluptates, propterea quod plerumque sese ad eas homines applicant, earumque sunt omnes participes. Quia igitur

ῥίμους εἶναι, ταύτας μόνας οἴονται εἶναι. Φανερὸν δὲ καὶ ὅτι εἰ μὴ ἡδονὴ ἀγαθὸν, καὶ ἡ ἐνέργεια, οὐκ ἔσται ζῆν ἡδέως τὸν εὐδαίμονα· τίνος γὰρ ἕνεκα δέοι ἂν αὐτῆς, εἴ περ μὴ ἀγαθόν; Ἀλλὰ καὶ λυπηρῶς ἐνδέχεται ζῆν· οὔτε κακὸν γὰρ, οὔτ᾽ ἀγαθὸν ἡ λύπη, εἴ περ μηδ᾽ ἡδονή· ὥστε διὰ τί ἂν [d]φεύγοι; Οὐδὲ δὴ ἥδιων ὁ βίος ὁ τοῦ σπουδαίου, εἰ μὴ καὶ αἱ ἐνέργειαι αὐτοῦ.

ΚΕΦ. ιδʹ.

ΠΕΡΙ δὲ δὴ τῶν σωματικῶν ἡδονῶν ἐπισκεπτέον [e]τοῖς λέγουσιν, ὅτι [f]ἔνιαι ἡδοναὶ αἱρεταὶ σφόδρα, οἷον αἱ καλαὶ, ἀλλ᾽ οὐχ αἱ σωματικαὶ, καὶ περὶ ἃς ὁ ἀκόλαστος. Διὰ τί οὖν αἱ ἐναντίαι λῦπαι, μοχθηραί; κακῷ γὰρ ἀγαθὸν ἐναντίον. Ἢ οὕτως ἀγαθαὶ [g]αἱ ἀναγκαῖαι, ὅτι καὶ τὸ μὴ κακὸν ἀγαθόν ἐστιν, ἢ μέχρι του ἀγαθαί; τῶν μὲν γὰρ ἕξεων καὶ κινήσεων ὅσων μή ἐστι τοῦ βελτίονος ὑπερβολὴ, οὐδὲ τῆς

[d] Φεύγῃ El. [e] Γρ. πῶς λέγουσιν. [f] Ἔνιαί γε ἡδοναὶ El. et alii nonnulli.
[g] Γρ. Ὡς ἀναγκαῖαι.

hæ solæ notæ sunt, idcirco has solas putant esse voluptates. Perspicuum autem etiam illud est, si neque voluptas, neque functio muneris, bonum sit, virum beatum jucunde non victurum: quamobrem enim ea desideretur, si non sit bonum? Immo vero fieri etiam poterit, ut in dolore ac molestia ætatem agat: nam neque dolor erit malum, siquidem neque voluptas bonum: itaque cur eum fugiat? Nihilo vero erit jucundior viri boni vita, nisi etiam ejus muneris functiones sint jucundiores.

CAP. XIV.

JAM vero de corporis voluptatibus ii insuper considerare debent, qui nonnullas voluptates dicunt magnopere esse expetendas: quales sunt honestæ, non autem eæ, quæ ad corpus pertinent, et in quibus versatur intemperans. Cur igitur dolores his voluptatibus contrarii mali sunt? malo enim contrarium, bonum est. An ita dicendum, eas esse bonas, quæ sint necessariæ, quia etiam id, quod non est malum, bonum est? an usque ad aliquem finem bonæ sunt? nam quibus in habitibus ac motibus, ejus, quod est melius, nimium

ἡδονῆς· [h]ὅσων δ' ἐστὶ, καὶ τῆς ἡδονῆς ἐστι. Τῶν δὲ σωματικῶν ἀγαθῶν ἐστιν ὑπερβολή· καὶ ὁ φαῦλος τῷ διώκειν τὴν ὑπερβολήν [i]ἐστιν, ἀλλ' οὐ τὰς ἀναγκαίας. Πάντες γὰρ χαίρουσί πως καί ὄψοις, καὶ οἴνοις, καὶ ἀφροδισίοις, ἀλλ' οὐχ ὡς δεῖ. Ἐναντίως δὲ ἐπὶ τῆς λύπης· οὐ γὰρ τὴν ὑπερβολὴν φεύγει, ἀλλ' ὅλως· οὐ γάρ ἐστι τῇ ὑπερβολῇ λύπη ἐναντία, [k]ἀλλ' ἢ τῷ διώκοντι τὴν ὑπερβολήν. Ἐπεὶ δ' οὐ μόνον δεῖ [l]τἀληθὲς εἰπεῖν, ἀλλὰ καὶ τὸ αἴτιον τοῦ ψεύδους· τοῦτο γὰρ συμβάλλεται πρὸς τὴν πίστιν· ὅταν γὰρ εὔλογον φανῇ τὸ διὰ τί φαίνεται ἀληθὲς, οὐκ ὂν ἀληθὲς, πιστεύειν ποιεῖ τῷ ἀληθεῖ μᾶλλον· ὥστε λεκτέον διὰ τί φαίνονται αἱ σωματικαὶ ἡδοναὶ αἱρετώτεραι. Πρῶτον μὲν [m]οὖν δὴ ὅτι [n]ἐκκρούει τὴν λύπην, καὶ διὰ τὰς ὑπερβολὰς τῆς λύπης, ὡς οὔσης ἰατρείας, τὴν ἡδονὴν διώκουσι τὴν ὑπερβάλλουσαν, καὶ ὅλως τὴν σωματικήν. Σφοδραὶ δὲ γίνονται αἱ ἰατρεῖαι, διὸ καὶ διώκονται διὰ

[h] Γρ. Ὀσίων. [i] Vetus Interpres addit: φαῦλός ἐστι, καὶ τὰ ἀφροδίσια. [k] Γρ. Ἀλλ' ἢ τῷ δ'. [l] Τὸ ἀληθὲς N C. [m] Οὖν deest N C. [n] Ἐκκρούουσι N C. C C C. et Andron. quæ vera videtur esse lectio.

non reperitur, ne eorum voluptatis quidem nimium est: quorum autem nimium reperitur, voluptatis quoque nimium reperitur. Corporis autem bonorum aliquod est nimium, et malus quisque ex eo est, quod immoderatas voluptates sequatur, non quod necessarias. Delectantur enim omnes quodammodo obsoniis, vino, et rebus venereis, sed non ita ut oportet. Contra fit in dolore: nam non fugit quisque immoderatum dolorem, sed omnino dolorem: non enim nimio dolor est contrarius, nisi ei, qui nimium consectatur. Quoniam autem non solum oratio vera esse debet, verum etiam causa cur falsa pro veris habita sint, aperienda est (hoc enim ad fidem faciendum valet: nam cum probabilis ratio visa fuerit, quamobrem visum sit aliquid verum, quod verum non esset, tum magis adducimur ut vero fidem habeamus) idcirco exponenda ratio est, cur voluptates corporis magis expetendæ videantur. Primo nimiam voluptatem et eam, quæ corporis est, tum quia dolorem discutit, tum propter immoderatos dolores, tanquam medicamentum et curationem quandam persequuntur. Curationes autem omnes sunt

τὸ [o] παρὰ τὸ ἐναντίον φαίνεσθαι. Καὶ οὐ σπουδαῖον δὴ δοκεῖ ἡ ἡδονὴ, διὰ δύο ταῦτα, ὥσπερ εἴρηται· ὅτι αἱ μὲν φαύλης φύσεώς εἰσι πράξεις, ἢ ἐκ γενετῆς, ὥσπερ θηρίου· ἢ δι᾽ ἔθος, οἷον αἱ τῶν φαύλων ἀνθρώπων· αἱ δ᾽ ἰατρεῖαι, ὅτι ἐνδεοῦς, καὶ ἔχειν βέλτιον ἢ γίνεσθαι, αἱ δὲ [p] συμβαίνουσι [q] τελειουμένων. Κατὰ συμβεβηκὸς οὖν σπουδαῖαι. Ἔτι, διώκονται διὰ τὸ σφοδραὶ εἶναι, ὑπὸ τῶν ἄλλαις μὴ δυναμένων χαίρειν. Αὐτοὶ γοῦν αὑτοῖς δίψας τινὰς παρασκευάζουσιν. Ὅταν μὲν οὖν ἀβλαβεῖς, ἀνεπιτίμητον· ὅταν δὲ βλαβερὰς, [r] φαῦλον· οὔτε γὰρ ἔχουσιν ἕτερα ἐφ᾽ οἷς χαίρουσι, τό, τε [s] μηδέτερον πολλοῖς λυπηρὸν, διὰ τὴν φύσιν· [t] ἀεὶ γὰρ πονεῖ τὸ ζῶον, ὥσπερ καὶ οἱ φυσικοὶ [u] λόγοι μαρτυροῦσι, τὸ ὁρᾷν, τὸ ἀκούειν, φάσκοντες εἶναι λυπηρὸν, ἀλλ᾽ ἤδη συνήθεις ἐσμὲν,

[o] Sic habent libri fere omnes impressi. Nonnulli tamen legunt, περὶ τὸ ἐναντίον, quam scripturam nullo in codice reperi. *Lamb.* [p] Συμφαίρουσι N C. [q] Aspasius hoc, τελειουμένων, sic explanat: *Cum explentur cupiditate.* D. Thomas sic: *Cum ii, qui desiderant, perficiuntur, atque in integrum naturæ statum restituuntur.* Quæ sane inter se consentiunt, et concinunt. *Lambin.* [r] Φαῦλαι Codex Coloniensis. [s] Δὲ ἕτερον N C. [t] Εἰ πονεῖ El. a prima manu. [u] Λόγοι deest El. additur tamen ab altera manu.

vehementes, eoque studiose quæruntur, quia videntur cum suo contrario pugnare. E contra vero non esse bonum voluptas duabus videtur iisdem de causis, ut dictum est, partim quia voluptates vitiosæ naturæ sunt actiones, aut in primo animantis ortu, ut ferarum: aut propter consuetudinem, ut vitiosorum hominum: partim quia curationes, sunt ejus, quod aliquid desiderat: et possidere quam acquirere præstat: hæ autem percipiuntur, cum explentur cupiditate, et cum ii, qui illas desiderant, in perfectam naturam restituuntur. Ex eventu igitur bonæ sunt. Præterea consectantur eas quia sunt vehementes, ii, quibus aliæ oblectationes non suppetunt. Itaque sitim quandam sibi ipsis quærunt, atque arcessunt. Ubi igitur innoxias sequuntur, non est reprehendendum: ubi damnosas et perniciosas, malum: nam neque alia habent, quibus delectentur, et si neutrum præsto sit, multi dolore, molestiaque afficiuntur propter naturam: perpetuo enim labore defatigatur animal, ut etiam libri de natura scripti testantur: in quibus scriptum est, videre et audire laboriosum ac molestum esse: sed quotidiana consuetudine fieri, ut

ὥς φασιν. Ὁμοίως δ' ἐν μὲν τῇ νεότητι, διὰ τὴν αὔξησιν, ὥσπερ οἱ οἰνωμένοι διάκεινται, καὶ ἡδὺ ἡ νεότης. Οἱ δὲ μελαγχολικοὶ τὴν φύσιν αἰεὶ δέονται ἰατρείας· καὶ γὰρ τὸ σῶμα δακνόμενον διατελεῖ διὰ τὴν κρᾶσιν, καὶ ἀεὶ ἐν ὀρέξει σφοδρᾷ εἰσίν. Ἐξελαύνει δὲ ἡδονὴ λύπην, ἥ τε ἐναντία, καὶ ἡ τυχοῦσα, ἐὰν ᾖ ἰσχυρά· καὶ διὰ ταῦτα ἀκόλαστοι καὶ φαῦλοι γίνονται. Αἱ δ' ἄνευ λύπης, οὐκ ἔχουσιν ὑπερβολήν· αὗται δὲ, αἱ τῶν φύσει ἡδέων, καὶ μὴ κατὰ συμβεβηκός. Λέγω δὲ κατὰ συμβεβηκὸς ἡδέα τὰ ἰατρεύοντα· ὅτι γὰρ συμβαίνει ἰατρεύεσθαι τοῦ ὑπομένοντος ὑγιοῦς πράττοντός τι, διὰ τοῦτο ἡδὺ δοκεῖ εἶναι· φύσει δ' ἡδέα, ἃ ποιεῖ πρᾶξιν τῆς τοιᾶσδε φύσεως. Οὐκ ἀεὶ δ' οὐθὲν ἡδὺ τὸ αὐτὸ, διὰ τὸ μὴ ἁπλῆν εἶναι ἡμῶν τὴν φύσιν, ἀλλ' ἐνεῖναί τι καὶ [x] ἕτερον, καθὸ

[x] Notum est ex Platonis Timaeo, ex materia, quae individua est et quae semper est uniusmodi, et ex ea, quae corporibus dividua gignitur, Deum tertium materiae genus ex duobus in medium admiscuisse, quod esset ejusdem naturae, et quod alterius. Hoc igitur, quod alterius naturae M. Tullius nominat, Plato in Timaeo ἕτερον appellat, eodem nomine, quo utitur hoc loco Aristoteles. Quo fit, ut credibile sit, Aristotelem ad illud ἕτερον Platonicum respexisse. *Lamb.*

minus sentiamus, ut aiunt. Itemque in adolescentia quidem propterea quod ea aetate corpus magnitudinem et vires colligit, sic afficiuntur homines, ut vinolenti; et aetas juvenum, jucundum quiddam est. Qui autem ab atra bile afflictantur natura, semper egent curatione: corpus enim eorum assidue vellicatur ac mordetur, propter temperationem, semperque in vehementi appetitione versantur. Voluptas autem dolorem ejicit ac propulsat, tum ea quae contraria est, tum quaelibet alia, si valida sit et vehemens: et propter has causas, efficiuntur intemperantes et vitiosi. Quae autem doloris sunt expertes voluptates, eae nihil habent nimium, nihil immoderatum: atque eae sunt, quae ex rebus natura, non eventu jucundis proficiscuntur. Ea autem eventu jucunda appello, quae curationis causa adhibentur: nam quia evenit ut medicamento curetur aliquis parte ea, quae sana atque integra subest, aliquid agente, idcirco hoc videtur esse jucundum: natura autem jucunda ea dico, quae talis naturae actionem eliciunt atque expromunt. Jam vero nihil idem nobis semper est jucundum, quia simplex non est nostra natura: sed inest in ea etiam aliquid alterum ac dispar, ex quo in-

φθαρτά. Ὥστε ἄν τι θάτερον πράττῃ, τοῦτο τῇ ἑτέρᾳ φύσει παρὰ φύσιν. Ὅταν δ' ἰσάζῃ, οὔτε [y]λυπηρὸν δοκεῖ, οὔθ' ἡδὺ τὸ πραττόμενον. Ἐπεὶ εἴ του ἡ φύσις ἁπλῆ εἴη, αἰεὶ ἡ αὐτὴ πρᾶξις ἡδίστη ἔσται· διὸ ὁ θεὸς αἰεὶ μίαν καὶ ἁπλῆν χαίρει ἡδονήν· οὐ γὰρ μόνον κινήσεώς ἐστιν ἐνέργεια, ἀλλὰ καὶ ἀκινησίας· καὶ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐστὶν, ἢ ἐν κινήσει. Μεταβολὴ δὲ πάντων [z]γλυκύτατον, κατὰ τὸν [a]Ποιητὴν, διὰ πονηρίαν τινά· ὥσπερ γὰρ ἄνθρωπος εὐμετάβολος ὁ πονηρὸς, καὶ ἡ φύσις ἡ δεομένη μεταβολῆς· οὐ γὰρ ἁπλῆ, οὐδ' ἐπιεικής. Περὶ μὲν οὖν ἐγκρατείας καὶ ἀκρασίας, καὶ περὶ ἡδονῆς καὶ λύπης εἴρηται, καὶ τί ἕκαστον, καὶ πῶς τὰ μὲν ἀγαθὰ αὐτῶν ἐστι, τὰ δὲ κακά· λοιπὸν δὲ καὶ περὶ φιλίας ἐροῦμεν.

[y] Λύπης C C C. [z] Γλυκυτάτη N C. [a] Euripides in Oreste introducit Electram fratri Oresti furiis agitato adsistentem, suaque opera illum refocillantem, reclinando, allevando, in pedes sistendo. Itaque cum aliquandiu decubuisset, sic Orestem soror alloquitur:

Ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
Χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.

Bas. etiam γλυκὺ legit, opinor ex Euripide.

tereat necesse est. Itaque si quid agat altera pars, hoc alteri naturæ præter naturam est. Cum vero exæquatæ sunt ambæ partes, neque molestum, quod agitur, neque jucundum videtur. Nam si cujus natura simplex sit, eadem actio semper erit jucundissima: itaque semper una et simplici Deus voluptate potitur: non enim motionis tantum functio est aliqua, sed etiam vacuitatis a motione; magisque est in quiete, quam in motu voluptas. Mutatio autem rerum omnium dulcissima est, ut ait Poeta, propter improbitatem quandam hominum: quemadmodum enim homo vitiosus ingenio mobili ac mutabili est; sic ea natura, quæ mutationem desiderat, mala ac vitiosa est: non enim simplex, neque bona est. De continentia igitur et incontinentia, de voluptate ac dolore, quid sit eorum unumquidque, quoque modo eorum alia bona, alia mala sint, dictum est: restat ut de amicitia dicamus.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Θʹ.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. VIII.

ΚΕΦ. αʹ.

[a] ΜΕΤΑ δὲ ταῦτα, περὶ φιλίας ἕποιτ᾽ ἂν διελθεῖν· ἔστι γὰρ ἀρετή τις, ἢ μετ᾽ ἀρετῆς. Ἔτι δ᾽ ἀναγκαιότατον εἰς τὸν βίον· ἄνευ γὰρ φίλων, οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθὰ πάντα. Καὶ γὰρ πλουτοῦσι, καὶ ἀρχὰς [b] καὶ δυναστείας κεκτημένοις δοκεῖ μάλιστα φίλων εἶναι χρεία· τί

[a] Magn. Moral. lib. ii. cap. 11. et Eud. lib. viii. cap. 1. [b] Καὶ δυναστείας non reperiuntur in Eliensi.

CAP. I.

HIS autem expositis, deinceps nobis de amicitia est disserendum: etenim aut virtus quædam est, aut cum virtute conjuncta. Præterea res est ad vitam degendam maxime necessaria: nemo enim est, qui sine amicis vitam sibi optabilem esse ducat, etiamsi cæterorum bonorum omnium copia circumfluat. Nam etiam ii, qui divitiis, imperiis, et potentia instructi atque ornati sunt, maxime videntur amicorum officium operamque desiderare: quem enim fructum af-

γὰρ ὄφελος τῆς τοιαύτης εὐετηρίας, ἀφαιρεθείσης εὐεργεσίας, ἣ γίγνεται μάλιστα καὶ ἐπαινετωτάτη πρὸς φίλους; ἢ πῶς ἂν τηρηθείη καὶ σώζοιτο ἄνευ φίλων; ὅσῳ γὰρ πλείων, τοσούτῳ ἐπισφαλεστέρα. Ἐν πενίᾳ δὲ καὶ ταῖς λοιπαῖς δυστυχίαις, μόνην οἴονται καταφυγὴν εἶναι τοὺς φίλους. Καὶ νέοις δὲ πρὸς τὸ ἀναμάρτητον, καὶ πρεσβυτέροις πρὸς θεραπείαν, καὶ τὸ ἐλλεῖπον τῆς πράξεως [c] δι' ἀσθένειαν βοηθείας· τοῖς τ' ἐν ἀκμῇ, πρὸς τὰς καλὰς πράξεις,

[d] Σύν τε δύ' ἐρχομένω·—

καὶ γὰρ νοῆσαι καὶ πρᾶξαι δυνατώτεροι. Φύσει τ' ἐνυπάρχειν ἔοικε πρὸς τὸ γεγεννημένον [e] τῷ γεννήσαντι· καὶ οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν ὄρνεοις, καὶ ἐν τοῖς πλείστοις τῶν ζώων, καὶ τοῖς ὁμοεθνέσι πρὸς ἄλληλα, καὶ μάλιστα τοῖς

[c] Γρ. δι' ἀσθένειαν, βοηθεῖ, quam lectionem Lambinus interpretatur. [d] Lego σύν τε δύ' ἐρχομένω καὶ νοῆσαι γὰρ, mutata distinctione, et transpositis voculis καὶ γάρ. *Casaub.* Hemistichium est Homeri Iliad. κ'. v. 224. adeo notum, ut proverbii locum obtineat. [e] Γρ. τῷ γεννήσαντι, καὶ πρὸς τὸ γεννῆσαν τῷ γεννηθέντι. Et ita CCC.

ferat hujusmodi rerum prosperitas, sublata beneficentia: quæ et in amicos confertur maxime, et summis laudibus, cum in amicos usurpatur, dignissima est? aut quonam modo sine amicis custodiri, incolumisque servari possit? nam quanto major est, tanto pluribus casibus et periculis proposita est. Jam in paupertate, cæterisque rebus adversis, unicum perfugium, amicos esse putant. Atque adolescentibus opitulatur amicitia, ne quid peccent: senibus, ut colantur, et ut, quibus ipsi in rebus agendis interesse non possunt propter ætatis infirmitatem, eæ ab amicis conficiantur ac transigantur: iis, quorum ætas floret, ut res magnas et præclaras gerant:

Atque duo cum una carpunt iter, alter abundat
Consilio, quod sæpe comes non explicat alter:

ambo enim agendi atque intelligendi majorem habent facultatem. Ac videtur sane in eo, quod procreavit, in id, quod procreatum est, inesse amicitia natura: neque id solum in hominibus, verum etiam in avibus, et plurimis animalibus, pariter in iis quæ sunt ejusdem generis ac gentis inter se; sed in hominibus maxime: ex quo eos, qui apud Græcos ab hominum amore nomen traxerunt, humanique a nobis, φιλάνθρω-

ἀνθρώποις· ὅθεν τοὺς φιλανθρώπους ἐπαινοῦμεν. [f] Ἴδοι δ' ἄν τις καὶ ἐν ταῖς πλάναις, ὡς οἰκεῖον ἅπας ἄνθρωπος ἀνθρώπῳ καὶ φίλον. Ἔοικε δὲ καὶ τὰς πόλεις συνέχειν ἡ φιλία· καὶ οἱ νομοθέται μᾶλλον περὶ αὐτὴν σπουδάζειν, ἢ τὴν δικαιοσύνην· ἡ γὰρ ὁμόνοια ὅμοιόν τι τῇ φιλίᾳ ἔοικεν εἶναι· ταύτης δὲ μάλιστα ἐφίενται, καὶ τὴν στάσιν ἐχθρὰν οὖσαν μάλιστα ἐξελαύνουσι. Καὶ φίλων μὲν ὄντων, οὐδὲν δεῖ δικαιοσύνης· δίκαιοι δὲ ὄντες, προσδέονται φιλίας. Καὶ τῶν δικαίων [g] τὸ μάλιστα φιλικὸν εἶναι δοκεῖ. Οὐ μόνον δὲ ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ καλόν· τοὺς γὰρ φιλοφίλους ἐπαινοῦμεν· ἥ τε [h] πολυφιλία δοκεῖ τῶν καλῶν ἕν τι εἶναι. Ἔτι καὶ ἔνιοι τοὺς αὐτοὺς ἄνδρας οἴονται ἀγαθοὺς εἶναι καὶ φίλους. Διαμφισβητεῖται δὲ περὶ αὐτῆς οὐκ ὀλίγα· οἱ μὲν γὰρ ὁμοιότητά τινα τιθέασιν αὐτὴν, καὶ τοὺς ὁμοίους, φίλους· ὅθεν [i] τὸν ὅμοιόν

[f] Οἵ τε γὰρ ἐπὶ χώρας μένοντες σὺν ἡδονῇ τὸν πλανώμενον ὑποδέχονται καὶ θεραπεύουσιν, ὅ τε πλανώμενος, εἰ συντύχοι μόνον ἀνθρώποις, μάλιστα χαίρει. *Andron.* [g] Sc. *Jus Politicum*, quod ad amicitiam conservandam maxime pertinet. Nonnulli per τὸ μάλιστα δίκαιον intelligi volunt τὸ ἐπιεικὲς, *jus æquum bonum*. Vide infra cap. 9. et lib. v. cap. 6. [h] Ita nostri MSS. Andr. et omnes fere Edd. Quidam vero φιλοφιλία legunt. [i] Ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον. Odyss. ρ'. v. 218.

τοι ab illis appellantur, laudare consuevimus. Cernere etiam licet in erroribus quam sit omnis homo homini accommodatum quiddam atque amicum. Videtur autem amicitia etiam civitates continere, majorique quam justitia latoribus legum curæ esse: nam et concordiam, quæ amicitiæ simillima ac gemina est, summopere expetunt, et seditionem ei inimicam omni studio ejiciunt atque exterminant. Et si cives inter se amicitiam colant, nihil sit, quamobrem justitiam desiderent: at si justi sint, tamen amicitiæ accessionem requirant. Et id, quod ex omnibus juribus maxime jus est, ad amicitiam videtur pertinere. Neque vero necessaria solum res est, verum etiam honesta: nam et eos laudamus, qui amicos amant, et amicorum multitudo in rebus pulchris atque honestis numeratur. Præterea nonnulli eosdem viros bonos et amicos esse putant. Sed de ea magna multis in rebus controversia est: alii enim eam esse similitudinem quandam statuunt, et similes, amicos: ex quo proverbia nata sunt,

φασιν ὡς τὸν ὅμοιον, καὶ [k] κολοιὸν ποτὶ κολοιὸν, καὶ ὅσα τοιαῦτα· οἱ δ' ἐξ ἐναντίας, [l] κεραμεῖς πάντας τοὺς τοιούτους ἀλλήλοις φασὶν εἶναι. Καὶ περὶ αὐτῶν τούτων ἀνώτερον ἐπιζητοῦσι καὶ φυσικώτερον· Εὐριπίδης μὲν φάσκων,

Ἐρᾷν μὲν ὄμβρου γαῖαν ξηρανθεῖσαν·
Ἐρᾷν δὲ σεμνὸν οὐρανὸν πληρούμενον
Ὄμβρου, πεσεῖν εἰς γαῖαν.

[m] Καὶ Ἡράκλειτος, τὸ ἀντίξουν συμφέρον, καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν, καὶ πάντα κατ' ἔριν γίνεσθαι. Ἐξ ἐναντίας δὲ τούτοις, ἄλλοί τε καὶ Ἐμπεδοκλῆς· τὸ γὰρ ὅμοιον τοῦ ὁμοίου ἐφίεσθαι. Τὰ μὲν οὖν φυσικὰ τῶν ἀπορημάτων [n] παραφείσθω· οὐ γὰρ οἰκεῖα τῆς παρούσης σκέψεως. Ὅσα δ' ἐστὶν ἀνθρωπικὰ, καὶ ἀνήκει εἰς τὰ ἤθη καὶ τὰ πάθη, ταῦτ' ἐπισκεψώμεθα· οἷον, πότερον ἐν πᾶσι γίνεται ἡ φιλία, ἢ οὐχ οἷόν τε μοχθηροὺς ὄντας, φίλους εἶναι; καὶ πότερον

[k] Vide Erasmi Adag. [l] Sc. invidos esse. Huic proverbio ortum dedit Hesiodi versus:

Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.

[m] Vide Platonis Sympos. [n] Παρείσθω N C.

Semper similem, ad similem; et, Graculus cum Graculo; et cætera hujus generis: alii contra hos tales, figulos inter se dicunt omnes esse. Ac de his ipsis disputationem altius et magis a natura repetunt: primum Euripides, qui ita loquitur,

Tellus quidem imbrem amat, ubi campus aridus
Ob siccitatem sterilis humore indiget:
Cœlum at beatum cum refertum est imbribus,
Ardet cadendi mira in humum libidine.

Deinde Heraclitus, Contrarium idem utile: et, Ex rebus dissimilibus pulcherrimum concentum existere: et, Ex discordia nasci omnia. Adversantur his cum alii multi, tum Empedocles: simile enim ejus, quod simile est, desiderio teneri. Dubitationes igitur eas, quæ sunt naturales, missas faciamus: non enim huic disputationi conveniunt. Eas autem, quæ ad homines, eorumque mores, et perturbationes pertinent, videamus: quales sunt hæ, Utrum inter omnes possit esse amicitia, an inter malos non possit: et, Utrum sit unum genus amicitiæ, an plura:

ἓν εἶδος τῆς φιλίας ἐστὶν, ἢ πλείω; οἱ μὲν γὰρ ἓν οἰόμενοι, ὅτι ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐχ ἱκανῷ πεπιστεύκασι σημείῳ· δέχεται γὰρ τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὰ ἕτερα τῷ εἴδει· εἴρηται δὲ ὑπὲρ αὐτῶν ἔμπροσθεν.

ΚΕΦ. β'.

ΤΑΧΑ δ' ἂν γένοιτο φανερὸν περὶ αὐτῶν, γνωρισθέντος τοῦ φιλητοῦ· δοκεῖ γὰρ οὐ πᾶν φιλεῖσθαι, ἀλλὰ τὸ φιλητόν· τοῦτο δ' εἶναι ἀγαθὸν, ἢ ἡδὺ, ἢ χρήσιμον. Δόξειε δ' ἂν χρήσιμον εἶναι, δι' οὗ γίνεται ἀγαθόν τι ἢ ἡδονή. Ὥστε φιλητὰ ἂν εἴη τἀγαθόν τε καὶ τὸ ἡδὺ, ὡς τέλη. Πότερον οὖν τἀγαθὸν φιλοῦσιν, ἢ τὸ αὐτοῖς ἀγαθόν; διαφωνεῖ γὰρ ἐνίοτε ταῦτα. Ὁμοίως δὲ καὶ περὶ τὸ ἡδὺ αὐτό. Δοκεῖ δὲ καὶ τὸ αὐτῷ ἀγαθὸν φιλεῖν ἕκαστος· καὶ εἶναι ἁπλῶς μὲν τἀγαθὸν, φιλητὸν, ἑκάστῳ δὲ, τὸ ἑκάστῳ. Φιλεῖ δὲ ἕκαστος, οὐ τὸ ὂν αὐτῷ ἀγαθὸν, ἀλλὰ τὸ φαινόμενον. Διοίσει δ' οὐδέν· ἔσται γὰρ τὸ φιλητὸν φαινόμενον. Τριῶν δ' ὄντων δι' ἃ φιλοῦ-

qui enim ob eam causam unum esse putant, quia amplificationem et deminutionem recipit, non satis firmo nituntur argumento: recipiunt enim amplificationem et deminutionem multa, quæ tamen specie et forma differunt, de quibus supra dictum est.

CAP. II.

HÆC autem fortasse plana fient, si, quid sit amabile, fuerit cognitum: non enim omnia videntur amari, sed id duntaxat quod amabile est: cujusmodi est id, quod vel bonum, vel jucundum, vel utile est. Id autem utile videtur, quo aut aliquod bonum, aut voluptas comparatur. Itaque amabilia sunt bonum, et jucundum, tanquam fines. Utrum igitur id quisque diligit, quod absolute bonum est, an quod sibi est bonum? quoniam hæc nonnunquam inter se discrepant. Itemque de ipso jucundo ambigi potest. Videtur autem et id quisque amare, quod sibi bonum est, et absolute quidem amabile esse bonum, cuique vero amabile, quod cuique bonum est. Amat igitur unusquisque non quod sibi reapse bonum est, sed quod videtur. Neque quidquam intererit; erit enim amabile, quod bonum esse videbitur. Cum sint autem tria, in quibus inest causa cur

σιν, ἐν μὲν τῇ τῶν ἀψύχων φιλήσει, οὐ λέγεται φιλία· οὐ γάρ ἐστιν ἀντιφίλησις, οὐδὲ βούλησις ἐκείνων ἀγαθοῦ. Γελοῖον γὰρ ἴσως τῷ οἴνῳ βούλεσθαι τἀγαθά· ἀλλ' εἴ περ, σώζεσθαι βούλεται αὐτὸν, ἵνα αὐτὸς ἔχῃ. Τῷ δὲ φίλῳ φασὶ δεῖν βούλεσθαι τἀγαθὰ, ἐκείνου ἕνεκα· τοὺς δὲ βουλομένους οὕτω τἀγαθὰ, εὔνους λέγουσιν, ἂν μὴ τὸ αὐτὸ καὶ παρ' ἐκείνου γίγνηται· εὔνοιαν γὰρ ἐν ἀντιπεπονθόσι φιλίαν εἶναι, ἢ προσθετέον τὸ μὴ λανθάνουσαν· πολλοὶ γάρ εἰσιν εὖνοι οἷς οὐχ ἑωράκασιν, ὑπολαμβάνουσι δὲ ἐπιεικεῖς εἶναι ἢ χρησίμους. Τοῦτο δὲ [o]αὐτὸ, κἂν ἐκείνων τις πάθοι πρὸς τοῦτον· εὖνοι μὲν [p]οὖν οὗτοι φαίνονται ἀλλήλοις· φίλους δὲ πῶς ἄν τις εἴποι, λανθάνοντας ὡς ἔχουσιν ἑαυτοῖς; Δεῖ ἄρα εὐνοεῖν ἀλλήλοις, καὶ βούλεσθαι τἀγαθὰ μὴ λανθάνοντας δι' ἕν τι τῶν εἰρημένων.

[o] Γρ. ταὐτό. [p] οὖν abest a NC.

amentur, in inanimorum amatione amicitiæ nomen non usurpatur: nam neque mutuo amant, neque illis quisquam vult bene evenire. Rideatur enim fortasse, si quis dicat se vino bene evenire velle: sed ut quam liberalissime agamus, dabimus ei, ut velit vinum salvum et incorruptum manere, ut ipse habeat. Atqui amico bene cupere ejus causa, non sua, aiunt oportere: qui autem ita volunt amico bene evenire, eos benevolos appellant, si non idem etiam ab illo referatur: amicitiam enim esse benevolentiam in iis, qui inter se par pari referunt; nisi forte eo addendum est, non occultam, neque incognitam: multi enim eos, quos nunquam viderunt, benevolentia complectuntur: quia viros bonos esse aut sibi utiles fore existimant. Quod si eodem modo illorum aliquis in hunc sit affectus, benevolentia quidem inter eos intercedere videtur: sed amicos quamobrem quispiam eos dicat, quorum alter de alterius in se animo nihil explorati habet? Ergo ut sint amici, eos oportet se mutuo benevolentia comprehendere, velleque alterum alteri bona evenire: ita ut hoc utrique perspectum sit et cognitum, propter unum aliquod eorum, quæ dicta sunt.

ΚΕΦ. γ'.

ΔΙΑΦΕΡΕΙ δὲ ταῦτα ἀλλήλων εἴδει· καὶ αἱ φιλήσεις ἄρα, καὶ αἱ φιλίαι. Τρία γάρ ἐστιν εἴδη τῆς φιλίας, ἰσάριθμα τοῖς φιλητοῖς· καθ᾽ ἕκαστον γάρ ἐστιν ἀντιφίλησις οὐ λανθάνουσα. Οἱ δὲ φιλοῦντες ἀλλήλους, βούλονται τἀγαθὰ ἀλλήλοις ταύτῃ, ᾗ φιλοῦσιν. Οἱ μὲν οὖν διὰ τὸ χρήσιμον φιλοῦντες ἀλλήλους, οὐ καθ᾽ αὑτοὺς φιλοῦσιν, ἀλλ᾽ ᾗ γίγνεταί τι αὐτοῖς παρ᾽ ἀλλήλων ἀγαθόν. Ὁμοίως δὲ καὶ οἱ δι᾽ ἡδονήν· οὐ γὰρ τῷ ποιούς τινας εἶναι ἀγαπῶσι τοὺς εὐτραπέλους, ἀλλ᾽ ὅτι ἡδεῖς αὐτοῖς. Οἵ τε [q] δὴ διὰ τὸ χρήσιμον φιλοῦντες, διὰ τὸ αὐτοῖς ἀγαθὸν στέργουσι· καὶ οἱ δι᾽ ἡδονήν, διὰ τὸ αὐτοῖς ἡδύ· καὶ οὐχ ᾗ ὁ φιλούμενός ἐστιν, ἀλλ᾽ ᾗ [r] χρήσιμος, ἢ ἡδύς. Κατὰ συμβεβηκός τε δὴ αἱ φιλίαι αὗταί εἰσιν· [s] οὐ γὰρ ᾗ ἐστιν, ὅς ποτέ ἐστιν ὁ φιλούμενος, ταύτῃ φιλεῖται, ἀλλ᾽ ᾗ πορίζουσιν, οἱ μὲν ἀγαθόν τι, οἱ δ᾽ ἡδονήν. Εὐδιάλυτοι

[q] Δὴ non reperitur in El. [r] Ὁ χρήσιμος El. [s] Οὐ γὰρ ᾗ ὅσπερ ἔσται ὁ φιλ. El. ad oram vero nostra est lectio.

CAP. III.

SED cum hæc tria, quæ amari solere dicimus, genere inter se differant: amationes quoque differunt, et amicitiæ. Sunt enim tria amicitiæ genera, quæ rebus amabilibus pari numero respondent: est enim sua cujusque generis mutua amatio, non obscura neque incognita. Jam vero qui inter se amant, alter alteri omnia bene evenire volunt, qua amant. Atque ii quidem, qui utilitatis causa amant inter se, non propter se, neque sua causa inter se amant, sed qua quippiam boni alteri ab altero proficiscitur. Eorum, qui propter voluptatem amicitiam inter se compararunt, similis ratio est: non enim facetos et urbanos propterea diligimus, quia cujusdammodi sunt, sed quia nos delectant. Denique et qui utilitatis causa amicitia inter se juncti sunt, propter id, quod ipsis bonum est, diligunt: et quos voluptas ad amandum excitat, amicitiam jucundo metiuntur: nec is, qui amatur, qua est, amatur, sed qua utilis, aut jucundus est. Ex eventu igitur constant hæ amicitiæ: non enim qua est is, qui diligitur, quicunque sit, amatur: sed qua illi utilitatem aliquam præbent ac

[t]δὴ αἱ τοιαῦταί εἰσι, μὴ διαμενόντων αὐτῶν ὁμοίων· ἐὰν γὰρ μηκέτι ἡδεῖς ἢ χρήσιμοι ὦσι, παύονται φιλοῦντες· τὸ δὲ χρήσιμον οὐ διαμένει, ἀλλ' ἄλλοτε γίγνεται ἄλλο. Ἀπολυθέντος οὖν δι' ὃ φίλοι ἦσαν, διαλύεται καὶ ἡ φιλία, ὡς οὔσης τῆς φιλίας πρὸς ἐκεῖνα. Μάλιστα δὲ ἐν τοῖς πρεσβύταις ἡ τοιαύτη φιλία δοκεῖ γίνεσθαι· οὐ γὰρ τὸ ἡδὺ οἱ τηλικοῦτοι διώκουσιν, ἀλλὰ τὸ ὠφέλιμον· καὶ τῶν ἐν ἀκμῇ καὶ νέων, ὅσοι τὸ συμφέρον διώκουσιν. Οὐ πάνυ δ' οἱ τοιοῦτοι οὐδὲ συζῶσι μετ' ἀλλήλων· ἐνίοτε γὰρ οὐδ' εἰσὶν ἡδεῖς. Οὐδὲ δὴ προσδέονται τῆς τοιαύτης ὁμιλίας, [u]ἐὰν μὴ ὠφέλιμοι ὦσιν· ἐπὶ τοσοῦτον γάρ εἰσιν ἡδεῖς, ἐφ' ὅσον ἐλπίδας ἔχουσιν ἀγαθοῦ. Εἰς ταύτας δὲ καὶ τὴν ξενικὴν τιθέασιν. Ἡ δὲ τῶν νέων φιλία δι' ἡδονὴν εἶναι δοκεῖ· κατὰ πάθος γὰρ οὗτοι ζῶσι, καὶ μάλιστα διώκουσι τὸ ἡδὺ αὐτοῖς καὶ τὸ παρόν. Τῆς ἡλικίας δὲ μεταπιπτούσης, καὶ τὰ ἡδέα γίνεται ἕτερα· διὸ ταχέως

[t] Αἱ in Eliensi. [u] Γρ. ἐὰν δὴ ὠφ.

suppeditant, hi voluptatem. Quocirca facile tales amicitiæ dirimuntur, cum ii similes non permaneant: nam si non amplius sint jucundi, aut utiles, amandi finem faciunt: utile autem non idem permanet, sed aliud alias efficitur. Eo igitur, quod amicitiam contraxerat, dissoluto, amicitia quoque dissolvitur, perinde ac si amicitia cum illis rebus esset instituta. Cujus generis amicitia maxime in senibus cernitur: nam neque qui hac ætate sunt, in amicitiis jucundum sequuntur, sed utile: neque ex juvenibus et ætate florentibus ii, qui emolumento ducuntur. Non admodum autem tales societate vitæ inter se conjunguntur: nam interdum ne jucundi quidem sunt. Neque igitur talium consuetudinem desiderant, nisi sint utiles: nam tantisper sese jucundos præbent, quamdiu se commodum aliquod consecuturos esse sperant. Atque in hoc genere hospitalis quoque amicitia locatur. Juvenum autem amicitia voluptatis causa comparari videtur: nam cum affectibus et perturbationibus animi in vita obtemperant, tum id, quod sibi jucundum, quodque præsens est, sequuntur maxime. Quia autem mutata ætate, mutantur et ea, quæ sunt jucunda; idcirco celeriter et amici fiunt, et

γίγνονται φίλοι καὶ παύονται· ἅμα γὰρ τῷ ἡδεῖ ἡ φιλία μεταπίπτει. Τῆς δὲ τοιαύτης ἡδονῆς ταχεῖα ἡ μεταβολή. Καὶ ἐρωτικοὶ δὲ οἱ νέοι· κατὰ πάθος γὰρ καὶ δι' ἡδονὴν τὸ πολὺ τῆς [x] ἐρωτικῆς. Διόπερ φιλοῦσι, καὶ ταχέως παύονται, πολλάκις τῆς αὐτῆς ἡμέρας μεταπίπτοντες. Συνημερεύειν δὲ καὶ συζῆν οὗτοι βούλονται· γίνεται γὰρ αὐτοῖς τὸ κατὰ φιλίαν οὕτως. Τελεία δ' ἐστὶν ἡ τῶν ἀγαθῶν φιλία καὶ κατ' ἀρετὴν ὁμοίων· οὗτοι γὰρ τἀγαθὰ ὁμοίως ἀλλήλοις βούλονται, ᾗ ἀγαθοί· ἀγαθοὶ δ' εἰσὶ καθ' αὑτούς. Οἱ δὲ βουλόμενοι τἀγαθὰ τοῖς φίλοις, ἐκείνων ἕνεκα, μάλιστα φίλοι· δι' αὑτοὺς γὰρ οὕτως ἔχουσι, καὶ οὐ κατὰ συμβεβηκός. [y] Διαμένει οὖν ἡ τούτων φιλία, ἕως ἂν ἀγαθοὶ ὦσιν. Ἡ δ' ἀρετὴ μόνιμον. Καὶ ἔστιν ἑκάτερος ἁπλῶς ἀγαθὸς, καὶ τῷ φίλῳ· [z] οἱ γὰρ ἀγαθοὶ, καὶ ἁπλῶς ἀγαθοὶ, καὶ ἀλλήλοις ὠφέλιμοι. Ὁμοίως δὲ καὶ ἡδεῖς· οἱ ἀγαθοὶ γὰρ, καὶ ἁπλῶς ἡδεῖς, καὶ ἀλλήλοις·

[x] Τοῖς ἐρωτικοῖς in quibusdam Codd. legi dicit Aspasius. [y] Διαμένει οὖν μάλιστα Ven. 1. et 2. [z] Καὶ γὰρ ἁπλῶς οἱ ἀγαθοὶ, ἡδεῖς καὶ ἀλλήλοις El. et Andr.

amare desinunt: nam eorum amicitia una cum eo, quod eis jucundum est, immutatur atque evanescit. Talis autem voluptatis mutatio, celeris est. Ad amorem autem etiam proclives et propensi sunt adolescentes: nam magna ex parte rem amatoriam regit et gubernat perturbatio: parit atque efficit voluptas. Amant igitur, citoque amandi finem faciunt, ita ut sæpe uno eodemque die voluntatem mutent. Volunt autem hi totos dies una traducere, vitæque societate conjungi: quia hac ratione id eis contingit, quod amicitiæ maxime convenit. At virorum bonorum et virtute similium perfecta amicitia est: hi enim se mutuo similiter bonis affici volunt, qua sunt boni: boni autem sunt per se. Jam qui bona amicis optant, beneque cupiunt illorum causa, ii maxime sunt amici: sunt enim hoc animo per se, non ex eventu. Manet igitur horum amicitia tamdiu, quamdiu boni sunt. Virtus autem diuturna quædam res est, et maxime stabilis. Estque uterque simpliciter absoluteque bonus, et amico; nam viri boni et absolute boni sunt, et inter se utiles. Itemque jucundi: quandoquidem boni et absolute jucundi, et inter se jucundi sunt: suæ enim cuique et

κάστῳ γὰρ καθ' ἡδονήν εἰσιν αἱ οἰκεῖαι πράξεις καὶ αἱ τοιαῦται. Τῶν ἀγαθῶν δὲ τοιαῦται ἢ ὅμοιαι. Ἡ τοιαύτη δὲ φιλία μόνιμος εὐλόγως ἐστί· συνάπτει γὰρ ἐν αὐτῇ πάνθ' ὅσα δεῖ τοῖς φίλοις ὑπάρχειν· πᾶσα γὰρ φιλία δι' ἀγαθόν ἐστιν, ἢ δι' ἡδονὴν, ἢ ἁπλῶς, ἢ τῷ φιλοῦντι, καὶ καθ' ὁμοιότητά τινα. Ταύτῃ δὲ πάντα ὑπάρχει τὰ εἰρημένα καθ' αὑτούς· ταύτῃ γὰρ ὅμοια καὶ τὰ λοιπὰ, τό, τε ἁπλῶς ἀγαθὸν, καὶ ἡδὺ ἁπλῶς ἐστι. Μάλιστα δὲ ταῦτα φιλητά· καὶ τὸ φιλεῖν δὲ καὶ ἡ φιλία ἐν τούτοις μάλιστα καὶ ἀρίστη. Σπανίας δ' εἰκὸς τὰς τοιαύτας εἶναι· ὀλίγοι γὰρ οἱ τοιοῦτοι. Ἔτι δὲ, προσδεῖται χρόνου καὶ συνηθείας· κατὰ τὴν παροιμίαν γὰρ οὐκ ἔστιν εἰδῆσαι ἀλλήλους, πρὶν τοὺς λεγομένους ἅλας συναναλῶσαι. Οὐδ' ἀποδέξασθαι [a] δὴ πρότερον, οὐδ' εἶναι φίλους, πρὶν ἑκάτερος ἑκατέρῳ φανῇ φιλητὸς, καὶ πιστευθῇ. Οἱ δὲ ταχέως τὰ φιλικὰ πρὸς ἀλλήλους ποιοῦντες, βούλονται

[a] Δεῖ pro δὴ legit El. quod approbat Lambinus.

tales, qualis quisque est, voluptati sunt actiones. Bonorum autem tales, aut similes sunt actiones. Talis porro amicitia merito firma ac stabilis est: omnia enim concurrunt in ea, quæ in amicis esse debent: nam omnem amicitiam vel bonum aliquod contrahit vel voluptas; et utrumque horum vel absolute, vel ei qui amat, et ex similitudine quadam. In hac autem ea insunt omnia, quæ jam dicta sunt, per se: nam et his, et cæteris rebus inter se sunt similes; quod enim absolute bonum est, id absolute quoque est jucundum. Hæc autem amabilia sunt maxime: et amare igitur in eis viget maxime, et amicitia, eaque optima. Probabile autem est tales amicitias esse raras: magna est enim talium virorum paucitas. Præterea tempore et consuetudine vitæ opus est: verum enim illud proverbium est, Multos modios salis simul edendos esse, ut homines inter se norint. Neque quenquam in amicitiam recipere, probareque oportet, neque ullos inter se amicos esse, priusquam alter alteri dignus, qui ametur, dignusque, cui fides habeatur, visus fuerit. Qui vero cito ea, quæ amicitiæ propria sunt, inter se faciunt, amici illi quidem esse volunt, sed non sunt tamen: nisi eti-

μὲν φίλοι εἶναι, οὐκ εἰσὶ δὲ, εἰ μὴ καὶ φιλητοὶ, καὶ τοῦτ' ἴσασι. Βούλησις μὲν [b] οὖν ταχεῖα γίνεται φιλίας, φιλία δὲ οὔ. Αὕτη μὲν οὖν καὶ κατὰ τὸν χρόνον, καὶ κατὰ τὰ λοιπὰ τελεία ἐστὶ, καὶ κατὰ πάντα [c] ταῦτα γίνεται, καὶ [d] ὅμοια ἑκατέρῳ παρ' ἑκατέρου· ὅπερ δεῖ τοῖς φίλοις ὑπάρχειν.

ΚΕΦ. δ'.

Η ΔΕ διὰ τὸ ἡδὺ, ὁμοίωμα ταύτης ἔχει· καὶ γὰρ οἱ ἀγαθοὶ, ἡδεῖς ἀλλήλοις. Ὁμοίως δὲ καὶ [e] ἡ διὰ τὸ χρήσιμον· καὶ γὰρ τοιοῦτοι ἀλλήλοις οἱ ἀγαθοί. Μάλιστα δὲ καὶ ἐν τούτοις αἱ φιλίαι διαμένουσιν, ὅταν [f] τὸ ἴσον γίγνηται παρ' ἀλλήλων, οἷον ἡδονή. Καὶ μὴ μόνον οὕτως, ἀλλὰ καὶ ἀπὸ τοῦ αὐτοῦ, οἷον τοῖς εὐτραπέλοις, καὶ μὴ ὡς ἐραστῇ καὶ ἐρωμένῳ· οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἥδονται οὗτοι, ἀλλ' ὁ μὲν [g] ἐρῶν ἐκείνου, ὁ δὲ θεραπευόμενος ὑπὸ τοῦ ἐραστοῦ. Ληγούσης δὲ τῆς ὥρας,

[b] Γὰρ pro οὖν habet El. [c] Ταὐτὰ Mur. [d] Γρ. ὅμοια. [e] Οἱ διὰ pro ἡ διὰ El. et paulo post: καὶ γὰρ οὗτοι ἀλλήλ. ἀγαθοί. [f] Τὸ αὐτὸ pro τὸ ἴσον El. et Andr. quæ vera lectio esse videtur. [g] Ὁρῶν ἐκεῖνον El. N C. et quidam alii; quam scripturam Andronicus interpretatur: ὁ μὲν ἐραστὴς ἥδεται τῇ ὄψει τοῦ ἐρωμένου. Hanc interpretationem, ea, quæ non multo post sequuntur, confirmant: τῷ μὲν γὰρ οὐκ ἔστιν ἡ ὄψις ἡδεῖα.

am digni sint, qui amentur, idque habeant exploratum. Amicitiæ igitur conciliandæ voluntas celeriter illa quidem suscipitur, sed non statim amicitia nascitur. Hæc igitur et tempore, et reliquis rebus perfecta et cumulata est, et his omnibus constat; similis denique utrique ab altero est: quod in amicis inesse debet.

CAP. IV.

EA autem, quæ jucundi causa comparatur, amicitia huic similis est: boni viri enim inter se jucundi sunt. Itemque ea, quam utilitas emolumentumque conflavit: tales enim sunt inter se viri boni. Maxime autem et in his amicitiæ permanent, cum par pari inter se referunt, verbi gratia, voluptatem. Neque hoc modo solum, sed ex una et eadem re, ut fit inter urbanos ac facetos; non ut inter amatorem, eumque qui amatur: non enim iisdem rebus hi delectantur: sed amator illius amore; is, qui amatur, amatoris erga se studio atque observantia. Forma porro evanescente interdum

ἐνίοτε καὶ ἡ φιλία λήγει· τῷ μὲν γὰρ οὐκ ἔστιν ἡ ὄψις ἡδεῖα, τῷ δὲ οὐ γίνεται ἡ θεραπεία. Πολλοὶ δ' αὖ διαμένουσιν, ἐὰν ἐκ τῆς συνηθείας τὰ ἤθη στέρξωσιν, ὁμοήθεις ὄντες. Οἱ δὲ μὴ τὸ ἡδὺ ἀντικαταλλαττόμενοι, ἀλλὰ τὸ χρήσιμον ἐν τοῖς ἐρωτικοῖς, καί εἰσιν ἧττον φίλοι, καὶ [h] διαμένουσιν. Οἱ δὲ διὰ τὸ χρήσιμον ὄντες φίλοι, ἅμα τῷ συμφέροντι διαλύονται· οὐ γὰρ ἀλλήλων ἦσαν φίλοι, ἀλλὰ τοῦ λυσιτελοῦς. Δι' ἡδονὴν μὲν οὖν, καὶ διὰ τὸ χρήσιμον, καὶ φαύλους ἐνδέχεται φίλους ἀλλήλοις εἶναι, καὶ ἐπιεικεῖς φαύλοις, καὶ μηδέτερον ὁποιωοῦν· δι' [i] αὑτοὺς δὲ δῆλον ὅτι μόνους τοὺς ἀγαθούς· οἱ γὰρ κακοὶ οὐ χαίρουσιν ἑαυτοῖς, εἰ μή τις ὠφέλεια γίγνοιτο. Καὶ μόνη δὲ ἡ τῶν ἀγαθῶν φιλία ἀδιάβλητός ἐστιν· οὐ γὰρ ῥᾴδιον οὐδενὶ πιστεῦσαι περὶ τοῦ ἐν πολλῷ χρόνῳ ὑπ' [k] αὐτῶν δεδοκιμασμένου, καὶ τὸ πιστεύειν ἐν τούτοις, καὶ τὸ μηδέ ποτ' ἂν

[h] Vox ἧττον, quæ antecedit, repetenda est, hoc modo: καί εἰσιν ἧττον φίλοι, καὶ ἧττον διαμένουσιν: quod ne alii quidem Interpp. viderunt. *Lamb.* [i] Γρ. αὐτούς. [k] Αὐτοῦ El.

evanescit quoque amicitia: illi enim ejus, qui amatur, facies desinit esse jucunda; hic ab illo non amplius colitur neque observatur. Plerique autem in amicitia permanent, si consuetudine vitæ adhibita mores dilexerint, cum sint inter se moribus similes. Qui autem in rebus amatoriis non jucundum, sed utile permutant, cum minus amici sunt, minus diu in eadem inter se voluntate permanent. Qui vero utilitatis causa sunt amici, utilitate sublata dirimuntur: non enim se mutuo amabant, sed emolumentum. Quocirca propter voluptatem, atque utilitatem, et malis inter se, et bonis cum malis, et neutris cum qualibuscunque amicitia intercedere potest: sed propter se nimirum amici sunt inter se soli viri boni: mali enim familiaritate mutua non delectantur, nisi aliquam utilitatem alter ab altero percipiat. Et vero sola bonorum virorum amicitia criminationibus et calumniis vacat: non enim facile est quicquam alicui de eo credere, quem ipse diu probaris ac spectaris. Præterea fides habetur horum alteri ab horum altero maxime: summaque ab utroque diligentia adhibetur, ne alteri ab altero injuria inferatur: cæteraque omnia in his insunt, quæ vera amicitia

ἀδικῆσαι, καὶ ὅσα ἄλλα ἐν τῇ ὡς ἀληθῶς φιλίᾳ ἀξιοῦται. Ἐν δὲ ταῖς [l]ἄλλαις οὐδὲν κωλύει γίνεσθαι τὰ τοιαῦτα. [m]Ἐπεὶ γὰρ οἱ ἄνθρωποι λέγουσι φίλους καὶ τοὺς διὰ τὸ χρήσιμον, ὥσπερ αἱ πόλεις· δοκοῦσι γὰρ αἱ συμμαχίαι ταῖς πόλεσι [n]γενέσθαι ἕνεκα τοῦ συμφέροντος· καὶ τοὺς δι' ἡδονὴν ἀλλήλους στέργοντας, ὥσπερ οἱ παῖδες, ἴσως μὲν δεῖ λέγειν καὶ ἡμᾶς φίλους τοὺς τοιούτους, εἴδη δὲ [o]καὶ τῆς φιλίας πλείω, καὶ πρώτως μὲν [p]καὶ κυρίως τὴν τῶν ἀγαθῶν ᾗ ἀγαθοί· τὰς δὲ λοιπὰς, καθ' ὁμοιότητα· [q]ᾗ γὰρ ἀγαθόν τι καὶ ὅμοιόν τι, ταύτῃ φίλοι· καὶ γὰρ τὸ ἡδὺ, ἀγαθόν τι τοῖς φιληδέσιν. Οὐ πάνυ δὲ αὗται συνάπτουσιν, οὐδὲ γίνονται οἱ αὐτοὶ φίλοι διὰ τὸ χρήσιμον καὶ ἡδύ· οὐ γὰρ πάνυ [r]συνδυάζεται [s]τὰ κατὰ συμβεβηκός. Εἰς ταῦτα δὲ τὰ εἴδη τῆς φιλίας [t]νενεμημένης, οἱ μὲν φαῦλοι ἔσονται φίλοι δι' ἡδονὴν ἢ τὸ χρήσιμον, ταύτῃ ὅμοιοι ὄντες· οἱ δ' ἀγαθοὶ, δι' αὐτοὺς φίλοι· ᾗ γὰρ

[l] Ἑταίραις inseritur post ἄλλαις in quibusdam codd. Ita et N C. [m] Ἐπεὶ οὖν pro ἐπεὶ γὰρ Lamb. et Casaub. [n] Γρ. γίνεσθαι. [o] Καὶ deest N C. [p] Καὶ C C C. non agnoscit. [q] Γρ. ᾗ γὰρ ἀγαθοὶ, οὕτω μὲν ἁπλῶς φίλοι. [r] Γρ. συνδυάζεται. [s] Ἀλλὰ κατὰ pro τὰ κατὰ in Eliensi. [t] Καταινενεμημένης El.

postulat. In aliis autem sodalitatibus ac societatibus nihil prohibet quo minus hujusmodi mala incidant. Quoniam igitur homines appellant amicos et eos, qui utilitate ad amandum ducuntur, ut civitates (inter civitates enim utilitatis causa societates bellicæ contrahi videntur) et eos, qui voluptate eodem invitantur, ut pueri; fortasse nos quoque tales, amicos appellare, compluraque amicitiæ genera ponere debemus: ac primo sane loco et proprie eam amicitiam nominare, quæ est inter bonos, qua boni sunt; reliquas ex similitudine: amici enim sunt ea ratione, qua est in eis boni quippiam, et aliquid boni simile: jucundum enim bona quædam res est iis, qui rebus jucundis ducuntur. Sed hæ amicitiæ non sæpe copulatæ reperiuntur, neque iidem inter se fiunt amici propter utilitatem ac jucunditatem: nam non admodum copulantur, neque una cohærent, quæ ex eventu constant. Cum sit autem in hæc genera amicitia distributa, mali quidem propter voluptatem, aut utilitatem inter se erunt amici, quando sunt hac ratione veris amicis similes: boni autem

ἀγαθοί. Οὗτοι μὲν [u] οὖν ἁπλῶς φίλοι· ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς, καὶ τῷ ὡμοιῶσθαι τούτοις.

ΚΕΦ. ε'.

[x] ΩΣΠΕΡ δὲ ἐπὶ τῶν ἀρετῶν, οἱ μὲν, καθ' ἕξιν, οἱ δὲ, κατ' ἐνέργειαν ἀγαθοὶ λέγονται, οὕτω [y] δὴ καὶ ἐπὶ τῆς φιλίας· οἱ μὲν γὰρ συζῶντες, χαίρουσιν ἀλλήλοις, καὶ πορίζουσι τἀγαθά· οἱ δὲ καθεύδοντες, ἢ κεχωρισμένοι τοῖς τόποις, οὐκ ἐνεργοῦσι μὲν, οὕτω δ' ἔχουσιν, [z] ὥστε ἐνεργεῖν φιλικῶς· οἱ γὰρ τόποι οὐ διαλύουσι τὴν φιλίαν ἁπλῶς, ἀλλὰ τὴν ἐνέργειαν. Ἐὰν δὲ χρόνιος ἡ ἀπουσία γένηται, καὶ τῆς φιλίας δοκεῖ λήθην ποιεῖν· ὅθεν εἴρηται,

Πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν.

Οὐ φαίνονται δ' οὔθ' οἱ πρεσβῦται, οὔθ' οἱ στρυφνοὶ, φιλικοὶ εἶναι· βραχὺ γὰρ ἐν αὐτοῖς τὸ τῆς ἡδονῆς. Οὐδεὶς δὲ δύναται συνημερεύειν τῷ λυπηρῷ, οὐδὲ τῷ μὴ ἡδεῖ· μάλιστα γὰρ ἡ

[u] Οὖν abest a C C C. [x] Ὡς δὲ El. et N C. [y] Δὴ non reperitur in N C. et El. [z] Ὥστε καὶ ἐνεργεῖν legit El.

propter se amici futuri sunt; qua enim boni sunt. Hi igitur absolute sunt amici; illi ex eventu, et eo quod his sint similes.

CAP. V.

QUEMADMODUM autem in virtutibus alii habitu, alii re et functione muneris boni nominantur: sic et in amicitia alii mutua vitæ consuetudine et convictu inter se delectantur, utilitatesque alter alteri suppeditant; alii vero aut dormientes, aut locorum intervallo disjuncti, amicitiæ muneribus non funguntur quidem illi, sed ita tamen sunt animati, ut fungi possint: non enim locorum intervalla amicitias simpliciter dirimunt, sed muneris functionem. Quod si diuturna fuerit absentia, efficere videtur, ut amicitiam quoque inobscuret oblivio: ex quo dici solet:

Neglectum alloquium multos disjunxit amicos.

Sed nec senes, nec austeri ad amicitiam esse idonei videntur: nam apud eos non multum loci voluptati relictum est. Nemo autem neque cum eo, qui gravis ac molestus est, neque cum eo, qui non est jucundus, dies totos consumere potest: et dolorem

φύσις φαίνεται, τὸ μὲν λυπηρὸν φεύγειν, ἐφίεσθαι δὲ τοῦ ἡδέος. Οἱ δ᾽ ἀποδεχόμενοι ἀλλήλους, μὴ συζῶντες δὲ, εὔνοις ἐοίκασι μᾶλλον, ἢ φίλοις· οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων, ὡς τὸ συζῆν· ὠφελείας μὲν γὰρ οἱ ἐνδεεῖς ὀρέγονται· συνημερεύειν δὲ καὶ οἱ μακάριοι· μονώταις μὲν γὰρ εἶναι τούτοις ἥκιστα προσήκει. Συνδιάγειν δὲ μετ᾽ ἀλλήλων οὐκ ἔστι, μὴ ἡδεῖς ὄντας, μηδὲ χαίροντας τοῖς αὐτοῖς, ὅπερ ἡ ἑταιρικὴ δοκεῖ ἔχειν. Μάλιστα μὲν οὖν ἐστι φιλία, ἡ τῶν ἀγαθῶν, καθάπερ πολλάκις εἴρηται· δοκεῖ γὰρ φιλητὸν μὲν καὶ αἱρετὸν τὸ ἁπλῶς ἀγαθὸν ἢ ἡδύ· ἑκάστῳ δὲ τὸ αὑτῷ τοιοῦτον· ὁ δ᾽ ἀγαθὸς τῷ ἀγαθῷ δι᾽ ἄμφω ταῦτα. Ἔοικε δ᾽ ἡ μὲν φίλησις πάθει, ἡ δὲ φιλία ἕξει· ἡ γὰρ φίλησις οὐχ ἧττον πρὸς τὰ ἄψυχά ἐστιν. Ἀντιφιλοῦσι δὲ μετὰ προαιρέσεως· ἡ δὲ προαίρεσις ἀφ᾽ ἕξεως. Καὶ τὰ ἀγαθὰ βούλονται τοῖς φιλουμένοις ἐκείνων ἕνεκα, οὐ κατὰ πάθος, ἀλλὰ καθ᾽ ἕξιν. Καὶ φιλοῦντες [a] τὸν φίλον, τὸ αὑτοῖς ἀγαθὸν φιλοῦσιν· ὁ γὰρ ἀγαθὸς φί-

[a] Δὲ τὸν φίλον El.

enim maxime fugere, et jucunditatem expetere videtur natura. Jam vero qui inter se probati et accepti sunt, nec communi vitæ consuetudine devinciuntur tamen, benevolis, quam amicis sunt similiores: nihil est enim amicorum tam proprium, quam vitæ societate conjungi: nam utilitatem quidem egentes expetunt; vitæ autem consuetudinem etiam divites ac beati: solitaria enim vita his minime omnium convenit. At una vivere non possunt, qui nec jucundi sunt, nec iisdem rebus delectantur: quod habere videtur maxime sodalitas. Est igitur amicitia, bonorum maxime amicitia, quemadmodum sæpius jam dictum est: nam cum id amabile et optabile videatur, quod absolute bonum aut jucundum est: tum id cuique amabile est, quod ei tale est: at vir bonus viro bono propter horum utrumque amabilis est. Videtur autem amatio perturbationi similis esse; habitui amicitia: amatio enim etiam in res inanimas confertur. Redamare autem cum consilio conjunctum est, quod ab habitu proficiscitur. Præterea bonis affici volumus eos, quos amamus, illorum causa, non perturbatione aliqua incitati, sed ex habitu. Et qui amicum diligunt, id, quod sibi bono est,

λος γενόμενος, ἀγαθὸν γίνεται ᾧ φίλος. Ἑκάτερος οὖν φιλεῖ τε τὸ αὐτῷ ἀγαθὸν, καὶ τὸ ἴσον ἀνταποδίδωσι τῇ βουλήσει καὶ τῷ [b] εἴδει· λέγεται γὰρ φιλότης ἡ ἰσότης. Μάλιστα δὴ τῇ τῶν ἀγαθῶν ταῦτα ὑπάρχει.

ΚΕΦ. ϛʹ.

ΕΝ δὲ τοῖς στρυφνοῖς καὶ πρεσβυτικοῖς ἧττον γίνεται ἡ φιλία, ὅσῳ δυσκολώτεροί εἰσι, καὶ ἧττον ταῖς ὁμιλίαις χαίρουσι· ταῦτα γὰρ δοκεῖ μάλιστ' εἶναι φιλικὰ, καὶ ποιητικὰ φιλίας. Διὸ νέοι μὲν γίνονται φίλοι ταχὺ, πρεσβύται δ' οὔ· οὐ γὰρ γίγνονται φίλοι, οἷς ἂν μὴ χαίρωσιν· ὁμοίως δ' οὐδ' οἱ στρυφνοί. Ἀλλ' οἱ τοιοῦτοι, εὔνοι μέν εἰσιν ἀλλήλοις· βούλονται γὰρ τἀγαθὰ, καὶ ἀπαντῶσιν εἰς τὰς χρείας· φίλοι δ' οὐ πάνυ εἰσὶ, διὰ τὸ μὴ συνημερεύειν, μηδὲ χαίρειν ἀλλήλοις· ἃ δὴ μάλιστα εἶναι δοκεῖ φιλικά. Πολλοῖς δ' εἶναι φίλον, κατὰ τὴν τελείαν φιλίαν οὐκ ἐνδέχεται, ὥσπερ

[b] Ἡδεῖ N C. C C C. et ex Editis quidam: quam scripturam παραφράζει Andronicus: καὶ βούλεται τὰ ἀγαθὰ, καὶ ἡδύς ἐστιν ὁμοίως. Vide Lamb.

diligunt: nam vir bonus amicus alicui factus, ei ipsi, cui amicus est, bonum est. Uterque igitur cum id, quod sibi bono est, diligit; tum par pari refert, et voluntate et genere: nam vulgo dici solet, æqualitatem amicitiam esse. Maxime vero in amicitia virorum bonorum hæc insunt.

CAP. VI.

INTER austeros autem et senes eo minus amicitia conciliatur, quo sunt difficiliores, minusque hominum congressu et sermone delectantur: hæc enim et propria sunt amicitiæ maxime, et ad eam conglutinandam plurimum valent. Itaque cito fiunt juvenes amici; senes non item: non enim fiunt iis amici, quibus non delectantur: similiter neque acerbi, tristesque natura. Sed tales homines sane benevoli inter se esse possunt (bene enim alter alteri omnia volunt evenire, præstoque adsunt, atque occurrunt in rebus dubiis, et temporibus difficilibus) sed non admodum sunt amici, quia neque una totos dies commorantur, neque alter alterius moribus delectatur: quæ maxime videntur amicitiæ convenire. Sed perfecta cum multis amicitia nemini intercedere potest: sicut fieri

οὐδ᾽ ἐρᾶν πολλῶν ἅμα· ἔοικε γὰρ ὑπερβολῇ· τὸ τοιοῦτο δὲ πρὸς ἕνα πέφυκε γίνεσθαι. Πολλοὺς δ᾽ ἅμα τῷ αὐτῷ ἀρέσκειν σφόδρα, οὐ ῥᾴδιον, ἴσως δ᾽ οὐδ᾽ [c] ἀγαθὸν εἶναι. Δεῖ δὲ καὶ ἐμπειρίαν λαβεῖν, καὶ ἐν συνηθείᾳ γενέσθαι, ὃ παγχάλεπον. Διὰ τὸ χρήσιμον δὲ καὶ τὸ ἡδὺ, πολλοῖς ἀρέσκειν ἐνδέχεται· πολλοὶ γὰρ οἱ τοιοῦτοι, καὶ ἐν ὀλίγῳ χρόνῳ αἱ ὑπηρεσίαι. Τούτων δὲ μᾶλλον ἔοικε [d] φιλία ἡ διὰ τὸ ἡδὺ, ὅταν ταὐτὰ ὑπ᾽ ἀμφοῖν γίγνηται, καὶ χαίρωσιν ἀλλήλοις, ἢ τοῖς αὐτοῖς· οἷαι τῶν νέων εἰσὶν αἱ φιλίαι· μᾶλλον γὰρ ἐν ταύταις τὸ ἐλευθέριον. Ἡ δὲ διὰ τὸ χρήσιμον, ἀγοραίων. Καὶ οἱ μακάριοι δὲ, χρησίμων μὲν οὐδὲν δέονται, ἡδέων δέ· συζῆν μὲν γὰρ βούλονταί τισι. Τὸ δὲ λυπηρὸν, ὀλίγον μὲν χρόνον φέρουσι, συνεχῶς δ᾽ οὐθεὶς ἂν ὑπομείναι, οὐδ᾽ αὐτὸ ἀγαθὸν, εἰ λυπηρὸν αὐτῷ εἴη· διὸ τοὺς φίλους ἡδεῖς ζητοῦσι. Δεῖ

[c] Ἀγαθὸν ἦν legendum puto. Aquinas ita exponit, quasi legerit ἦν. Vet. Interp. vertit *esse*; sed, ut puto, scripserat *esset* non *esse*. Muretus. Nobis favet Andronicus. [d] Γρ. φιλίᾳ.

non potest, ut quis multarum amore uno tempore captus sit: nam perfecte amare, nimio simile est: hoc autem ut cum uno duntaxat suscipiatur, patitur natura. Tum vero multos uno tempore uni vehementer placere, haud facile est: fortasse vero neque bonos esse. Oportet autem et periculum facere, et consuetudine sermonis et vitæ cum eis conjungi: quod est omnium difficillimum. Propter utilitatem autem et jucunditatem ut quis multis placeat, fieri potest: nam et hujus generis hominum magna copia est, et brevi tempore duo illa suppeditari possunt. Harum autem duarum ea magis amicitiæ similitudinem gerit, quæ jucundi causa instituta est, cum eadem ab altero alteri præstantur, et alter altero delectatur, aut uterque eisdem: quales amicitiæ juvenum sunt: magis enim elucet in his ingenium quoddam liberale. At ea, quæ propter utile comparatur, eorum est, qui mercaturam faciunt. Et divites ac beati, non utiles, sed jucundos amicos desiderant: vivere enim cum aliquibus volunt. Id autem, quod dolorem ac molestiam affert, ferunt illi quidem ad breve quoddam tempus: perpetuo vero qui perferre possit, reperias neminem: immo ne ipsum quidem bonum, si ei molestum sit: itaque jucun-

δὲ ἴσως καὶ τοὺς ἀγαθοὺς, τοιούτους ὄντας, καὶ ἔτι αὐτοῖς· οὕτω γὰρ αὐτοῖς ὑπάρξει, ὅσα δεῖ τοῖς φίλοις. Οἱ δ' ἐν ταῖς ἐξουσίαις διῃρημένοις φαίνονται χρῆσθαι τοῖς φίλοις· ἄλλοι γὰρ αὐτοῖς εἰσι χρήσιμοι, καὶ ἕτεροι ἡδεῖς. Ἄμφω δ' οἱ αὐτοὶ οὐ πάνυ· οὔτε γὰρ ἡδεῖς μετ' ἀρετῆς ζητοῦσιν, οὔτε χρησίμους εἰς τὰ καλὰ, ἀλλὰ τοὺς μὲν, εὐτραπέλους, τοῦ ἡδέος ἐφιέμενοι· τοὺς δὲ, δεινοὺς πρᾶξαι τὸ ἐπιταχθέν. Ταῦτα δ' οὐ πάνυ γίνεται ἐν τῷ αὐτῷ. Ἡδὺς δὲ καὶ χρήσιμος ἅμα εἴρηται ὅτι ὁ σπουδαῖος. Ἀλλ' ὑπερέχοντι οὐ γίνεται ὁ τοιοῦτος φίλος, ἂν μὴ καὶ τῇ ἀρετῇ ὑπερέχηται· εἰ δὲ μὴ, οὐκ ἰσάζει ἀνάλογον ὑπερεχόμενος. Οὐ πάνυ δὲ εἰώθασι τοιοῦτοι [e]γίνεσθαι. Εἰσὶ δὲ οὖν αἱ εἰρημέναι φιλίαι ἐν ἰσότητι· τὰ γὰρ αὐτὰ γίγνεται [f]ἀπ' ἀμφοῖν, καὶ βούλονται ἀλλήλοις, ἢ ἕτερον ἀνθ' ἑτέρου ἀντικαταλλάττονται, οἷον ἡδονὴν ἀντ' ὠφε-

[e] Φίλοι post γίνεσθαι subintelligendum esse censet Zuingerus. Sed nostro interpreti adstipulatur Andronicus: ἐπεὶ δὲ οἱ ἐν ἐξουσίᾳ οὐ πάνυ τοιοῦτοι γίνονται, διὰ τοῦτο οὐδὲ φίλοι αὐτοῖς οἱ σπουδαῖοι. [f] Γρ. ἐπ' ἀμφοῖν.

dos amicos quærunt. Sed fortasse et bonos quærere oportet, qui tales sint, atque etiam amicis tales: sic enim eis illa suppetent, quibus amici instructi atque ornati esse debent. Qui vero sunt auctoritate aliqua et potestate præditi, distinctis ac divisis amicis uti videntur: alii enim sunt eis utiles, alii suaves ac jucundi. Non admodum autem iidem utilium ac jucundorum partes agunt: nam neque eos jucundos quærunt, qui jucundum cum virtute conjunxerint; neque eos utiles, qui ad res honestas sibi usui esse possint: sed jucundos quidem, qui sint faceti atque urbani, quoniam jucundi desiderio tenentur: utiles autem, qui sint solertes et habiles ad id, quod imperatum sit, agendum. Hæc autem non admodum in eodem reperiuntur. Atqui jucundum simul et utilem, bonum virum esse diximus. Verum homini dignitate ac potentia præstanti talis non facile fit amicus, nisi etiam ille potentia præstans virtute superetur: nam si hoc non ita sit, non æquatur proportione cum illo præstantiore is, qui superatur. Raro admodum autem tales homines reperiri solent. In æqualitate igitur eæ, quas supra diximus, amicitiæ positæ sunt: aut eadem enim ab utroque præstantur, eademque alter alteri vult evenire: aut aliud cum

λείας. Ὅτι δὲ καὶ ἧττόν εἰσιν [g] αὗται αἱ φιλίαι καὶ μένουσιν, εἴρηται· δοκοῦσι δὲ καὶ δι' ὁμοιότητα καὶ ἀνομοιότητα ταὐτοῦ εἶναί τε καὶ οὐκ εἶναι φιλίαι. Καθ' ὁμοιότητα γὰρ τῆς κατ' ἀρετὴν φαίνονται φιλίαι· ἡ μὲν γὰρ τὸ ἡδὺ ἔχει· ἡ δὲ τὸ χρήσιμον. Ταῦτα δὲ ὑπάρχει κἀκείνῃ· τῷ δὲ τὴν μὲν [h] ἀδιάβλητον εἶναι καὶ μόνιμον, ταύτας δὲ ταχέως μεταπίπτειν, ἄλλοις τε διαφέρειν πολλοῖς, οὐ φαίνονται φιλίαι δι' ἀνομοιότητα ἐκείνης.

ΚΕΦ. ζʹ.

Ἕτερον δέ ἐστι φιλίας εἶδος, τὸ καθ' ὑπεροχήν· οἷον πατρὶ πρὸς υἱὸν, καὶ ὅλως πρεσβυτέρῳ πρὸς νεώτερον, ἀνδρί τε πρὸς γυναῖκα, καὶ παντὶ ἄρχοντι πρὸς ἀρχόμενον. [i] Διαφέρουσι δ' αὗται καὶ ἀλλήλων· οὐ γὰρ ἡ αὐτὴ γονεῦσι πρὸς τέκνα, καὶ ἄρχουσι πρὸς ἀρχομένους, ἀλλ' οὐδὲ πατρὶ πρὸς υἱὸν, καὶ υἱῷ πρὸς πατέρα, οὐδ' ἀνδρὶ πρὸς γυναῖκα, καὶ

[g] Τοιαῦται pro αὗται reperitur in Eliensi. [h] Γρ. ἀμετάβλητον. [i] Διαφέρουσι καὶ αὗται καὶ ἀλλήλ. aut αὗταί τε καὶ ἀλλήλ. lego. *Muretus.* Γρ. διαφ. δὲ καὶ αὐτ.

alio commutant, verbi gratia, cum utilitate voluptatem. Has autem minus esse amicitias, minusque diu permanere, dictum est: videnturque propter ejusdem rei similitudinem ac dissimilitudinem, et esse amicitiæ, et non esse. Ex similitudine enim ejus amicitiæ, quæ virtute constat, amicitiæ similitudinem gerunt: inest enim in altera jucundum, utile in altera. Hæc autem insunt et in illa: sed eo quod illa criminationum et calumniarum expers est, et firma pene ad perpetuitatem: hæ autem celeriter intercidunt, aliisque multis rebus differunt, non videntur amicitiæ, propter illius dissimilitudinem.

CAP. VII.

Aliud autem amicitiæ genus est, quod in excellentia positum est: veluti quæ patri intercedit cum filio, seni cum juvene, viro cum uxore, omni denique, qui præest, cum eo, qui imperio parere debet. Sed hæ quoque inter se differunt: non enim eadem parentum cum liberis, atque eorum, qui præsunt, cum iis, qui sub imperio sunt: sed neque eadem patris cum filio, quæ filii cum patre: neque eadem viri cum uxore, quæ uxoris

γυναικὶ πρὸς ἄνδρα· ἑτέρα γὰρ ἑκάστῳ τούτων ἀρετὴ, καὶ τὸ ἔργον· ἕτερα δὲ καὶ δι' ἃ φιλοῦσιν. Ἕτεραι οὖν καὶ αἱ φιλήσεις καὶ αἱ φιλίαι. Τὰ αὐτὰ μὲν δὴ οὔτε γίγνεται ἑκατέρῳ παρὰ θατέρου, οὔτε δεῖ ζητεῖν. Ὅταν δὲ γονεῦσι μὲν τέκνα ἀπονέμῃ ἃ δεῖ τοῖς γεννήσασι, γονεῖς δὲ υἱέσιν ἃ δεῖ τοῖς τέκνοις, μόνιμος ἡ τῶν τοιούτων καὶ ἐπιεικὴς ἔσται φιλία. Ἀνάλογον δ' ἐν ἁπάσαις ταῖς καθ' ὑπεροχὴν οὔσαις φιλίαις καὶ τὴν φίλησιν δεῖ γίνεσθαι· οἷον τὸν ἀμείνω μᾶλλον φιλεῖσθαι, ἢ φιλεῖν, καὶ τὸν ὠφελιμώτερον, καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως. Ὅταν γὰρ κατ' ἀξίαν ἡ φίλησις γίγνηται, τότε γίγνεταί πως ἰσότης· [k] ὃ δὴ τῆς φιλίας εἶναι δοκεῖ. Οὐχ ὁμοίως δὲ τὸ ἶσον, ἔν τε τοῖς δικαίοις, καὶ ἐν τῇ φιλίᾳ φαίνεται ἔχειν· ἔστι γὰρ ἐν μὲν τοῖς δικαίοις, ἶσον πρώτως τὸ κατ' ἀξίαν· τὸ δὲ κατὰ ποσὸν, δευτέρως· ἐν δὲ τῇ φιλίᾳ τὸ μὲν κατὰ ποσὸν, πρώτως· τὸ δὲ κατ' ἀξίαν, δευτέρως.

k Ὃ δὴ τῆς φιλίας εἶναι δοκεῖ non agnoscit Eliensis.

cum viro amicitia est: alia enim cujusque horum virtus est, aliæ sunt partes: alia denique ea, propter quæ amant. Aliæ sunt igitur et amationes, et amicitiæ. Eadem igitur utrique ab altero neque præstantur, neque sunt postulanda. Cum vero iis, qui procrearunt, ea, quæ parentibus debent, liberi tribuunt, vicissimque filiis parentes, quæ debent liberis: tum firma, et æquabilis talis amicitia futura est. Proportione autem in omnibus iis amicitiis, quæ in excellentia positæ sunt, amatio debet exstare: ut scilicet is, qui potior est, ametur magis quam amet: et is qui plus utilitatis affert: itemque cæteri singuli. Cum enim amatio fit pro dignitate, tum quodammodo exstat æqualitas: quod amicitiæ proprium esse videtur. Non ita porro se habet in rebus justis, ut in amicitia, æqualitas: etenim in rebus justis primo loco ponitur æqualitas ea, quæ pro cujusque dignitate est; secundo ea, qua æqualem numero aut magnitudine singuli partem ferunt: in amicitia contra primo loco statuitur id æquale, quo parem magnitudine quisque partem consequitur; secundo id, quo rata cuique pars pro sua cujusque dignitate tribuitur. Quod ex eo perspici potest, si magna sit

Δῆλον δ', ἐὰν πολὺ διάστημα γίγνηται ἀρετῆς, ἢ κακίας, ἢ εὐπορίας, ἢ τινος ἄλλου· οὐ γὰρ ἔτι φίλοι εἰσὶν, ἀλλ' οὐδ' ἀξιοῦσιν. Ἐμφανέστατον δὲ τοῦτ' ἐπὶ τῶν θεῶν· πλεῖστον γὰρ οὗτοι πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχουσι. Δῆλον δὲ καὶ ἐπὶ τῶν βασιλέων· οὐδὲ γὰρ τούτοις ἀξιοῦσιν εἶναι φίλοι οἱ πολὺ καταδεέστεροι· οὐδὲ τοῖς ἀρίστοις, ἢ σοφωτάτοις, οἱ μηδενὸς ἄξιοι. Ἀκριβὴς μὲν οὖν [l] ἐν τοιούτοις οὐκ ἔστιν ὁρισμὸς, ἕως τίνος οἱ φίλοι· πολλῶν γὰρ ἀφαιρουμένων, ἔτι μένει· πολὺ δὲ [m] χωρισθέντες, οἷον τοῦ θεοῦ, οὐκ ἔτι. Ὅθεν καὶ ἀπορεῖται, μή ποτ' οὐ βούλονται οἱ φίλοι τοῖς φίλοις τὰ μέγιστα τῶν ἀγαθῶν, οἷον θεοὺς εἶναι· οὐδὲ γὰρ ἔτι φίλοι ἔσονται αὐτοῖς. Οὐδὲ δὴ ἀγαθά· [n] οἱ γὰρ φίλοι τἀγαθά. Εἰ δὴ καλῶς εἴρηται, ὅτι ὁ φίλος τῷ φίλῳ βούλεται τἀγαθὰ κείνου ἕνεκα, μένειν ἂν δέοι, οἷός ποτέ ἐστιν ἐκεῖνος. Ἀνθρώπῳ [o] δὲ ὄντι [p] βουλήσεται τὰ μέγιστα εἶναι ἀγαθά· ἴσως δ' οὐ πάντα· αὑτῷ γὰρ μάλισθ' ἕκαστος βούλεται τἀγαθά.

[l] Γρ. ἐν τούτοις. [m] Γρ. χωρισθέντος. [n] Ἢ γὰρ φίλοι Zuing. contra fidem codd. nec necessario. *Casaub.* [o] Δὴ Zuing. [p] Βούλεται El.

virtutis, aut vitii, aut copiæ, aut alius alicujus rei distantia: non enim jam amici sunt, immo ne æquum quidem esse judicant. Idque in diis maxime apparet: omnibus enim bonis longe antecellunt. Perspicuum idem est etiam in regibus: nam ad eorum amicitiam ne aspirare quidem conantur ii, qui multo sunt inferiores: neque præstantissimorum, aut sapientissimorum virorum amicitiam expetunt contemptissimi, nulliusque pretii homines. Constitui igitur in his subtilis terminus non potest, quatenus progredi amicitia possit: nam si multa ab altero detrahantur, manet etiamnum amicitia; sin longiore intervallo inter se disjuncti sint, ut homo a Deo, non jam manet. Ex quo etiam quæri solet, velintne amicos amici bonis quam maximis affici, verbi gratia, Deos esse; non enim jam amici sunt eis futuri. Neque vero etiam bona: amici enim bona. Quod si pulchre hoc dictum est, suo quemque amico bona optare illius causa, profecto maneat oportet, qualiscunque tandem ille sit. Ei igitur ut homini, maxima bona volet evenire, sed fortasse non omnia: sibi enim maxime vult quisque bona evenire.

ΚΕΦ. η΄.

ΟΙ πολλοὶ δὲ δοκοῦσι διὰ φιλοτιμίαν βούλεσθαι φιλεῖσθαι μᾶλλον ἢ φιλεῖν· διὸ φιλοκόλακες οἱ πολλοί· ὑπερεχόμενος γὰρ φίλος, ὁ κόλαξ, ἢ προσποιεῖται τοιοῦτος [q]εἶναι καὶ μᾶλλον φιλεῖν ἢ φιλεῖσθαι. Τὸ δὲ φιλεῖσθαι, ἐγγὺς εἶναι δοκεῖ τοῦ τιμᾶσθαι, οὗ δὴ οἱ πολλοὶ ἐφίενται. Οὐ δι' αὐτὸ δὲ ἐοίκασιν αἱρεῖσθαι τὴν τιμὴν, ἀλλὰ κατὰ συμβεβηκός· χαίρουσι γὰρ οἱ μὲν πολλοὶ ὑπὸ τῶν ἐν ταῖς ἐξουσίαις τιμώμενοι διὰ τὴν ἐλπίδα· οἴονται γὰρ τεύξεσθαι παρ' αὐτῶν, ἄν του δέωνται. Ὡς [r]δὴ σημείῳ τῆς εὐπαθείας χαίρουσι τῇ τιμῇ. Οἱ δ' ὑπὸ τῶν ἐπιεικῶν καὶ εἰδότων ὀρεγόμενοι τιμῆς, βεβαιῶσαι τὴν οἰκείαν δόξαν περὶ [s]αὐτῶν ἐφίενται. [t]Χαίρουσι δὴ, ὅτι εἰσὶν ἀγαθοὶ, πιστεύοντες τῇ τῶν λεγόντων κρίσει· τῷ φιλεῖσθαι δὲ καθ' αὑτὸ χαίρουσι. Διὸ δόξειεν ἂν κρεῖττον εἶναι τοῦ τιμᾶσθαι, καὶ ἡ φιλία [u]καθ' αὑτὴν αἱρετὴ εἶναι.

[q] Εἶναι abest a N C. et C C C. [r] Γρ. δέ. [s] Γρ. αὑτῶν. [t] Καὶ χαίρουσι El. [u] Γρ. καὶ καθ'.

CAP. VIII.

PLERIQUE autem honoris studio ducti malle videntur amari quam amare: itaque magna pars hominum assentatorum amatrix et cupida est: est enim assentator, amicus inferior, seu qui ab altero superatur, vel certe sese talem esse simulat, amareque magis quam amari. Amari autem et honore affici, (cujus rei plerique sunt cupidissimi) finitima esse videntur. Verum honorem non propter se expetere videntur, sed ex eventu: vulgus enim lætatur, cum ab iis, qui potestate et imperio præditi sunt, honore afficitur, propter spem: existimat enim futurum, ut, si qua re egeat, ab illis consequatur. Honore igitur, quasi beneficii accipiendi argumento, et pignore delectatur. Qui vero a viris probis, et iis, quibus noti sunt, honorem expetunt, suam de se ipsis opinionem stabilire et confirmare gestiunt. Se igitur bonos esse gaudent, eorum judicio, qui id dicunt, fidem habentes: se amari autem gaudent per se. Itaque carum esse atque amari, melius esse videatur, quam honore affici: amicitiaque per se esse optabilis et expetenda. Magis autem ea consistere

Δοκεῖ δὲ ἐν τῷ φιλεῖν μᾶλλον ἢ ἐν τῷ φιλεῖσθαι εἶναι. Σημεῖον δὲ, αἱ μητέρες τῷ φιλεῖν χαίρουσαι· ἔνιαι γὰρ διδόασι τὰ ἑαυτῶν τρέφεσθαι, καὶ φιλοῦσι μὲν εἰδυῖαι, ἀντιφιλεῖσθαι δ' οὐ ζητοῦσιν, ἐὰν ἀμφότερα μὴ ἐνδέχηται, ἀλλ' ἱκανὸν αὐταῖς ἔοικεν εἶναι, ἐὰν ὁρῶσιν εὖ πράττοντας· καὶ αὐταὶ φιλοῦσιν αὐτοὺς, κἂν ἐκεῖνοι μὴ δύνωνται τῇ μητέρι ἃ προσήκει ἀπονέμειν διὰ τὴν ἄγνοιαν. Μᾶλλον δὲ τῆς φιλίας οὔσης ἐν τῷ φιλεῖν, καὶ τῶν φιλοφίλων ἐπαινουμένων, φίλων ἀρετὴ τὸ φιλεῖν ἔοικεν. Ὥστε ἐν οἷς τοῦτο γίνεται κατ' ἀξίαν, οὗτοι μόνιμοι φίλοι, καὶ ἡ τῶν τοιούτων φιλία. Οὕτω δ' ἂν καὶ οἱ ἄνισοι μάλιστ' εἶεν φίλοι· ἰσάζοιντο γὰρ ἄν. Ἡ δὲ ἰσότης καὶ ὁμοιότης, φιλότης, καὶ μάλιστα μὲν ἡ τῶν κατ' ἀρετὴν ὁμοιότης· μόνιμοι γὰρ ὄντες καθ' αὑτοὺς, καὶ πρὸς ἀλλήλους μένουσι, καὶ οὔτε δέονται φαύλων, οὔθ' ὑπηρετοῦσι τοιαῦτα, ἀλλ' ὡς εἰπεῖν, καὶ διακωλύουσι· τῶν ἀγαθῶν γὰρ μήτ' αὐ-

videtur in eo ut quis amet, quam in eo ut ametur. Atque hoc ipsum matres indicant, quæ eo ipso quod amant, magnopere lætantur: nonnullæ enim filios suos dant alendos, eosque scientes ex se natos, amant, nec ut ab eis redamentur, magnopere laborant, si fieri utrumque non possit; sed satis habent si videant eos frui secunda fortuna: denique nihilominus eos diligunt, quamvis illi non possint matri, propterea quod eam non norunt, quæ convenit, tribuere. Cum autem in eo ut amemus, magis, quam in eo ut amemur, amicitia consistat, laudenturque ii, qui suos amicos amore complectuntur: probabile est amicorum vim ac virtutem in eo ut ament, esse sitam. Itaque in quibus hoc fit pro dignitate, ii stabiles ac firmi permanent amici: taliumque amicitia integra et incolumis est permansura. Atque hoc modo etiam homines inter se inæquales, maxime fieri possint amici: sic enim possit exæquari. Æqualitas autem et similitudo, amicitia est, maximaque eorum, qui virtute similes sunt, similitudo: nam cum hi maneant ex se ipsis firmi ac stabiles, tum inter se firmitatem tuentur ac retinent: neque res malas desiderant, neque se talium rerum ministros præbent, immo vero pene dicam, etiam eas prohibent ac reprimunt: virorum enim bonorum est, neque peccare,

τοὺς ἁμαρτάνειν, μήτε τοῖς φίλοις [x] ἐπιτρέπειν ὑπηρετεῖν. Οἱ δὲ μοχθηροὶ τὸ μὲν βέβαιον οὐκ ἔχουσιν, οὐδὲ γὰρ αὐτοῖς διαμένουσιν ὅμοιοι ὄντες· ἐπ' ὀλίγον δὲ χρόνον γίγνονται φίλοι, χαίροντες τῇ ἀλλήλων μοχθηρίᾳ. Οἱ χρήσιμοι δὲ καὶ ἡδεῖς, ἐπὶ πλεῖον διαμένουσιν· ἕως γὰρ ἂν πορίζωσιν ἡδονὰς [y] καὶ ὠφελείας ἀλλήλοις. Ἐξ ἐναντίων δὲ, μάλιστα μὲν δοκεῖ ἡ διὰ τὸ χρήσιμον γίγνεσθαι φιλία· οἷον πένης πλουσίῳ, ἀμαθὴς εἰδότι· οὗ γὰρ τυγχάνει τις ἐνδεὴς ὢν, τούτου ἐφιέμενος, ἀντιδωρεῖται ἄλλο. Ἐνταῦθα δ' ἄν τις ἕλκοι καὶ ἐραστὴν καὶ ἐρώμενον, καὶ καλὸν καὶ αἰσχρόν. Διὸ φαίνονται καὶ οἱ ἐρασταὶ γελοῖοι ἐνίοτε, ἀξιοῦντες φιλεῖσθαι ὡς φιλοῦσιν. [z] Ὁμοίως δὴ φιλητοὺς ὄντας ἴσως ἀξιωτέον· μηδὲν δὲ τοιοῦτον ἔχοντας, γελοῖον. Ἴσως δὲ οὐδὲ ἐφίεται τὸ ἐναντίον τοῦ ἐναντίου καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκός. Ἡ δ' ὄρεξις τοῦ μέσου ἐστί· τοῦτο γὰρ ἀγαθόν· οἷον τῷ ξηρῷ, οὐχ ὑγρῷ γενέσθαι, ἀλλ' ἐπὶ

[x] Vel ἐπιτρέπειν vel ὑπηρετεῖν redundare judicat Muretus: utrumque ab Andronico agnoscitur. [y] Pro καὶ nostri MSS. ἢ habent. [z] Ὅμως El. et CCC.

neque amicis permittere ut peccatorum ac flagitiorum sint administri. Mali vero cum stabile nihil habeant, quippe qui ne sui quidem similes permaneant: tum ad perexiguum tempus amicitiam inter se tuentur, mutua improbitate delectati. Utiles autem ac jucundi, diutius permanent: tamdiu enim manent, quoad utilitates ac voluptates mutuo suppeditent. Ea autem amicitia, quam utilitas constituit, ex contrariis maxime constare videtur: ut cum pauper diviti, doctus indocto fit amicus: nam qua quisque re forte fortuna eget, eam ab altero expetens, alio genere illum remuneratur. Ad hunc numerum, amatorem et eum qui amatur, formosum ac deformem licet aggregare. Quocirca videntur interdum et amatores ridiculi, cum eos, quos amant, sibi in amore respondere volunt. Et certe si æque digni sint, qui amentur, jure et volunt et postulant: sin nihil tale habeant, ridiculum sit id postulare. Fortasse vero neque res contraria contrariam per se desiderat, sed ex eventu. Appetitio autem, medii est; hoc enim bonum est: verbi gratia, rei aridæ bonum non humidam fieri, sed ad mediocritatem pervenire:

τὸ μέσον ἐλθεῖν· καὶ τῷ θερμῷ, καὶ τοῖς ἄλλοις ὁμοίως. Ταῦτα μὲν οὖν ἀφείσθω· καὶ γάρ ἐστιν ἀλλοτριώτερα.

ΚΕΦ. θ'.

ΕΟΙΚΕ δὲ, καθάπερ ἐν ἀρχῇ εἴρηται, περὶ ταὐτὰ καὶ ἐν τοῖς αὐτοῖς εἶναι ἥ τε φιλία καὶ τὸ δίκαιον· ἐν ἁπάσῃ γὰρ κοινωνίᾳ δοκεῖ τι δίκαιον εἶναι, καὶ φιλία δέ. Προσαγορεύουσι [a]γοῦν ὡς φίλους, τοὺς σύμπλους, καὶ τοὺς συστρατιώτας· ὁμοίως δὲ καὶ τοὺς ἐν ταῖς ἄλλαις κοινωνίαις. Καθ' ὅσον δὲ κοινωνοῦσιν, ἐπὶ τοσοῦτόν ἐστι φιλία· καὶ γὰρ καὶ τὸ δίκαιον. Καὶ ἡ παροιμία, κοινὰ τὰ φίλων, ὀρθῶς· ἐν κοινωνίᾳ γὰρ ἡ φιλία. Ἔστι δὲ ἀδελφοῖς μὲν καὶ ἑταίροις πάντα κοινά· τοῖς δὲ ἄλλοις, ἀφωρισμένα, καὶ τοῖς μὲν πλείω, τοῖς δὲ ἐλάττω· καὶ γὰρ τῶν φιλιῶν αἱ μὲν μᾶλλον, αἱ δὲ ἧττον. Διαφέρει δὲ καὶ τὰ δίκαια· οὐ γὰρ ταὐτὰ γονεῦσι πρὸς τέκνα, καὶ ἀδελφοῖς πρὸς ἀλλήλους, οὐδ' ἑταίροις καὶ πολίταις· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων [b]φιλιῶν. Ἕτερα δὴ

[a] Γὰρ pro γοῦν legit Eliensis: idque melius. [b] Γρ. φίλων.

item rei calidæ, et cæteris. Sed hæc omittantur sane: sunt enim ab instituto nostro alieniora.

CAP. IX.

VIDENTUR autem, quemadmodum principio dictum est, tum ad eadem pertinere jus et amicitia, tum in iisdem versari: nam in omni societate aliquod jus, et vero amicitia aliqua reperitur. Itaque quasi amicos appellant et eos, quibuscum navigant, et commilitones, itemque eos, quibuscum aliam societatem inierunt. Quanta porro communio est, tam late patet et amicitia: nam tam late quoque patet jus. Et proverbium circumfertur, Amicorum omnia communia, recte admodum: in societate enim et communione posita amicitia est. Sunt autem fratribus quidem, et sodalibus omnia inter ipsos communia; reliquis autem certa quædam ac distincta, aliisque plura, aliis pauciora: nam et amicitiæ aliæ magis, aliæ minus sunt amicitiæ. Differunt autem et jura: non enim eadem sunt patribus cum liberis, quæ fratribus inter ipsos: neque sodalibus, et civibus: similiterque se res habet in aliis amicitiis. Aliæ igitur

[c]καὶ τὰ ἄδικα πρὸς ἑκάστους τούτων, καὶ αὔξησιν λαμβάνει τῷ μᾶλλον πρὸς [d]φίλους εἶναι· οἷον χρήματα ἀποστερῆσαι ἑταῖρον δεινότερον ἢ πολίτην, καὶ μὴ βοηθῆσαι ἀδελφῷ ἢ ὀθνείῳ, καὶ πατάξαι πατέρα ἢ ὁντιναοῦν ἄλλον. Αὔξεσθαι δὲ πέφυκεν ἅμα τῇ φιλίᾳ καὶ τὸ δίκαιον, ὡς ἐν τοῖς αὐτοῖς ὄντα, καὶ ἐπ' ἴσον διήκοντα. Αἱ δὲ κοινωνίαι [e]πᾶσι μορίοις ἐοίκασι τῆς πολιτικῆς· συμπορεύονται γὰρ ἐπί τινι συμφέροντι, καὶ ποριζόμενοί τι τῶν εἰς τὸν βίον. Καὶ ἡ πολιτικὴ δὲ κοινωνία, τοῦ συμφέροντος χάριν δοκεῖ καὶ ἐξ ἀρχῆς συνελθεῖν, καὶ [f]διαμένειν· τούτου γὰρ καὶ οἱ νομοθέται στοχάζονται, καὶ δίκαιον εἶναί φασι τὸ κοινῇ συμφέρον. Αἱ μὲν οὖν ἄλλαι κοινωνίαι κατὰ μέρη τοῦ συμφέροντος ἐφίενται· οἷον πλωτῆρες μὲν τοῦ κατὰ τὸν [g]πλοῦν, ἢ πρὸς ἐργασίαν χρημάτων, ἤ τι τοιοῦτον· [h]στρατιῶται δὲ τοῦ κατὰ τὸν πόλεμον, εἴτε χρημά-

[c] Καὶ τὰ δίκαια καὶ τὰ ἄδικα Ven. 1. 2. et CCC. in textu: hujus vero ad oram nostra est lectio. Quidam codd. τὰ δίκαια, quæ lectio haud ferenda est, cum exempla, quæ subjicit, eum de injuriis loqui indicent. [d] Γρ. πρὸς τὸ φίλ. [e] Γρ. πᾶσαι. [f] Γρ. διαμένει. [g] Πλοῦν πρὸς ἐργασίαν· ἢ χρημάτων El. CCC. et quidam edd. [h] Συστρατιῶται CCC. El. et Andr.

sunt et injuriæ horum singulorum inter se, ex eoque sumunt incrementum, quod amicioribus inferuntur: exempli gratia, sodalem pecunia fraudare gravius est, quam civem: et fratri non succurrere, quam alieno: et parentem verberare, quam quemlibet alium. Solet autem una cum amicitia etiam jus amplificari natura, perinde quasi in iisdem rebus consistant, et æque late pateant. Omnes autem societates civilis societatis partibus ac membris sunt similes: una enim iter faciunt, et congregantur homines, cum emolumenti alicujus gratia, tum ut aliquid quærant et parent eorum, quæ ad victum cultumque pertinent. Jam vero etiam societas civilis, et ab initio utilitatis causa constituta videtur esse, et permanere: hoc enim legum latores et sibi tanquam scopum proponunt, et jus esse dicunt, quod communiter et reipublicæ utile est. Cæteræ igitur societates pro sua quæque parte utile expetunt: verbi gratia, nautæ id quod ex navigatione quæritur, ut pecuniam conficiant, aut aliquid tale consequantur: commilitones id quod bello paratur, sive pe-

των, εἴτε νίκης, ἢ πόλεως [i] ὀρεγόμενοι· ὁμοίως δὲ καὶ φυλέται, καὶ δημόται. Ἔνιαι δὲ τῶν κοινωνιῶν δι' ἡδονὴν δοκοῦσι γίγνεσθαι, θιασωτῶν καὶ ἐρανιστῶν· αὗται γὰρ θυσίας ἕνεκα καὶ συνουσίας. Πᾶσαι δ' αὗται ὑπὸ τὴν πολιτικὴν ἐοίκασιν εἶναι· οὐ γὰρ τοῦ παρόντος συμφέροντος ἡ πολιτικὴ ἐφίεται, ἀλλ' εἰς ἅπαντα τὸν βίον, θυσίας τε ποιοῦντες, καὶ περὶ ταύτας συνόδους τιμάς τε ἀπονέμοντες τοῖς θεοῖς, καὶ ἑαυτοῖς ἀναπαύσεις πορίζοντες μεθ' ἡδονῆς. Αἱ γὰρ ἀρχαῖαι θυσίαι καὶ σύνοδοι φαίνονται γίνεσθαι μετὰ τὰς τῶν καρπῶν συγκομιδὰς, οἷον ἀπαρχαί· μάλιστα γὰρ ἐν τούτοις ἐσχόλαζον τοῖς καιροῖς. Πᾶσαι δὴ φαίνονται αἱ κοινωνίαι μόρια τῆς πολιτικῆς εἶναι. Ἀκολουθήσουσι δὲ αἱ τοιαῦται φιλίαι ταῖς τοιαύταις κοινωνίαις.

[i] Locus sine dubio perturbatus: lego ὀρεγόμενοι. Πᾶσαι δὲ αὗται ὑπὸ τὴν πολιτικὴν ἐοίκασιν εἶναι, οὐ γὰρ τοῦ παρόντος συμφέροντος ἡ πολιτικὴ ἐφίεται, ἀλλ' εἰς ἅπαντα τὸν βίον, ἔνιαι δὲ τῶν κοινωνιῶν δι' ἡδονὴν δοκοῦσι γίγνεσθαι θιασωτῶν, καὶ ἐρανιστῶν· αὗται γὰρ θυσίας ἕνεκα καὶ συνουσίας. Ὁμοίως δὲ καὶ φυλέται, καὶ δημόται θυσίας τε ποιοῦντες, κ. τ. λ. *Muretus.*

cuniam concupiscant, sive victoria pòtiri, sive urbem aliquam expugnare cupiant: itemque tribules, et populares. Nonnullæ autem societates propter voluptatem comparari videntur, ut eorum qui una epulantur, ac saltant: et eorum qui pro rata cujusque parte symbolas in convivium conferunt: hæ enim partim sacrificii, partim conventus et convictus causa comparantur. Omnes autem tales civili societati subjectæ esse videntur: non enim præsentem utilitatem, sed eam, quæ ad omnem vitam pertinet, civilis societas expetit: ut cum cives una sacra faciunt, et ad ea celebranda una conveniunt et congregantur, honoresque diis immortalibus tribuunt, et sibi requiem cum voluptate conjunctam præbent. Verisimile est enim prisca sacrificia, cœtusque et conventus, qui sacrificiorum causa habebantur, collectis jam fructibus, ut primitias quasdam, fuisse instituta: his enim temporibus maxime ab opere cessabant. Apparet igitur societates omnes civilis societatis esse membra. Quales autem fuerint societates, tales amicitiæ consequentur.

ΚΕΦ. ι'.

[k] ΠΟΛΙΤΕΙΑΣ δέ ἐστιν εἴδη τρία, ἴσαι δὲ καὶ παρεκβάσεις, οἷον φθοραὶ τούτων. Εἰσὶ δ' αἱ μὲν πολιτεῖαι, βασιλεία τε, καὶ ἀριστοκρατία, τρίτη δ' ἡ ἀπὸ τιμημάτων, ἣν τιμοκρατικὴν λέγειν οἰκεῖον φαίνεται· πολιτείαν δ' αὐτὴν εἰώθασιν οἱ πλεῖστοι καλεῖν. Τούτων δὲ βελτίστη μὲν ἡ βασιλεία, χειρίστη δ' ἡ τιμοκρατία. Παρέκβασις δὲ βασιλείας μὲν τυραννίς· ἄμφω γὰρ μοναρχίαι. Διαφέρουσι δὲ πλεῖστον· ὁ μὲν γὰρ τύραννος τὸ ἑαυτῷ συμφέρον σκοπεῖ, ὁ δὲ βασιλεὺς τὸ τῶν ἀρχομένων· οὐ γάρ ἐστι βασιλεὺς, ὁ μὴ αὐτάρκης, καὶ πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχων· ὁ δὲ τοιοῦτος οὐδενὸς προσδεῖται. Τὰ ὠφέλιμα οὖν αὑτῷ μὲν οὐκ ἂν σκοποίη, τοῖς δὲ ἀρχομένοις· ὁ γὰρ μὴ τοιοῦτος, [l] κληρωτὸς ἄν τις εἴη βασιλεύς. Ἡ δὲ τυραννὶς ἐξ ἐναντίας ταύτῃ· τὸ γὰρ [m] ἑαυτῷ ἀγαθὸν διώκει. Καὶ φανερώτερον ἐπὶ ταύτης, ὅτι

[k] Vide Polit. lib. iii. cap. 7. [l] Κληρωτὸς ἂν τις εἴη ἢ βασιλεὺς Ven. 2. et Andron. Quidam μᾶλλον inserunt post εἴη. [m] Ἑαυτῇ El.

CAP. X.

ADMINISTRANDÆ porro reipublicæ tria sunt genera, totidemque ab illis sive degressiones sive declinationes, quasi harum pestes et interitus. Sunt autem reipublicæ administrandæ formæ, Regnum, Optimatum principatus, et Potestas ex censu, quam Timocraticam non inepte possumus appellare: sed eam plurimi solent Politiam sive Rempublicam nominare. Harum autem omnium Regnum est optima; Timocratia, deterrima. Declinatio autem a regno, Tyrannis est: in utraque enim penes unum summa rerum est potestas. Sed plurimum tamen inter se differunt: Tyrannus enim suam, Rex eorum, quibus imperat, utilitatem spectat: etenim Rex non est, cui sua non satis sunt, quique non omnium bonorum copia antecellit: at qui talis est, nihil præterea desiderat. Itaque non sua, sed eorum, quibus præest, commoda intuebitur, sibique proponet: nam qui talis non fuerit, rex quidam sortito factus videatur. Huic adversatur Tyrannis: nam quod sibi expedit, sequitur. Atque hanc eo magis perspicuum

χειρίστη· κάκιστον [n] γὰρ τὸ ἐναντίον τῷ βελτίστῳ. Μεταβαίνει δὲ ἐκ βασιλείας εἰς τυραννίδα· φαυλότης γάρ ἐστι μοναρχίας ἡ τυραννίς· ὁ δὲ μοχθηρὸς βασιλεὺς, τύραννος γίνεται. Ἐξ ἀριστοκρατίας δὲ εἰς ὀλιγαρχίαν, κακίᾳ τῶν ἀρχόντων, οἳ νέμουσι τὰ τῆς πόλεως παρὰ τὴν ἀξίαν, καὶ πάντα ἢ τὰ πλεῖστα τῶν ἀγαθῶν ἑαυτοῖς, καὶ τὰς ἀρχὰς ἀεὶ τοῖς αὐτοῖς, περὶ πλείστου ποιούμενοι τὸ πλουτεῖν. Ὀλίγοι δὴ ἄρχουσι καὶ μοχθηροὶ ἀντὶ τῶν ἐπιεικεστάτων. Ἐκ δὲ δὴ τιμοκρατίας εἰς δημοκρατίαν· σύνοροι γάρ εἰσιν αὗται· πλῆθος γὰρ βούλεται [o] καὶ ἡ τιμοκρατία εἶναι, καὶ ἴσοι πάντες οἱ ἐν τῷ τιμήματι. Ἥκιστα δὲ μοχθηρόν ἐστιν ἡ δημοκρατία· ἐπὶ μικρὸν γὰρ [p] καὶ παρεκβαίνει τὸ τῆς πολιτείας εἶδος. Μεταβάλλουσι μὲν οὖν μάλισθ' οὕτως αἱ πολιτεῖαι· ἐλάχιστον γὰρ οὕτω καὶ ῥᾷστα μεταβαίνουσιν. Ὁμοιώματα δ' αὐτῶν καὶ οἷον παραδείγματα λάβοι τις ἂν καὶ ἐν ταῖς οἰκίαις· ἡ μὲν γὰρ πα-

[n] Δὴ pro γὰρ habent N C. El. et quidam ex Editis. [o] Καὶ abest ab El. [p] Καὶ non reperitur in C C C. et El.

est esse deterrimam: quod enim optimo est contrarium, pessimum. Ex Regno autem in Tyrannidem degenerat: nam monarchiæ vitium, Tyrannis est: rex malus autem Tyrannus efficitur. Ex optimatum potestate vero, in Paucorum principatum fit commutatio, eorum, qui præsunt, culpa, qui res civitatis distribuunt indignis: omnia bona, aut multo maximam eorum partem sibi vendicant: magistratus iisdem semper deferunt, divitias rebus fere omnibus anteponentes. Ita fit, ut pauci magistratum gerant, iique improbi ac vitiosi, pro viris optimis atque æquissimis. Ex Timocratia autem in Popularem statum fit conversio: sunt enim hæ reipublicæ administrandæ formæ inter se finitimæ: nam etiam ex censu potestas natura sua multitudinis videtur esse; omnesque qui censi sunt, inter se sunt pares et æquales. Sed minimum omnium vitiosa Popularis potestas est, quia paululum admodum ab ea Reipublicæ forma, quam Politiam Græci nominant, deflexit. Ac reipublicæ quidem regendæ formæ hoc maxime modo commutari solent; sic enim minima et facillima mutatio est. Earum autem similitudines, et veluti exempla ex familiis privatis sumere licet: patris enim

τρὸς πρὸς υἱεῖς κοινωνία βασιλείας ἔχει σχῆμα· τῶν τέκνων γὰρ τῷ πατρὶ μέλει. Ἐντεῦθεν δὲ καὶ Ὅμηρος τὸν Δία πατέρα προσαγορεύει· πατρικὴ γὰρ ἀρχὴ βούλεται ἡ βασιλεία εἶναι. Ἐν Πέρσαις δὲ ἡ τοῦ πατρὸς, τυραννική· χρῶνται γὰρ ὡς δούλοις, τοῖς υἱέσι. Τυραννικὴ δὲ καὶ ἡ [q]δεσπότου πρὸς δούλους· τὸ γὰρ τοῦ δεσπότου συμφέρον, ἐν αὐτῇ πράττεται. Αὕτη μὲν οὖν ὀρθὴ φαίνεται· ἡ Περσικὴ δὲ [r]ἡμαρτημένη· τῶν διαφερόντων γὰρ αἱ ἀρχαὶ διάφοροι. Ἀνδρὸς δὲ καὶ γυναικὸς, ἀριστοκρατικὴ φαίνεται· κατ' ἀξίαν γὰρ ὁ ἀνὴρ ἄρχει, καὶ περὶ ταῦτα ἃ δεῖ τὸν ἄνδρα· ὅσα δὲ γυναικὶ ἁρμόζει, ἐκείνῃ ἀποδίδωσιν. Ἁπάντων δὲ κυριεύων ὁ ἀνὴρ εἰς ὀλιγαρχίαν μεθίστησι· παρὰ τὴν ἀξίαν γὰρ [s]αὐτὸ ποιεῖ, καὶ οὐχ ᾗ ἀμείνων. Ἐνίοτε δὲ ἄρχουσιν αἱ γυναῖκες ἐπίκληροι οὖσαι. Οὐ δὴ γίνονται κατ' ἀρετὴν αἱ ἀρχαὶ, ἀλλὰ διὰ πλοῦτον καὶ δύναμιν, καθάπερ ἐν ταῖς ὀλιγαρχίαις. Τιμοκρατικῇ δ' ἔοικεν ἡ τῶν ἀδελφῶν· ἴσοι γὰρ, πλὴν ἐφ' ὅσον

[q] Δεσποτεία pro δεσπότου legunt N C. et El. [r] Ἡμαρτικὴ El. [s] Γρ. αὐτῷ.

cum filiis societas, regni speciem quandam præ se fert: nam filii patri curæ sunt. Hinc et Homerus Jovem, patrem appellat: patriam enim potestatem regnum proxime videtur imitari. Sed apud Persas patria potestas est tyrannica: utuntur enim liberis suis, ut servis. Et domini in servos imperium, tyrannicum: in eo enim negotium domini agitur, ejusque utilitati consulitur. Atque hoc sane rectum est; sed Persicum depravatum ac perversum: eorum enim, qui differunt, imperia quoque differre debent. Jam viri et uxoris societas ad optimatum principatum proxime videtur accedere: pro dignitate enim vir imperat, in iisque rebus imperat, in quibus virum oportet imperare: et quæ mulieri conveniunt, ei permittit. Quod si vir in omnibus dominetur, in paucorum potestatem fit commutatio: id enim faciet præter dignitatem, non qua melior est. Interdum vero fit, ut mulieres imperent, eæ scilicet, quibus amplissimæ venerunt hæreditates. Non igitur tum ex virtute, sed propter divitias, et potentiam imperatur, quemadmodum in paucorum principatu. Ex censu potestati autem fraterna societas si-

ταις ἡλικίαις διαλλάττυσι. Διόπερ ἂν πολὺ ταῖς ἡλικίαις διαφέρωσιν, ὐκ ἔτι ἀδελφικὴ γίνεται ἡ φιλία. Δημοκρατία δὲ μάλιστα μὲν ἐν ταῖς ἀδεσπότοις τῶν [t] οἰκήσεων· ἐνταῦθα γὰρ πάντες ἐξ ἴσυ· καὶ ἐν αἷς ἀσθενὴς ὁ ἄρχων, καὶ ἑκάστῳ ἐξυσία.

ΚΕΦ. ια'.

ΚΑΘ' ἑκάστην δὲ τῶν πολιτειῶν φιλία φαίνεται, ἐφ' ὅσον καὶ τὸ δίκαιον. Βασιλεῖ μὲν πρὸς τὺς βασιλευομένους ἐν ὑπεροχῇ εὐεργεσίας· εὖ γὰρ ποιεῖ τοὺς βασιλευομένυς, εἴ περ ἀγαθὸς ὢν ἐπιμελεῖται αὐτῶν, ἵν' εὖ πράττωσιν, ὥσπερ νομεὺς προβάτων· ὅθεν καὶ Ὅμηρος τὸν Ἀγαμέμνονα ποιμένα λαῶν εἶπε. Τοιαύτη δὲ καὶ ἡ πατρική· διαφέρει δὲ τῷ μεγέθει τῶν εὐεργετημάτων· αἴτιος γὰρ [u] τοῦ εἶναι, δοκοῦντος μεγίστου εἶναι, καὶ τροφῆς, καὶ παιδείας. Καὶ τοῖς προγόνοις δὲ [x] ταῦτα [y] ἀπονέμεται· φύσει τε γὰρ [z] ἀρχικὸν πατὴρ

[t] Γρ. οἰκίσεων: minus recte. [u] Γρ. τοῦ δοκοῦντος. Posterior εἶναι non agnoscitur a Ven. 1. et 2. [x] Ταὐτὰ lege: et ita Argyr. *Muret.* [y] Προσνέμεται El. [z] Γρ. ἀρχικός.

milis est: sunt enim pares, nisi quoad ætatibus inter se differunt. Quocirca si multum inter se distent ætatibus, jam amicitia fraterna constare non potest. Est autem popularis potestas quidem cum in iis familiis maxime, quæ domino carent (hic enim ex æquo omnes imperant) tum in quibus imbecillus est is, qui imperat, suaque cuique datur auctoritas et licentia.

CAP. XI.

IN unaquaque autem reipublicæ administrandæ forma eatenus suos fines proferre videtur amicitia, quatenus et jus. Ac quæ regi sane cum iis, qui in regno vivunt, intercedit, in quadam beneficii excellentia posita est: bene enim meretur de iis, quibus imperat, si cum sit bonus, curam eorum habeat, tanquam ovium pastor, ut sint fortunati ac beati: unde et Homerus Agamemnonem, pastorem populorum appellavit. Talis est autem et paterna amicitia, nisi quod magnitudine beneficiorum præstat: est enim pater filio causa cur sit (quæ videtur esse res omnium maxima) idemque alendum et erudiendum curavit. Atque hæc eadem avis et majoribus tribuuntur: ad imperandum enim apti sunt natura, et pater liberis, et

υἱῶν, καὶ πρόγονοι ἐκγόνων, καὶ βασιλεὺς βασιλευομένων. Ἐν ὑπεροχῇ δὲ [a]καὶ αἱ φιλίαι αὗται· διὸ καὶ τιμῶνται οἱ γονεῖς. Καὶ τὸ δίκαιον δὴ ἐν τούτοις, οὐ τὸ αὐτὸ, ἀλλὰ τὸ κατ' ἀξίαν· οὕτω γὰρ ἂν καὶ ἡ φιλία. Καὶ ἀνδρὸς δὲ πρὸς γυναῖκα ἡ αὐτὴ φιλία, [b]ἣ καὶ ἐν ἀριστοκρατίᾳ· κατ' ἀρετὴν γὰρ καὶ τῷ ἀμείνονι πλέον ἀγαθὸν, καὶ τὸ ἁρμόζον ἑκάστῳ. Οὕτω δὲ καὶ τὸ δίκαιον. Ἡ δὲ τῶν ἀδελφῶν, τῇ ἑταιρικῇ ἔοικεν· ἴσοι γὰρ καὶ ἡλικιῶται· οἱ τοιοῦτοι δ' [c]ὁμομαθεῖς καὶ ὁμοήθεις ὡς ἐπὶ τὸ πολύ. Ἔοικε δὴ ταύτῃ καὶ ἡ κατὰ τὴν τιμοκρατικήν· ἴσοι γὰρ οἱ πολῖται βούλονται καὶ ἐπιεικεῖς εἶναι. Ἐν μέρει δὴ τὸ ἄρχειν, καὶ ἐξ ἴσου. Οὕτω δὴ καὶ ἡ φιλία. Ἐν δὲ ταῖς παρεκβάσεσιν ὥσπερ καὶ τὸ δίκαιον ἐπὶ μικρόν ἐστιν, οὕτω καὶ ἡ φιλία ἐστὶ, καὶ ἥκιστα ἐν τῇ χειρίστῃ. Ἐν τυραννίδι γὰρ οὐδὲν, ἢ μικρὸν φιλίας· ἐν οἷς γὰρ μηδὲν

[a] Καὶ deest El. [b] N C. et quidam impressi ἣ omittunt. [c] Γρ. ὁμοήθεις καὶ ὁμοιοπαθεῖς: et in quibusdam codd. ὁμοιομαθεῖς καὶ ὁμοιοηθεῖς.

avi nepotibus, et rex iis, qui sub regno sunt. In excellentia autem etiam hæ amicitiæ positæ sunt: itaque etiam parentibus tribuitur honos. Jus igitur in his non idem versatur, sed id, quod pro dignitate est: talis enim et horum amicitia est. Jam viri et uxoris amicitia eadem est, atque ea, quæ in optimatum principatu: ex virtute enim res tota penditur, et plus boni meliori tribuitur, et quod cuique aptum et accommodatum est. Idem porro et de jure sentiendum. Fratrum autem amicitia, sodalium amicitiæ similis est: sunt enim pares inter se, et æquales ætate: et qui sunt tales, plurimum iisdem studiis ac disciplinis dediti, consimilibusque moribus præditi sunt. Huic igitur similis ea amicitia videtur, quæ in Timocratia reperitur: postulat enim ratio et natura civium, ut inter se sint pares, et viri boni, atque æquales. Vicissim igitur et æqualiter soleant imperare. Talis ergo et eorum amicitia est. In declinationibus autem a recta reipublicæ administrandæ forma quemadmodum juri parum loci relictum est, sic et amicitiæ, minimumque in deterrima. In tyrannide enim aut nihil, aut parum loci amicitiæ relictum est: inter quos enim nihil est commune ei qui imperat, cum eo qui paret, nec ulla prorsus amicitia

κοινόν ἐςι τῷ ἄρχοντι καὶ ἀρχομένῳ, ὐδὲ φιλία. Οὐδὲ γὰρ δίκαιον· ἀλλὰ οἷον τεχνίτῃ πρὸς ὄργανον, καὶ ψυχῇ πρὸς σῶμα, καὶ δεσπότῃ πρὸς δῦλον· ὠφελεῖται μὲν γὰρ ταῦτα ὑπὸ τῶν χρωμένων. Φιλία δ' οὐκ ἔστι πρὸς τὰ ἄψυχα, ὐδὲ δίκαιον, ἀλλ' οὐδὲ πρὸς ἵππον ἢ βοῦν, [d]οὐδὲ πρὸς δοῦλον ᾗ δοῦλος· οὐδὲν γὰρ κοινόν ἐστιν· ὁ [e]γὰρ δοῦλος, ἔμψυχον ὄργανον· τὸ δ' ὄργανον, ἄψυχος δοῦλος. Ἡι μὲν ὖν δῦλος, οὐκ ἔστι φιλία πρὸς αὐτὸν, ᾗ δ' ἄνθρωπος· δοκεῖ γὰρ εἶναί τι δίκαιον παντὶ ἀνθρώπῳ πρὸς πάντα τὸν δυνάμενον κοινωνῆσαι νόμου καὶ συνθήκης· καὶ φιλίας δὴ καθ' ὅσον ἄνθρωπος. Ἐπὶ μικρὸν δὴ καὶ ἐν ταῖς τυραννίσιν αἱ φιλίαι καὶ τὸ δίκαιον· αἱ δὲ ἐν ταῖς δημοκρατίαις, ἐπὶ πλεῖστον· πολλὰ γὰρ τὰ κοινὰ ἴσοις οὖσιν.

ΚΕΦ. ιβ'.

[f]ΕΝ κοινωνίᾳ μὲν οὖν πᾶσα φιλία ἐστὶ, καθάπερ εἴρηται· ἀφορίσειε δ' ἄν τις τήν τε συγγενικὴν καὶ τὴν

[d] Γρ. ἀλλ' οὐδὲ πρὸς δοῦλον ᾗ δῦλον. [e] Vide Polit. lib. i. cap. 6. [f] Magn. Moral. lib. ii. cap. 12. et Eud. lib. viii. cap. 9.

est. Nam ne juris quidem inter eos ulla est communitas: sed tantundem juris et amicitiæ est, quantum intercedit artifici cum instrumento, animo cum corpore, domino cum servo: his enim prosunt quidem et consulunt ii, qui utuntur. Verum nec amicitia, nec jus est nobis cum rebus inanimis; immo ne cum equo quidem aut bove; sed neque cum servo, qua servus est: nihil enim domino cum servo commune est: nam servus, instrumentum est animatum; instrumentum autem, servus inanimus. Qua igitur servus est, nulla nobis cum eo amicitia intercedit: sed qua homo est: nam omni homini cum eo, qui legis et conventi particeps esse potest, jus aliquod intercedere videtur: ergo et amicitia, quoad homo est. In tyrannidibus igitur neque amicitiis, neque juri multum relictum est loci: at in popularibus potestatibus plurimum: multa enim inter eos, qui sunt pares, communia sunt.

CAP. XII.

IN communitate igitur quadam omnis amicitia cernitur, quemadmodum diximus: nisi quis forte et co-

'ταιρικήν. Αἱ δὲ πολιτικαὶ, καὶ φυλετικαὶ, καὶ συμπλοϊκαὶ, καὶ ὅσαι τοιαῦται, κοινωνικαῖς ἐοίκασι μᾶλλον· οἷον γὰρ καθ' ὁμολογίαν τινὰ φαίνονται εἶναι. Εἰς ταύτας δὲ τάξειεν ἄν τις καὶ τὴν ξενικήν. Καὶ ἡ συγγενικὴ δὲ φαίνεται πολυειδὴς εἶναι, καὶ ἠρτῆσθαι πᾶσα ἐκ τῆς πατρικῆς. Οἱ γονεῖς μὲν γὰρ στέργουσι τὰ τέκνα, ὡς ἑαυτῶν τι ὄντα· τὰ δὲ τέκνα τοὺς γονεῖς, ὡς ἀπ' ἐκείνων τι ὄντα. Μᾶλλον δ' ἴσασιν οἱ γονεῖς τὰ ἐξ αὐτῶν, ἢ τὰ γεννηθέντα ὅτι ἐκ τούτων· ϗ μᾶλλον συνῳκείωται τὸ ἀφ' οὗ τῷ γεννηθέντι, ἢ τὸ γενόμενον τῷ ποιήσαντι· τὸ γὰρ ἐξ αὐτοῦ οἰκεῖον τῷ ἀφ' οὗ, οἷον [g]ὀδοὺς, ἢ θρὶξ, ἢ ὁτιοῦν τῷ ἔχοντι· [h]ἐκείνων δ' οὐθενὶ τὸ ἀφ' οὗ, ἢ ἧττον. Καὶ τῷ πλήθει δὲ τοῦ χρόνου· οἱ μὲν γὰρ εὐθὺς γενόμενα στέργουσι· τὰ δὲ [i]προελθόντα τοῖς χρόνοις τοὺς γονεῖς, σύνεσιν ἢ αἴσθησιν λαβόντα. Ἐκ τούτων δὲ δῆλον ϗ

[g] 'Οδοὺς, θρὶξ, ὁτιοῦν C C C. et El. Forsan etiam illud ὁτιοῦν, quod Andronicus non agnoscit, irreptitium est. [h] Ἐκείνῳ δ' οὐδὲν τὸ ἀφ' οὗ Vet. Interp. [i] Γρ. περιελθόντα. Eliensis vero legit προελθόντος χρόνου σύν. omisso τοὺς γονεῖς.

gnatorum et sodalium amicitiam ab his secludere velit. At vero civium et tribulium, et eorum, qui una navigant, et quæcunque sunt hujus generis amicitiæ, sociorum amicitiis sunt similiores: consensu enim et pacto quodam videntur constare. Atque in eodem numero et ordine hospitalem locare licet. Jam vero etiam cognatorum amicitia multiplex ac multiformis videtur esse, totaque a paterna pendere. Parentes enim liberos diligunt, ut aliquid sui; liberi autem parentes, ut ab illis quippiam profectum. Melius autem noverunt parentes suos liberos, quam sciunt liberi, se ex his esse procreatos: majore denique necessitudine conjunctum est ei, quod generatum est, id, a quo generatum est, quam id, quod natum est, ei, quod generavit: nam quod ab aliquo profectum est, ejus est proprium, a quo profectum est; ut dens, aut pilus, aut quidlibet, ejus, cui inhæret: id autem, a quo aliqua orta sunt, illorum nullius proprium est, aut certe minus. Præterea temporis longinquitate patris amor in filium superior est: parentes enim liberos statim ut nati sunt, diligunt: liberi parentes ætate progressi, et tum denique cum intelligere, aut sentire cœperunt. Atque ex

δι' ἃ φιλοῦσι μᾶλλον αἱ μητέρες. [k]Γονεῖς μὲν οὖν τέκνα φιλοῦσιν ὡς ἑαυτούς· τὰ γὰρ ἐξ αὐτῶν, οἷον ἕτεροι αὐτοὶ τῷ κεχωρίσθαι· τέκνα δὲ γονεῖς, ὡς ἀπ' ἐκείνων πεφυκότα. Ἀδελφοὶ δ' ἀλλήλους, τῷ ἐκ τῶν αὐτῶν πεφυκέναι· ἡ γὰρ πρὸς ἐκεῖνα ταὐτότης, ἀλλήλοις [l]ταὐτὸ ποιεῖ. Διό φασι ταὐτὸν αἷμα, καὶ ῥίζαν, καὶ τὰ τοιαῦτα. Εἰσὶ δὴ τὸ αὐτό πως καὶ ἐν διῃρημένοις. Μέγα δὲ πρὸς φιλίαν καὶ τὸ σύντροφον, καὶ τὸ καθ' ἡλικίαν· [m]ἧλιξ γὰρ ἥλικα· καὶ οἱ συνήθεις ἑταῖροι. Διὸ καὶ ἡ ἀδελφικὴ τῇ ἑταιρικῇ ὁμοιοῦται. Ἀνεψιοὶ δὲ καὶ οἱ λοιποὶ συγγενεῖς, [n]ἐκ τούτων συνῳκείωνται· [o]τῷ γὰρ ἀπὸ τῶν αὐτῶν εἶναι. Γίγνονται δ' οἱ μὲν οἰκειότεροι, οἱ δ' ἀλλοτριώτεροι, τῷ σύνεγγυς ἢ πόῤῥω τὸν ἀρχηγὸν εἶναι. Ἔστι δ' ἡ μὲν πρὸς γονεῖς φιλία τέκνοις, καὶ ἀνθρώ-

[k] Γρ. γονεῖς μὲν γὰρ τέκν. [l] Ταὐτὸ ποιεῖ conjungit Muretus, atque ex his unum facit ταὐτοποιεῖ. [m] Ἧλιξ γὰρ ἥλικα est particula versus, cujus mentio fit in Rhet. lib. i. cap. 11. hisce verbis: ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται· καὶ ἧλιξ ἥλικα τέρπει, καὶ ὡς αἰεὶ τὸν ὅμοιον φίλον τὸ ὅμοιον. [n] Sc. ἀδελφῶν. [o] Τῷ γὰρ ἀπὸ τῶν αὐτῶν εἶναι καὶ αὐτοὶ οἱ αὐτοί πως ἀλλήλοις εἰσίν. *Andr.*

his perspicuum etiam est, quamobrem matribus liberi sint cariores. Parentes igitur liberos, ut seipsos, diligunt: nam qui ex eis nati sunt, eo ipso quod separati sunt, tanquam alteri ipsi sunt: liberi autem parentes, ut ex illis nati. At fratres inter se amant, quod ex eisdem nati sint: nam eo ipso quod idem sunt, atque illi, fit ut inter se quoque sint idem. Idcirco de fratribus ita loqui solent, Idem sanguis, stirps eadem, et cætera ejusdem generis. Sunt igitur quodammodo unum et idem, etiam in corporibus divisis ac separatis. Magnum quinetiam ad amicitiam momentum habet educationis communitas, et ætatis æqualitas: nam æqualem æqualis, inquit ille: et qui familiaritate consuetudineque mutua delectantur, sodales sunt. Itaque amicitia fraterna sodalium amicitiæ simillima est. Patrueles autem, reliquique cognati, ex horum conjunctione inter se conjuncti sunt: ex eo enim scilicet, quod ex eisdem orti sunt. Atque horum alii sunt inter se propinquiores, alii alieniores, quod vel propius, vel longius ab eis abest eorum generis auctor et princeps. Ea autem, quæ liberis cum parentibus, et hominibus cum Diis immortalibus amicitia intercedit, ut cum

ποις πρὸς θεοὺς, ὡς πρὸς ἀγαθὸν [p]καὶ ὑπερέχον· εὖ γὰρ πεποιήκασι τὰ μέγιστα· τοῦ γὰρ εἶναι καὶ τραφῆναι αἴτιοι, καὶ γενομένοις τοῦ παιδευθῆναι. Ἔχει δὲ τὸ ἡδὺ καὶ τὸ χρήσιμον ἡ τοιαύτη φιλία μᾶλλον τῶν ὀθνείων, ὅσῳ καὶ κοινότερος ὁ βίος αὐτοῖς ἐστιν. Ἔστι δὲ καὶ ἐν τῇ ἀδελφικῇ, ἅπερ καὶ ἐν τῇ ἑταιρικῇ· καὶ μᾶλλον ἐν τοῖς ἐπιεικέσι, καὶ ὅλως τοῖς ὁμοίοις, ὅσῳ οἰκειότεροι, καὶ ἐκ γενετῆς [q]ὑπάρχοντες στέργουσιν ἀλλήλους· καὶ ὅσῳ ὁμοηθέστεροι οἱ ἐκ τῶν αὐτῶν, καὶ σύντροφοι, καὶ παιδευθέντες ὁμοίως· καὶ ἡ κατὰ τὸν χρόνον δοκιμασία πλείστη καὶ βεβαιοτάτη. Ἀνάλογον δὲ καὶ ἐν τοῖς λοιποῖς τῶν συγγενῶν τὰ φιλικά. Ἀνδρὶ δὲ καὶ γυναικὶ φιλία δοκεῖ κατὰ φύσιν ὑπάρχειν· ἄνθρωπος γὰρ τῇ φύσει συνδυαστικὸν μᾶλλον ἢ πολιτικόν· καὶ ὅσῳ πρότερον καὶ ἀναγκαιότερον οἰκία πόλεως, [r]καὶ τεκνοποιία κοινότερον ζώοις.

[p] Καὶ inter versus Eliensis scribitur. [q] Ὑπάρχουσι τοῖς ζώοις στέργοντες El.
[r] Καὶ ὅσῳ κοινότερος ζώοις τεκνοποιία, ἡ δὲ πολιτεία μόνοις τοῖς ἀνθρώποις. Andr.

bona quadam re atque excellente, intercedit: beneficiis enim nos maximis affecerunt: causæ enim sunt tum ut filii nascantur et alantur; tum ut jam confirmati instituantur. Inest autem in tali amicitia eo plus jucunditatis et utilitatis, quam in alienorum, quo etiam vitæ communitate magis inter se devincti sunt. Insunt autem etiam in fraterna, eadem quæ in sodalium amicitia, ac multo quidem magis in probis et æquis, et omnino similibus, quanto magis inter se familiares sunt, quantoque magis ab eo tempore, quo primum in lucem editi sunt, se mutuo diligunt: quanto denique similioribus moribus præditi sunt, qui ex iisdem nati, et una educati, et simili cura ac diligentia eruditi sunt: postremo probatio ea, quæ tempore constat, in hac et plurima et firmissima est. Peræqua autem proportione in cæteris quoque cognatis ea, quæ amicitiæ propria sunt, reperiuntur. Jam vero, quæ inter virum et uxorem amicitia est, maxime secundum naturam videtur esse: homo enim ad conjugium aptior est natura, quam ad societatem civilem: quanto prior, magisque necessaria civitate domus est, quantoque filiorum procreatio animantium omnium communior est. Atque in cæ-

Τοῖς μὲν οὖν ἄλλοις ἐπὶ τοσοῦτον ἡ κοινωνία ἐστίν· [s]οἱ δ' ἄνθρωποι οὐ μόνον τῆς τεκνοποιΐας χάριν συνοικοῦσιν, ἀλλὰ καὶ τῶν εἰς τὸν βίον· εὐθὺς γὰρ διῄρηται τὰ ἔργα, καὶ ἔστιν ἕτερα ἀνδρὸς καὶ γυναικός. Ἐπαρκοῦσιν οὖν ἀλλήλοις, εἰς τὸ κοινὸν τιθέντες τὰ ἴδια. Διὰ ταῦτα δὲ καὶ τὸ χρήσιμον εἶναι δοκεῖ, καὶ τὸ ἡδὺ ἐν ταύτῃ τῇ φιλίᾳ. Εἴη δ' ἂν καὶ δι' ἀρετὴν, εἰ ἐπιεικεῖς εἶεν· ἔστι γὰρ ἑκατέρου ἀρετή· καὶ χαίροιεν ἂν τῷ τοιούτῳ. Σύνδεσμος δὲ τὰ τέκνα δοκεῖ εἶναι· διὸ θᾶττον οἱ ἄτεκνοι διαλύονται· τὰ γὰρ τέκνα, κοινὸν [t]ἀγαθὸν ἀμφοῖν· συνέχει δὲ τὸ κοινόν. Τὸ δὲ, πῶς συμβιωτέον ἀνδρὶ πρὸς γυναῖκα, καὶ ὅλως φίλῳ πρὸς φίλον, οὐδὲν ἕτερον φαίνεται ζητεῖσθαι, ἢ πῶς δίκαιον· οὐ γὰρ [u]ταὐτὸ φαίνεται τῷ φίλῳ πρὸς τὸν φίλον, οὐδὲ πρὸς [x]τὸν ὀθνεῖον, καὶ τὸν ἑταῖρον, καὶ τὸν συμφοιτητήν.

[s] Vide Polit. lib. i. cap. 2. [t] Ἀγαθὸν abest ab Eliensi. [u] Ταὐτὸν El. [x] Καὶ τὸν ὀθν. El.

teris quidem hactenus progreditur communitas: homines autem non solum procreationis liberorum causa communi domo utuntur, sed etiam ut eorum, quæ ad vitam pertinent, majorem habeant facultatem: statim enim descripta ac divisa sunt eorum officia ac munera; aliæque sunt viri, aliæ uxoris partes. Inserviunt igitur alter alteri sua in medium afferentes. Propter hanc causam in hac amicitia et utilitas inesse videtur, et voluptas. Quod si probi fuerint, etiam propter virtutem amicitiam inter se colere videbuntur: est enim sua utriusque virtus: ac tali re sane lætabuntur. Liberi autem communes, vinculi cujusdam instar obtinent. Itaque citius dissolvuntur, qui liberis carent: liberi enim, commune amborum sunt bonum: at id omne, quod commune est, ad continendum valet. Viro autem cum uxore, et omnino amico cum amico quomodo sit vivendum si quæratur, nihil aliud sit, quam quærere quid inter eos juris intercedat: non enim idem jus est amico cum amico, neque cum alieno, neque cum socio, et cum discipulo.

ΚΕΦ. ιγ´.

ΤΡΙΤΤΩΝ δὴ οὐσῶν φιλιῶν, καθάπερ ἐν ἀρχῇ εἴρηται, καὶ καθ' ἑκάστην, τῶν μὲν ἐν ἰσότητι φίλων ὄντων, τῶν δὲ καθ' ὑπεροχήν· καὶ γὰρ ὁμοίως ἀγαθοὶ γίνονται φίλοι, καὶ ἀμείνων χείρονι, ὁμοίως δὲ καὶ ἡδεῖς, καὶ διὰ τὸ χρήσιμον ἰσάζοντες ταῖς ὠφελείαις καὶ διαφέροντες· τοὺς ἴσους μὲν κατ' ἰσότητα δεῖ [y]τῷ φιλεῖν καὶ τοῖς λοιποῖς ἰσάζειν, τοὺς δ' ἀνίσους [z]τῷ ἀνάλογον ταῖς ὑπεροχαῖς ἀποδιδόναι. Γίγνεται δὲ τὰ ἐγκλήματα καὶ αἱ μέμψεις ἐν τῇ κατὰ τὸ χρήσιμον φιλίᾳ ἢ μόνῃ, ἢ μάλιστα, εὐλόγως· οἱ μὲν γὰρ δι' ἀρετὴν φίλοι ὄντες, εὖ δρᾷν ἀλλήλους προθυμοῦνται· τοῦτο γὰρ ἀρετῆς καὶ φιλίας. Πρὸς τοῦτο δ' ἁμιλλωμένων οὐκ ἔστιν ἐγκλήματα, οὐδὲ μάχαι· τὸν γὰρ φιλοῦντα καὶ εὖ ποιοῦντα οὐδεὶς δυσχεραίνει· ἀλλ' ἐὰν ᾖ χαρίεις, [a]ἀμείβεται εὖ δρῶν. Ὁ δ' ὑπερβάλλων, τυγχάνων οὗ ἐφίεται, οὐκ ἂν ἐγκαλοίη τῷ φί-

[y] Illud τῷ delere mallem, ni id fieri vetarent omnes nostri codd. [z] Τὸ legit Eliensis; rectius, ni fallor. Quidam τῷ τὸ ἀνάλ. scribunt. [a] Ἀμύνεται pro ἀμείβεται C C C.

CAP. XIII.

CUM sint autem tria amicitiæ genera, quemadmodum initio diximus, et in unaquaque alii sint pares amici, alii præstantia quadam inter se differant (nam et æque boni inter se fiunt amici, et melior deteriori: similiterque jucundi: et ii, qui utilitatem sequuntur, tum utilitatibus præbendis æquales, tum inæquales ac differentes) eos quidem, qui inter se sunt pares, etiam amando et reliquis rebus oportet exæquari: eos autem, qui sunt dispares, id, quo sunt inferiores, præstantiæ et excellentiæ proportione reddere, ac remetiri. Oriuntur autem criminationes et querelæ in ea amicitia sola quam constituit utilitas, aut certe in ea maxime: nec immerito: nam qui ob virtutem sunt amici, student alter de altero bene mereri: hoc enim virtutis et amicitiæ proprium est. Illis porro hac de re certantibus, neque criminationes existunt, neque pugnæ: in eum enim, qui amat et bene meretur, nemo offenso est animo: immo vero si humanitate sit politus et gratus, refert gratiam. Jam qui beneficiis alterum superat, cum id, quod cupit, asse-

λῳ· ἑκάτερος γὰρ τοῦ ἀγαθοῦ [b]ἐφίεται. Οὐ πάνυ δ' οὐδ' ἐν ταῖς δι' ἡδονήν· ἅμα γὰρ ἀμφοῖν γίνεται οὗ ὀρέγονται, εἰ τῷ συνδιάγειν χαίρουσι. Γελοῖος δ' ἂν φαίνοιτο καὶ ὁ ἐγκαλῶν τῷ μὴ τέρποντι, ἐξὸν μὴ [c]συνδιημερεύειν. Ἡ δὲ διὰ τὸ χρήσιμον, ἐγκληματική· ἐπ' ὠφελείᾳ γὰρ χρώμενοι ἀλλήλοις, ἀεὶ τοῦ πλείονος δέονται, καὶ ἔλαττον ἔχειν οἴονται τοῦ προσήκοντος, καὶ μέμφονται ὅτι οὐχ ὅσων δέονται, τοσούτων τυγχάνουσιν, ἄξιοι ὄντες. Οἱ δ' εὖ ποιοῦντες, οὐ δύνανται ἐπαρκεῖν τοσαῦτα, ὅσων οἱ πάσχοντες δέονται. Ἔοικε δὲ, καθάπερ τὸ δίκαιόν ἐστι διττόν· τὸ μὲν γὰρ ἄγραφον, τὸ δὲ κατὰ νόμον· καὶ τῆς κατὰ τὸ χρήσιμον [d]φιλίας, ἡ μὲν ἠθικὴ, ἡ δὲ νομικὴ εἶναι. Γίγνεται οὖν τὰ ἐγκλήματα μάλισθ', ὅταν μὴ κατὰ τὴν αὐτὴν συναλλάξωσι καὶ διαλύωνται. Ἔστι δ' ἡ νομικὴ μὲν ἡ ἐπὶ ῥητοῖς· ἡ μὲν πάμπαν ἀγοραία,

[b] Ὀρέγεται El. [c] Συνημερεύειν C C C. et El. [d] Ὠφελείας El. et alii.

quatur, non queratur de amico: uterque enim bonum expetit. Ne in amicitiis quidem propter voluptatem conciliatis, admodum sæpe querelæ incidunt: nam si convictu lætantur, id quod expetunt, contingit pariter ambobus. Ridiculus autem videatur is, qui alterum criminetur, eo quod ab eo non delectetur, cum totos dies cum eo non conterere liceat. Amicitia autem ob utilitatem constituta, criminationum et querelarum plena est: nam quia emolumenti causa utuntur opera et consuetudine mutua, semper plura desiderant, semperque minus, quam conveniat, habere se existimant: denique queruntur se tam multa non consequi, quam multis egent, cum præsertim digni sint. Illi autem, qui beneficium conferunt, tam multa suppeditare non possunt, quam multis egent ii, in quos beneficia conferuntur. Videtur autem ut jus est duplex (alterum enim est non scriptum, alterum scriptum et legitimum) sic et amicitia, quam utilitas constituit, altera in moribus esse posita, altera legitima. Nascuntur igitur criminationes maxime, ubi non ex eadem, qua societatem contraxerunt, amicitia, fit solutio. Est autem legitima ea, quæ lege dicta certaque mercede præstituta constat: estque hæc duplex; altera prorsus mercaturæ similis, in qua de manu in manum merces, aut

ἐκ χειρὸς εἰς χεῖρα· ἡ δὲ ἐλευθεριωτέρα, εἰς χρόνον, καθ᾽ ὁμολογίαν δὲ, τὶ ἀντί τινος. Δῆλον δὲ ἐν ταύτῃ τὸ ὀφείλημα, κοὐκ [e]ἀμφίλογον· [f]φιλικὴν δὲ τὴν ἀναβολὴν ἔχει. [g]Διὸ παρ᾽ ἐνίοις, τούτων οὐκ εἰσὶ δίκαι, ἀλλ᾽ οἴονται δεῖν στέργειν τοὺς κατὰ πίστιν συναλλάξαντας. Ἡ δ᾽ ἠθικὴ, οὐκ ἐπὶ ῥητοῖς, ἀλλ᾽ ὡς φίλῳ δωρεῖται, ἢ ὅ, τι δή ποτε ἄλλῳ. Κομίζεσθαι δὲ ἀξιοῖ τὸ ἶσον ἢ πλέον, ὡς οὐ δεδωκὼς, ἀλλὰ χρήσας· οὐχ ὁμοίως δὲ καὶ συναλλάξας καὶ διαλυόμενος ἐγκαλέσει. Τοῦτο δὲ συμβαίνει, διὰ τὸ βούλεσθαι μὲν πάντας, ἢ τοὺς πλείστους, τὰ καλά· προαιρεῖσθαι δὲ τὰ ὠφέλιμα. Καλὸν δὲ τὸ εὖ ποιεῖν, μὴ ἵνα ἀντιπάθῃ· ὠφέλιμον δὲ τὸ εὐεργετεῖσθαι. Δυναμένῳ δὴ ἀνταποδοτέον τὴν ἀξίαν ὧν ἔπαθε, καὶ ἑκοντί· [h]ἄκοντα γὰρ φίλον οὐ ποιητέον· ὡς δὴ

[e] Ἀμφίβολον pro ἀμφίλογον El. [f] Ἡ δὲ ἀναβολὴ τῆς κομιδῆς ἐλευθεριώτερόν πως καὶ φιλικώτερον ποιεῖ τὸ συνάλλαγμα. *Dilatio vero receptionis liberalius multoque amicius pactum facit.* Andr. [g] Διόπερ ἐνίοις τούτ. El. ad oram nostra est lectio. Senec. lib. iii. *De Beneficiis*, testatur Actionem *ingrati*, excepta Macedonum gente, nusquam reperiri: videturque Aristoteles hoc ipsum tacite innuere, hoc suæ gentis esse proprium. [h] Quidam ἄκοντα ad eum, qui beneficium confert, referri

pretium numeratur; altera liberalior, in qua in diem confertur utilitas, sed ex pacto et consensu aliquid pro aliquo præstatur. Neque vero in hac obscurum est, neque dubium id, quod debetur: sed amicitiæ convenientem dilationem habet. Itaque apud nonnullos non dantur horum judicia aut actiones, neque jus dicitur, sed putant eos, qui fidem alterius secuti cum eo aliquid contraxerunt, æqui bonique facere oportere. Ea autem quæ in moribus posita est, neque legem dictam, neque utilitatem aliquam habet pactam: sed alter alteri tanquam amico donat, aut quidlibet aliud agit. Verum tamen æquum esse censet tantundem, aut plus ad se redire, proinde quasi non donaverit, sed utendum dederit et commodarit: quod si aliter ei solvetur, quam contraxerit, alterum accusabit. Hoc autem propterea accidit, quia volunt omnes, aut quam plurimi, res honestas, sed honestis utiles anteponunt. Honestum autem est bene de altero mereri, nulla vicissim utilitate sperata; utile, beneficium accipere. Debet igitur qui facultatem habet, tantundem, quantum accepit, referre, idque sua sponte (non enim amicum quenquam, qui nolit, facere debemus) tum

διαμαρτάνοντα ἐν τῇ ἀρχῇ, καὶ εὖ παθόντα ὑφ' οὗ οὐκ ἔδει· οὐ γὰρ ὑπὸ φίλου, οὐδὲ δι' αὐτὸ τοῦτο δρῶντος. Καθάπερ οὖν ἐπὶ ῥητοῖς εὐεργετηθέντα διαλυτέον. [i]Καὶ ὡμολόγησε δ' ἂν, δυνάμενος ἀποδώσειν· ἀδυνατοῦντα δὲ, οὐδὲ ὁ δοὺς ἠξίωσεν ἄν. Ὥστ' εἰ δυνατὸς, ἀποδοτέον. Ἐν ἀρχῇ δ' ἐπισκεπτέον ὑφ' οὗ εὐεργετεῖται, καὶ ἐπὶ τίνι, ὅπως [k]ἐπὶ τούτοις ὑπομένῃ, ἢ μή. Ἀμφισβήτησιν δὲ ἔχει, πότερα δεῖ τῇ τοῦ παθόντος ὠφελείᾳ μετρεῖν, καὶ πρὸς ταύτην ποιεῖσθαι τὴν ἀνταπόδοσιν, ἢ τῇ τοῦ δράσαντος εὐεργεσίᾳ. Οἱ μὲν γὰρ παθόντες, τοιαῦτά φασι λαβεῖν παρὰ τῶν εὐεργετῶν, ἃ μικρὰ ἦν ἐκείνοις, καὶ ἐξῆν παρ' ἑτέρων λαβεῖν, [l]κατασμικρίζοντες· οἱ δ' ἀνάπαλιν, τὰ μέγιστα τῶν παρ' αὐτοῖς, καὶ ἃ παρ' ἄλλων οὐκ ἦν, καὶ ἐν κινδύνοις, ἢ τοιαύταις χρείαις. Ἆρ' οὖν διὰ μὲν τὸ χρήσιμον τῆς φιλίας οὔσης, ἡ τοῦ παθόν-

volunt. Pro nostro vero Interprete facit Andronicus: τοὺς δὲ τοιούτους φίλους, καὶ ἵνα εὖ πάθωσιν κ. τ. λ. [i] Καὶ ὁμολογῆσαι δ' ἂν δυνάμενον C C C. ὁμολογῆσαι etiam legit El. ἢ γὰρ ὡμολόγησε μὲν ἂν legendum esse censet Muretus. [k] Ὑπὸ τούτοις El. ἐπὶ vero ad oram scriptum habet. [l] Γρ. κατασμικρύνοντες.

etiam tanquam qui jam ab initio errarit, beneficiumque ab eo, a quo non debebat, acceperit: non enim ab amico accepit, neque ab eo, qui amici causa beneficium conferebat. Itaque perinde quasi beneficium acceperit certa lege dicta, sic debet dissolvere. Fatebitur quoque sese, quamprimum possit, parem gratiam relaturum: si non possit vero, ne is quidem, qui dedit, sibi reddi æquum esse duxerit. Quocirca si facultatem habet, referendum beneficium est. Videndum autem statim a principio est, a quo beneficium accipiat, et quam beneficii mercedem ille exspectet: ut hac conditione se beneficio affici aut patiatur, aut recuset. Sed ambigi potest utrum ejus utilitate, qui accepit, beneficium sit ponderandum, ejusque ratione habita, referenda sit gratia: an ejus, qui dedit, liberalitate metiendum. Nam qui acceperunt, ea se a bene meritis extenuantes accepisse dicunt, quæ et illis erant parva, et ab aliis consequi licebat: illi contra se, quam maxima potuerint, contulisse; et quæ hi ab aliis non tulissent; et in periculis, aut in talibus eorum rebus adversis, et necessariis temporibus. Si igitur amicitiam utilitas con-

τος ὠφέλεια μέτρον ἐστίν; οὗτος γὰρ ὁ δεόμενος, καὶ ἐπαρκεῖ αὐτῷ ὡς κομιούμενος τὴν ἴσην. Τοσαύτη οὖν γεγένηται ἡ ἐπικουρία, ὅσον οὗτος ὠφελεῖται. Καὶ ἀποδοτέον δὴ αὐτῷ ὅσον [m] ἐφεύρατο, ἢ καὶ πλέον· [n] κάλλιον γάρ. Ἐν δὲ ταῖς κατ' ἀρετὴν, ἐγκλήματα μὲν οὐκ ἔστι· μέτρῳ δ' ἔοικεν ἡ τοῦ δράσαντος προαίρεσις· τῆς ἀρετῆς γὰρ καὶ τοῦ ἤθους ἐν τῇ προαιρέσει τὸ κύριον.

ΚΕΦ. ιδʹ.

ΔΙΑΦΕΡΟΝΤΑΙ δὲ καὶ ἐν ταῖς καθ' ὑπεροχὴν φιλίαις· ἀξιοῖ γὰρ ἑκάτερος πλέον ἔχειν. Ὅταν δὲ τοῦτο γίγνηται, διαλύεται ἡ φιλία. Οἴεται γὰρ ὅ, τε βελτίων προσήκειν αὐτῷ πλέον ἔχειν· τῷ γὰρ ἀγαθῷ νέμεσθαι πλέον· ὁμοίως δὲ καὶ ὁ ὠφελιμώτερος· ἀχρεῖον γὰρ ὄντα οὔ φασι δεῖν ἴσον ἔχειν· λειτουργίαν τε γὰρ γίνεσθαι, καὶ οὐ φιλίαν, εἰ μὴ κατ' ἀξίαν τῶν ἔργων ἔσται τὰ ἐκ τῆς φιλίας. Οἴονται γὰρ

[m] Ἀπηύρατο El. [n] Κάλλιστον El. ad oram vero κάλλιον.

stituerit, ejusne, qui accepit, utilitate sunt metienda? hic est enim, qui eget, et ille huic opitulatur, tanquam parem gratiam accepturus. Tantam igitur ille huic opem tulit, quantam hic utilitatem cepit. Ei igitur tantundem reddendum est, quantum est consecutus: aut etiam amplius: hoc enim longe pulchrius atque honestius est. In iis autem amicitiis, quæ virtute constant, nullæ criminationes innascuntur: ejus tamen, qui bene meritus est, consilio beneficium videtur esse metiendum; virtutis enim et morum principatus in consilio positus est.

CAP. XIV.

JAM vero in iis quoque amicitiis, quæ in excellentia quadam consistunt, dissidia nonnulla oriuntur: postulat enim uterque plus sibi tribui. Quod cum fit, dirimitur amicitia. Existimat enim et is, qui melior est, sibi plus tribui convenire (bono enim viro plus tribui solere) et similiter is, qui utilior est: negant enim, eum, qui sit inutilis, æquam partem auferre oportere: onus enim sumptuosi muneris obeundi, non amicitiam futuram, nisi dignitati factorum ea, quæ ab amicitia proficiscuntur, respondebunt. Arbitrantur e-

καθάπερ ἐν χρημάτων κοινωνίᾳ πλείω λαμβάνουσιν οἱ συμβαλλόμενοι πλείω, οὕτω δεῖν καὶ ἐν τῇ φιλίᾳ. Ὁ δ' ἐνδεὴς, καὶ ὁ χείρων, ἀνάπαλιν· φίλου γὰρ ἀγαθοῦ εἶναι, τὸ ἐπαρκεῖν τοῖς ἐνδεέσι· τί γὰρ, φασὶν, ὄφελος σπουδαίῳ ἢ δυνάστῃ φίλον εἶναι, μηθέν γε μέλλοντα ἀπολαύειν; [o]Ἔοικε δὲ ἑκάτερος ὀρθῶς ἀξιοῦν, καὶ δεῖν ἑκατέρῳ πλέον νέμειν ἐκ τῆς φιλίας, οὐ τοῦ αὐτοῦ δὲ, ἀλλὰ τῷ μὲν ὑπερέχοντι, τιμῆς· τῷ δὲ ἐνδεεῖ, κέρδους· τῆς μὲν γὰρ ἀρετῆς καὶ εὐεργεσίας ἡ τιμὴ, γέρας· τῆς δ' ἐνδείας ἐπικουρία, τὸ κέρδος. Οὕτω δ' ἔχειν τοῦτο καὶ ἐν ταῖς πολιτείαις φαίνεται· οὐ γὰρ τιμᾶται ὁ μηδὲν ἀγαθὸν τῷ κοινῷ πορίζων· τὸ κοινὸν γὰρ δίδοται τῷ τὸ κοινὸν εὐεργετοῦντι· ἡ τιμὴ δὲ κοινόν. Οὐ γάρ ἐστιν ἅμα χρηματίζεσθαι ἀπὸ τῶν κοινῶν, καὶ τιμᾶσθαι· ἐν πᾶσι γὰρ τὸ ἔλαττον οὐδεὶς ὑπομένει. Τῷ δὴ περὶ χρήματα ἐλαττουμένῳ, τιμὴν ἀπονέμουσι· καὶ τῷ [p]δωροδόκῳ, χρήματα· τὸ κατ'

[o] Ἔοικε δὲ οὖν El. [p] Ἀδωροδόκῳ (ita El.) legendum puto, ut etiam habet Eustratius, aut, quod forte verius est, delenda vox χρήματα. *Muretus.*

nim, ut in societate pecuniarum plura auferunt, qui plura in societatem attulerunt, sic et in amicitia fieri oportere. Egens autem et deterior contra: esse enim boni amici egentibus opitulari, eaque, quæ desiderant, suppeditare: quid enim juvat (inquiunt) viro bono, aut potenti amicum esse, si nullum ex eo fructum sis consecuturus? Videtur autem æqua utriusque ésse postulatio, et utrique ex amicitia plus tribuere oportere, sed non ejusdem rei: verum meliori quidem, et ei, qui virtute præstat, plus honoris; egenti vero plus quæstus et emolumenti: virtutis enim et beneficentiæ præmium est, honos; egestatis autem et inopiæ subsidium, lucrum. Atque etiam in omni reipublicæ administrandæ forma ita sese res habere videtur: non enim honore afficitur is, qui nihil boni confert in rempublicam: nam res quædam communis ei tribuitur, qui de re communi et publica bene meretur: honos autem res communis est. Non enim fieri potest, ut quis e rebus communibus ac publicis, pecuniosus simul et honoratus discedat: nemo enim omnibus in rebus suam conditionem deteriorem esse patitur. Itaque ei, qui in re pecunia-ria deteriore conditione fue-

ἀξίαν γὰρ ἐπανισοῖ καὶ σώζει τὴν φιλίαν, καθάπερ εἴρηται. Οὕτω δὴ καὶ τοῖς ἀνίσοις ὁμιλητέον, καὶ τῷ εἰς χρήματα ὠφελουμένῳ ἢ εἰς ἀρετὴν, τιμὴν [q] ἀνταποδοτέον, ἀνταποδιδόντα τὸ ἐνδεχόμενον· τὸ δυνατὸν γὰρ ἡ φιλία ἐπιζητεῖ, οὐ τὸ κατ' ἀξίαν. Οὐδὲ γάρ ἐστιν ἐν πᾶσι, καθάπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς τιμαῖς, καὶ γονεῖς· οὐδεὶς γὰρ τὴν ἀξίαν ποτ' ἂν ἀποδοίη· εἰς δύναμιν δὲ ὁ θεραπεύων, ἐπιεικὴς εἶναι δοκεῖ. Διὸ κἂν δόξειεν [r] οὐκ ἐξεῖναι υἱῷ πατέρα ἀπείπασθαι, πατρὶ δ' υἱόν· [s] ὀφείλοντα γὰρ ἀποδοτέον· οὐθὲν δὲ ποιήσας, ἄξιον τῶν ὑπηργμένων δέδρακεν· ὥστ' αἰεὶ ὀφείλει· οἷς δ' ὀφείλεται, ἐξουσία ἀφιέναι· καὶ τῷ πατρὶ δή. Ἅμα δὲ ἴσως [t] οὐδείς ποτ' ἂν ἀποστῆναι δοκεῖ μὴ ὑπερβάλλοντος μοχθηρίᾳ· χωρὶς γὰρ τῆς φυσικῆς [u] φιλίας, τὴν ἐπικουρίαν ἀνθρωπικὸν μὴ

[q] Ἀποδιδόντα El. [r] *Διὰ τοῦτο δοκεῖ μὴ ἐξεῖναι υἱῷ πατέρα ἀπείπασθαι, καὶ μὴ ὑπακοῦσαι περὶ ὁτουοῦν ἀξιοῦντα· ἀεὶ γὰρ ὀφείλει, καὶ διὰ τοῦτο ἀνταποδοτέον ἀεί. Ideo videtur non licere filio abdicare patrem, aut quicquid eorum quæ petierit negare: semper enim debet: quare etiam semper reddendum.* Andr. [s] Γρ. *τὸν ὀφείλοντα γὰρ υἱὸν ἀποδοτέον.* [t] Sc. *πατήρ.* [u] Ὠφιλείας El.

rit, honorem tribuunt: eique qui muneribus capitur, pecuniam: dignitatis enim conservatio amicitiam exæquat et conservat, quemadmodum diximus. Sic igitur etiam eos, qui non sunt æquales, alterum cum altero communicare et agere par est: et qui vel pecunia, vel virtute auctus et ornatus est, is alterum honore remunerari debet, id saltem referens, cujus facultatem habet: id enim, quod præstari potest, amicitia desiderat ac requirit, non quo quisque dignus sit. Nam ne omnibus quidem in rebus id effici potest: quemadmodum in honoribus iis quos Diis immortalibus et parentibus habere solemus: nemo est enim qui honorem iis dignum tribuere possit: sed qui eos pro viribus et facultate colat, is probus et pius esse videtur. Quocirca etsi videtur patrem abdicare filio non licere, sed patri filium maxime: (eum enim, qui debet, oportet reddere: quidquid autem fecerit filius, nihil beneficiis a patre acceptis dignum fecerit: semper igitur debet: iis vero quibus debetur dimittendi ac liberandi debitoris potestas datur: ergo et patri.) Simul tamen nemo fortasse discedere velle videatur, nisi ab eo qui improbitate excellat: nam præter amicitiam naturalem humanum est, auxilium non

διωθεῖσθαι· [x]τῷ δ', ἐπιφευκτὸν, ἢ οὐ σπουδαστὸν, τὸ ἐπαρκεῖν, μοχθηρῷ ὄντι. Εὖ πάσχειν γὰρ οἱ πολλοὶ βούλονται· τὸ δὲ ποιεῖν φεύγουσιν, ὡς ἀλυσιτελές. Περὶ μὲν οὖν τούτων, ἐπὶ τοσοῦτον εἰρήσθω.

[x] Τῷ δὲ υἱῷ μοχθηρῷ ὄντι μισητὸν, ἢ οὐ λίαν σπουδάζεται τῷ πατρὶ ἐπαρκεῖν. *Filius autem si sit improbus plane, aut odit, aut certe non admodum studet patri ferre auxilium.* Andr. Hanc interpretationem sequentia desiderare videntur.

aspernari : illi autem, qui sit improbus, huic opitulari aut fugiendum est, aut non admodum laborandum. Plerique enim omnes beneficium accipere volunt : dare vero ut rem inutilem fugiunt. Ac de his quidem hactenus.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Ι΄.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. IX.

ΚΕΦ. α΄.

ΕΝ ἁπάσαις δὲ ταῖς ἀνομοιοειδέσι φιλίαις τὸ ἀνάλογον [a]ἰσάζει καὶ σώζει τὴν φιλίαν, καθάπερ εἴρηται· [1]οἷον καὶ ἐν τῇ πολιτικῇ, τῷ σκυτοτόμῳ ἀντὶ τῶν ὑποδημάτων ἀμοιβὴ γίνεται κατ' ἀξίαν, καὶ τῷ ὑφάντῃ, καὶ τοῖς λοιποῖς. Ἐνταῦθα μὲν οὖν πεπόρισται κοινὸν μέτρον τὸ νόμισμα· πρὸς τοῦτο δὴ πάντα ἀναφέρεται, καὶ τούτῳ μετρεῖται. [b]Ἐν ᾗ τῇ

[a] Ἀνισάζει El. [1] Vide lib. v. [b] Ἐν δὲ ταῖς ἠθικαῖς τε καὶ φιλικαῖς κοινωνίαις οὐκ ἔστιν ᾧ μετρῆσαι δυνατὸν τὰ ἀνομοιοειδῆ. Διὰ τοῦτο ἐν ἐγκλήμασιν ἀεί εἰσιν αἱ τοιαῦται κοινωνίαι, οἷα ἐστὶν ἡ ἐρωτική. *In morali vero societate, et quæ amicitia con-*

CAP. I.

IN omnibus autem dissimilium amicorum amicitiis proportio amicitiam exæquat, et conservat, ut diximus: exempli gratia, etiam in civili, sutori pro calceis remuneratio fit ex merito et dignitate, et textori, et cæteris item artificibus atque opificibus. Hic igitur mensura communis comparata est, nummus: atque ad hunc omnia referuntur, hic omnia metitur.

ἐρωτικῇ, ἐνίοτε μὲν ὁ ἐραστὴς ἐγκαλεῖ, ὅτι ὑπερφιλῶν οὐκ ἀντιφιλεῖται, οὐθὲν ἔχων φιλητὸν, εἰ οὕτως ἔτυχε· πολλάκις δὲ ὁ ἐρώμενος, ὅτι πρότερον ἐπαγγελλόμενος πάντα, νῦν οὐθὲν ἐπιτελεῖ. Συμβαίνει δὲ τὰ τοιαῦτα, ἐπειδὰν ὁ μὲν δι' ἡδονὴν φιλῇ τὸν ἐρώμενον, ὁ δὲ διὰ τὸ χρήσιμον τὸν ἐραστήν· [c]ταῦτα δὲ μὴ ἀμφοῖν ὑπάρχῃ. Διὰ ταῦτα γὰρ τῆς φιλίας οὔσης, διάλυσις γίνεται, ἐπειδὰν μὴ γίνηται ὧν ἕνεκα ἐφίλουν· οὐ γὰρ αὐτοὺς ἔστεργον, ἀλλὰ τὰ ὑπάρχοντα οὐ μόνιμα ὄντα· διὸ τοιαῦται καὶ αἱ φιλίαι. Ἡ δὲ τῶν [d]ἠθῶν καθ' αὑτὴν οὖσα, μένει, καθάπερ εἴρηται. Διαφέρονται δὲ καὶ ὅταν ἕτερα γίγνηται αὐτοῖς, καὶ μὴ ὧν ὀρέγονται· ὅμοιον γὰρ τῷ μηθὲν γίγνεσθαι, ὅταν οὗ ἐφίεται μὴ τυγχάνῃ. [e]Οἷον καὶ τῷ κιθαρῳδῷ ὁ ἐπαγγελλόμενος, καὶ ὅσῳ ἄμεινον ᾄσειε, τοσούτῳ πλείω· εἰς ἕω δ' ἀπαιτοῦντι τὰς ὑποσχέσεις, ἀνθ' ἡδονῆς

stat, nihil habemus, quo ea quæ sunt dissimilia metiri possimus. Quamobrem querelarum atque accusationum plenæ sunt hujusmodi amicitiæ: qualis quoque est amatoria. Andr. [c] *Εἴτω μήτε οὗτος πάνυ ἡδὺς ᾖ, μήτε ἐκεῖνος χρήσιμος. Andr.* [d] Ἐθῶν pro ἠθῶν El. et C C C. [e] Plutarchus factum hoc Dionysio tyranno Syracusano tribuit. Sic Augustus cuidam Græculo, ut Macrobius narrat, versus pro versibus reddidit:

Verba dedi Xysto, decet hæc dare dona poetam.

In amatoria vero amicitia queritur interdum amator de eo, quem amat, quod cum eum deamet, ille sibi mutuo non respondeat in amore, quamvis forte nihil ipse habeat amabile? sæpe autem is, qui amatur, de amatore queritur, quod cum antea omnia promitteret, nunc nihil præstet. Atque hæc talia tum eveniunt, cum amator eum, qui colitur, propter voluptatem amat; ille amatorem, propter utilitatem; et hæc utrique non suppetunt. Nam quoniam hæc amicitiam constituerunt, dirimitur tum, cum ea non præstantur, in quibus inerat causa diligendi: non enim alter alterum diligebat, sed ea, quibus potiri dabatur, quæ stabilia non permanent: quamobrem tales sunt et amicitiæ. At vero ea, quæ ex moribus proficiscitur amicitia, cum per se sit, manet, ut diximus. Dissident autem inter se amici etiam, cum alia, et non ea, quæ expetebant, consequuntur: simile enim est ac si quis nihil consequatur, cum id, quod cupiebat, non consequitur. Quale illud est de citharœdo quodam, cui is, qui promiserat, quanto melius caneret, tanto se plura daturum, mane

ἡδονὴν ἀποδεδωκέναι ἔφη. Εἰ μὲν οὖν ἑκάτερος τοῦτο ἐβούλετο, ἱκανῶς ἂν εἶχεν· εἰ δ᾽ ὁ μὲν τέρψιν, ὁ δὲ κέρδος, καὶ ὁ μὲν ἔχει, ὁ δὲ μὴ, οὐκ ἂν εἴη τὸ κατὰ τὴν κοινωνίαν καλῶς. Ὧν γὰρ δεόμενος τυγχάνει, τούτοις καὶ προσέχει, κἀκείνου γε χάριν [f] ταῦτα δώσει. Τὴν ἀξίαν δὲ ποτέρου τάξαι ἐστὶ, τοῦ προϊεμένου, ἢ τοῦ προλαβόντος; ὁ γὰρ προϊέμενος ἔοικεν ἐπιτρέπειν ἐκείνῳ. Ὅπερ φασὶ καὶ [g] Πρωταγόραν ποιεῖν· ὅτε γὰρ διδάξειεν ἃ δή ποτε, τιμῆσαι τὸν μαθόντα ἐκέλευεν ὅσου δοκεῖ ἄξια ἐπίστασθαι, καὶ ἐλάμβανε τοσοῦτον. Ἐν τοῖς τοιούτοις δ᾽ ἐνίοις [h] ἀρκεῖ τὸ,

[i] Μισθὸς δ᾽ ἀνδρί.—

Οἱ δὲ προλαβόντες τὸ ἀργύριον, εἶτα μηθὲν ποιοῦντες, ὧν

[f] Γρ. τὰ αὐτά. [g] Vide Platonem in Protag. [h] Γρ. ἀρέσκει. [i] Versus est Hesiodi dimidius: legitur autem integer hoc modo,

Μισθὸς δ᾽ ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω,

Hanc autem sententiam ad Pittheum Thesei avum refert Plutarchus in Theseo, citans Aristotelem. Est autem sensus illius versus talis: etiamsi cum amico aliquid negotii contrahas, fac ut tibi prius conveniat cum eo, et dicat quam mercedem sibi satis futuram putet, quanto contentus futurus est: contrahendum enim est semper ἐπὶ ῥητοῖς: sic enim tolluntur, ac præciduntur omnes conquerendi occasiones: cum ei satis esse debeat id, quod dictum est. Hanc esse sententiam illius versus ostendunt, quæ sequuntur:

Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.
Πίστεις δ᾽ ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.

Ἔργ. καὶ Ἡμέρ. lib. α'. ver. 368. *Muret.*

promissam mercedem exigenti, voluptatem se pro voluptate reddidisse respondit. Si hoc igitur volebat uterque, satis illi factum esset: sin hic oblectationem, ille quæstum atque utilitatem petebat, et hic habet, quod voluit, ille non habet; non fuerit legi societatis cumulate satisfactum. Nam quibus quisque eget, ad hæc animum etiam habet attentum, illorumque gratia hæc, quæ habet, daturus est. Sed æstimationem rei facere utrius est, ejusne, qui ante dedit, an ejus, qui ante accepit? nam qui dat prior, permittere illi videtur. Quod aiunt et Protagoram facere solitum: cum enim docuisset quod ei tandem visum esset, eum, qui didicerat, jubebat æstimare, quanti esse viderentur ea, quæ sciret: et tantum auferebat. In talibus autem placet illud nonnullis,

Dicta viro merces ab amico.

Qui autem præcepta pecunia, nihil eorum, quæ dixerunt, præstant propter immo-

ἔφασαν, διὰ τὰς ὑπερβολὰς τῶν ἐπαγγελιῶν, εἰκότως ἐν ἐγκλήμασι γίνονται· οὐ γὰρ ἐπιτελοῦσιν ἃ ὡμολόγησαν. Τοῦτο δ' ἴσως ποιεῖν [k] οἱ σοφισταὶ ἀναγκάζονται, διὰ τὸ μηθένα ἂν δοῦναι ἀργύριον ὧν ἐπίστανται. Οὗτοι μὲν οὖν ὧν ἔλαβον τὸν μισθὸν, μὴ ποιοῦντες, εἰκότως ἐν ἐγκλήμασίν εἰσιν. Ἐν οἷς δὲ μὴ γίγνεται διομολογία τῆς ὑπουργίας, οἱ μὲν δι' αὐτοὺς προϊέμενοι, εἴρηται ὅτι ἀνέγκλητοί εἰσι· τοιαύτη γὰρ ἡ κατ' ἀρετὴν φιλία. Τὴν ἀμοιβήν τε ποιητέον κατὰ τὴν προαίρεσιν· αὕτη γὰρ τοῦ φίλου καὶ τῆς ἀρετῆς. Οὕτω δ' ἔοικε καὶ τοῖς φιλοσοφίας κοινωνήσασιν· οὐ γὰρ πρὸς χρήμαθ' ἡ ἀξία μετρεῖται, τιμή τ' ἰσόῤῥοπος οὐκ ἂν γένοιτο. Ἀλλ' ἴσως ἱκανὸν, καθάπερ καὶ πρὸς θεοὺς, καὶ πρὸς γονεῖς, τὸ ἐνδεχόμενον. Μὴ τοιαύτης δ' οὔσης τῆς δόσεως, ἀλλ' ἐπί τινι, μάλιστα μὲν ἴσως δεῖ τὴν ἀνταπόδοσιν γίγνεσθαι, ἀπο-

[k] Σοφισταί εἰσιν οἱ ἐπαγγελλόμενοι μὲν, ὡς ἀρετῆς ἕνεκα τὰς ὁμιλίας ποιούμενοι, μισθὸν δὲ νόμισμα πραττόμενοι. Plato in Sophist. Ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας, ἀλλ' οὐ οὔσης. Aristot. in Elench. Sophistæ a Cic. iv. Academic. appellantur ii, qui ostentationis aut quæstus causa philosophantur.

deratam promissorum magnitudinem, merito accusantur: non enim persolvunt ea, quæ promiserunt. Sed hoc sophistæ fortasse facere coguntur, propterea quod nemo ea, quæ sciunt, cum pecunia commutaturus sit. Hi igitur quia ea, quorum mercedem acceperunt, non faciunt, non immerito accusantur. Inter quos autem nulla intercedit pro opera atque officio mercedis restipulatio, qui de altero propter ipsum priores bene merentur, apud eos nihil criminationibus esse relictum loci, dictum est: talis enim est ea, quæ virtute constituitur, amicitia. Atque in ea ex consilio facienda remuneratio est: hoc enim et amici et virtutis est. Eademque ratio iis, quibuscum philosophia communicata est, videtur esse servanda: neque enim sapientiæ æstimationem pecunia metiri potest, neque pretium paris momenti reperiri queat. Sed fortasse satis sit, id, quod vires et facultates patiuntur, referre: quemadmodum et diis et parentibus præstari solet. Ubi vero non hoc modo, nec hoc animo beneficium confertur, sed remunerationis et mercedis alicujus spe: facienda fortasse remuneratio est maxime, quæ utrique digna beneficio esse videatur.

φοῖν δοκοῦσαν κατ' ἀξίαν εἶναι. Εἰ δὲ τοῦτο μὴ συμβαίνοι, οὐ μόνον ἀναγκαῖον εἶναι δόξειεν ἂν τὸν [l]προέχοντα τάττειν, ἀλλὰ καὶ δίκαιον· ὅσον γὰρ ἂν οὗτος [m]ὠφεληθῇ, ἢ ἀνθ' ὅσου τὴν ἡδονὴν εἵλετ' ἂν, τοσοῦτον ἀντιλαβὼν ἕξει τὴν παρὰ τούτου ἀξίαν. Καὶ γὰρ ἐν τοῖς ὠνίοις οὕτω φαίνεται γινόμενον· ἐνιαχοῦ τ' εἰσὶ νόμοι, τῶν ἑκουσίων συμβολαίων δίκας μὴ εἶναι· ὡς δέον, ᾧ ἐπίστευσε, διαλυθῆναι πρὸς τοῦτον, καθάπερ ἐκοινώνησεν. Ὧι γὰρ ἐπετράφθη, τοῦτον [n]οἴεται δικαιότερον εἶναι τάξαι τοῦ ἐπιτρέψαντος· τὰ πολλὰ γὰρ οὐ τοῦ ἴσου τιμῶσιν οἱ ἔχοντες, καὶ οἱ βουλόμενοι λαβεῖν· [o]τὰ γὰρ οἰκεῖα, καὶ ἃ διδόασιν ἑκάστοις φαίνεται πολλοῦ ἄξια. Ἀλλ' ὅμως ἡ ἀμοιβὴ γίνεται πρὸς τοσοῦτον, ὅσον ἂν τάττωσιν οἱ λαβόντες. Δεῖ δ' ἴσως οὐ τοσούτου τιμᾶν, ὅσου ἔχοντι φαίνεται ἄξιον, ἀλλ' ὅσου πρὶν ἔχειν ἐτίμα.

[l] Γρ. παρέχοντα. [m] Γρ. Ὠφελήθη. [n] Οἴονται Vet. Interp. et Andr. quos secutus est Lamb. [o] Περὶ τῶν ἑαυτοῦ οὐδεὶς ἀξιόπιστός ἐστι κριτής. *In suis nemo fide dignus judex est.* Andr.

Sin minus hoc contingat, non modo necessarium, verum etiam justum videri possit, eum, qui prior acceperit, quantum sit reddendum, præfinire: quanta enim utilitas huic allata est, aut quanti voluptatem emisset, si tantum ille vicissim acceperit, justum pretium videbitur ab hoc esse consecutus. Nam etiam in rebus venalibus hoc idem videmus factitari: et quibusdam in locis leges vetant, contractuum voluntariorum judicia aut actiones dari; quasi oporteat, cujus quis fidem secutus est, ei sic, ut contraxerit, dissolvere. Nam cui creditum, ac permissum est, eum justius esse arbitrantur, quantum sit reddendum, præstituere, quam eum, qui permiserit: multa enim non tantidem æstimant ii, qui habent, quanti qui ea accipere volunt: sua enim cuique, et quæ quisque dat, magni videntur esse æstimanda. Veruntamen tanta remuneratio esse debet, quantam statuerint ii, qui acceperunt. Tanti autem fortasse res æstimanda est, non quanti tum esse videtur, cum eam quis habet, sed quanti priusquam eam haberet, æstimabat.

ΚΕΦ. β'.

ΑΠΟΡΙΑΝ [p] δ' ἔχει καὶ τὰ τοιάδε, οἷον, πότερα δεῖ πάντα τῷ πατρὶ ἀπονέμειν καὶ πείθεσθαι; Ἢ κάμνοντα μὲν ἰατρῷ πειστέον· στρατηγὸν δὲ χειροτονητέον τὸν πολεμικόν; Ὁμοίως [q] δὲ, φίλῳ μᾶλλον, ἢ σπουδαίῳ, ὑπηρετητέον; Καὶ εὐεργέτῃ ἀνταποδοτέον χάριν μᾶλλον, ἢ [r] ἑταίρῳ δοτέον, ἐὰν ἀμφοῖν μὴ ἐνδέχηται; Ἆρ' οὖν πάντα τὰ τοιαῦτα ἀκριβῶς μὲν διορίσαι οὐ ῥᾴδιον· πολλὰς γὰρ καὶ παντοίας ἔχει διαφορὰς, καὶ μεγέθει, καὶ μικρότητι, καὶ τῷ καλῷ, καὶ ἀναγκαίῳ. Ὅτι δὲ οὐ πάντα τῷ αὐτῷ ἀποδοτέον, οὐκ ἄδηλον· καὶ τὰς μὲν εὐεργεσίας ἀνταποδοτέον ὡς ἐπιτοπολὺ μᾶλλον, ἢ χαριστέον [s] ἑταίροις· καὶ ὥσπερ δάνειον ᾧ ὀφείλει ἀποδοτέον μᾶλλον, ἢ ἑταίρῳ δοτέον. Ἴσως δ' [t] οὐ τοῦτο ἀεί· οἷον, τῷ λυτρωθέντι παρὰ λῃστῶν, πότερον τὸν [u] λυσάμενον ἀντιλυτρωτέον, κἂν ὁστισοῦν ᾖ, ἢ καὶ μὴ ἑαλωκότι, ἀπαιτοῦντι δὲ

[p] Vide Gell. Noct. Attic. lib. ii. c. 7. et Eud. lib. viii. c. 11. [q] Γρ. δὲ ἢ φίλ.
[r] Ἑτέρῳ pro ἑταίρῳ *Mur.* [s] Ἑτέροις pro ἑταίροις *Mur.* [t] Οὐδὲ pro οὐ El.
[u] Γρ. λυτρωσάμενον.

CAP. II.

SED hujusmodi quoque quæstiones dubiæ sunt ac difficiles, Omniane patri sint tribuenda, eique in omnibus sit obtemperandum? An æger quidem medico parere debeat: in imperatore autem creando, viro bellicoso reique militaris perito suum dare suffragium? Itemque, Amicone potius, quam viro bono opera danda sit? Et, Eine, qui bene meritus est, gratia sit referenda potius, quam sodali donandum, si utrique satisfieri non possit? Hæc igitur omnia subtiliter et enucleate distinguere non facile est: multum enim, varieque differunt inter se et magnitudine, et parvitate, et honestate, et necessitate. Non omnia autem uni eidemque esse præstanda, minime obscurum est: beneficiaque potius iis, a quibus acceperis, esse referenda, quam sodalibus gratificandum: quemadmodum mutuum ei, cui debetur, reddendum est potius, quam sodali donandum. Atque hoc fortasse non semper: verbi gratia, utrum is, qui a prædonibus redemptus sit, eum, qui redemerit, captum vicissim redimere, quisquis sit: aut non capto illi qui-

ἀποδοτέον· ἢ τὸν πατέρα λυτρωτέον; δόξειε γὰρ ἂν καὶ ἑαυτοῦ μᾶλλον τὸν πατέρα. Ὅπερ οὖν εἴρηται, καθόλου μὲν τὸ ὀφείλημα ἀποδοτέον· ἐὰν δὲ ὑπερτείνῃ ἡ δόσις τῷ καλῷ, ἢ τῷ ἀναγκαίῳ, πρὸς ταῦτ' ἀποκλιτέον. Ἐνίοτε γὰρ οὐδ' ἐστὶν ἴσον τὸ τὴν [x] ἑτέρου προϋπαρχὴν ἀμείψασθαι, ἐπειδὰν, ὁ μὲν, σπουδαῖον εἰδὼς, εὖ ποιήσῃ· τῷ δὲ ἡ ἀνταπόδοσις γίγνεται, ὃν οἴεται μοχθηρὸν εἶναι. Οὐδὲ γὰρ τῷ δανείσαντι ἐνίοτε ἀντιδανειστέον· ὁ μὲν γὰρ οἰόμενος κομιεῖσθαι, ἐδάνεισεν ἐπιεικεῖ ὄντι· ὁ δ' οὐκ ἐλπίζει κομιεῖσθαι παρὰ πονηροῦ. Εἴτε τοίνυν τῇ ἀληθείᾳ οὕτως ἔχει, [y] οὐκ ἴσον τὸ ἀξίωμα· εἴτ' ἔχει μὲν μὴ οὕτως, οἴονται δὲ, οὐκ ἂν δόξειεν ἄτοπα ποιεῖν. Ὅπερ οὖν πολλάκις εἴρηται, οἱ περὶ τὰ πάθη καὶ τὰς πράξεις λόγοι ὁμοίως ἔχουσι τὸ ὡρισμένον τοῖς περὶ ἅ εἰσιν. Ὅτι μὲν οὖν

[x] Γρ. ἑταίρου. [y] Οὐ γάρ ἐστι δίκαιον, ἃ δίδωσιν ὁ φαῦλος τῷ σπουδαίῳ, ταῦτα καὶ παρ' ἐκείνου λαμβάνειν· οὐ γάρ ἐστιν ἴσον τὸ παρὰ τοῦ φαύλου τῷ παρὰ τοῦ ἀγαθοῦ, ὅταν τὸ αὐτὸ γίνεται παρ' ἀλλήλων ἀμφοτέροις· μεῖζον γὰρ γίνεται τῷ ἀξιώματι τοῦ διδόντος. Διὰ τοῦτο εἴρηται, ὅτι οὐκ ἀεὶ τοῖς εὐεργέταις μᾶλλον ἀνταποδοτέον, ἢ χαριστέον τοῖς φίλοις. *Neque enim justum est quæ in bonum virum confert homo improbus eadem ab illo ut accipiat vicissim: quia neque æquale est id quod dat improbus, ei quod dat vir bonus; licet idem sit quod uterque confert utrique: quippe cum a dignitate dantis pretium suum mutuetur; ideoque et majus fit. Quare diximus, non semper iis e quibus beneficium accepimus, id reddendum esse potius, quam gratificandum amicis.* Andr.

dem, veruntamen repetenti, quod impenderit, reddere: an patrem redimere debet? nam patrem potius, quam vel seipsum redimere debere videatur. Universe igitur, id quod debetur reddendum est, ut diximus: sed si donatio vel honesto, vel necessitate vincat, ad hæc oportet esse propensiores. Interdum enim ne æquum quidem est, ei, qui alterum beneficio provocarit, parem gratiam referre, cum ille, sciens hunc esse virum bonum, beneficium in eum contulerit: illi autem gratia referatur, quem hic improbum esse existimat. Nam ne ei quidem, qui mutuum dederit, interdum mutuum vicissim dandum est: ille enim existimans se suum recuperaturum, mutuum dedit viro bono; hic autem ab improbo sese recuperaturum esse non sperat. Sive igitur revera ita se res habet, minime par dignitas est: sive aliter est, sed existimant tamen ita esse, non absurde facere videantur. Quod igitur sæpenumero a nobis dictum est, omnis, quæ in perturbationibus et actionibus explicandis versatur, oratio, nihilo magis certa aut definita est, quam ea, in quibus versatur.

οὐ ταὐτὰ πᾶσιν ἀποδοτέον, οὐδὲ τῷ πατρὶ πάντα, [1]καθάπερ οὐδὲ τῷ Διῒ θύεται, οὐκ ἄδηλον. Ἐπεὶ δ' ἕτερα γονεῦσι, καὶ ἀδελφοῖς, καὶ ἑταίροις, καὶ εὐεργέταις, ἑκάστοις τὰ οἰκεῖα καὶ τὰ ἁρμόττοντα ἀπονεμητέον. Οὕτω δὲ καὶ ποιεῖν φαίνονται· εἰς γάμους μὲν γὰρ καλοῦσι τοὺς συγγενεῖς· τούτοις γὰρ κοινὸν τὸ γένος, καὶ αἱ περὶ τοῦτο δὴ [2]πράξεις. Καὶ εἰς τὰ κήδη δὲ μάλιστ' οἴονται δεῖν τοὺς συγγενεῖς ἀπαντᾷν διὰ ταὐτό. Δόξειε δ' ἂν τροφῆς μὲν γονεῦσι δεῖν μάλιστ' ἐπαρκεῖν, ὡς ὀφείλοντας· καὶ τοῖς αἰτίοις τοῦ εἶναι κάλλιον ἢ ἑαυτοῖς εἰς ταῦτ' ἐπαρκεῖν. Καὶ τιμὴν δὲ καθάπερ θεοῖς· οὐ πᾶσαν δὲ, γονεῦσιν· οὐδὲ γὰρ τὴν αὐτὴν πατρὶ, καὶ μητρί· οὐδ' αὖ τὴν τοῦ σοφοῦ, ἢ τοῦ στρατηγοῦ, ἀλλὰ τὴν πατρικὴν, ὁμοίως δὲ καὶ μητρικήν. Καὶ παντὶ δὲ τῷ πρεσβυτέρῳ τιμὴν τὴν καθ' ἡλικίαν, ὑπαναστάσει, καὶ κατακλίσει, καὶ τοῖς τοιούτοις. Πρὸς ἑταίρους δ' αὖ καὶ ἀδελφοὺς, παῤῥησίαν καὶ

[1] Vide lib. v. c. 7.

[2] Γρ. κοιναὶ πράξεις.

Non eadem igitur omnibus esse tribuenda, neque patri omnia, quemadmodum neque Jovi omnia immolantur, non obscurum est. Quoniam autem alia atque alia parentibus, et fratribus, et sodalibus, et bene meritis debentur, sua cuique et accommodata sunt tribuenda. Atque ita sane homines facere videntur: ad nuptias enim cognatos vocant: nam cum hi genus habeant commune, erunt quoque, quæ in hoc versantur, actiones communes. Atque ob eandem causam existimant cognatos maxime funeribus et parentalibus interesse oportere. Videntur autem filii parentibus maxime res ad victum necessarias suppeditare debere, tanquam debitores: pulchriusque est iis, per quos sumus, quam nobis ipsis in his rebus opitulari. Præterea parentibus honos, ut diis immortalibus, est habendus: sed non omnis parentibus: nam nec patri idem, qui matri debetur: neque vero sapiente, aut imperatore dignus honos, sed paternus, itemque matri maternus. Omni autem ætate grandiori, pro ætate honos tribuendus est: ut ei assurgamus, ut de sede et accubatione honoratiore decedamus, et cætera talia præstemus. Sodalibus autem et fratribus inter ipsos orationis libertas,

ἁπάντων κοινότητα. Καὶ συγγενέσι δὲ, καὶ φυλέταις, καὶ πολίταις, καὶ τοῖς λοιποῖς ἅπασιν ἀεὶ πειρατέον τὸ οἰκεῖον ἀπονέμειν, καὶ συγκρίνειν τὰ ἑκάστοις ὑπάρχοντα κατ' οἰκειότητα καὶ ἀρετὴν, ἢ χρῆσιν. Τῶν μὲν οὖν ὁμογενῶν, ῥᾴων ἡ κρίσις· τῶν δὲ διαφερόντων, ἐργωδεστέρα· οὐ μὴν διά γε τοῦτο ἀποστατέον, ἀλλ' ὡς ἂν ἐνδέχηται, οὕτω διοριστέον.

ΚΕΦ. γ'.

ΕΧΕΙ δ' ἀπορίαν καὶ περὶ τοῦ διαλύεσθαι τὰς φιλίας, ἢ μὴ πρὸς τοὺς μὴ διαμένοντας; ἢ πρὸς μὲν τοὺς διὰ τὸ χρήσιμον ἢ τὸ ἡδὺ φίλους ὄντας, ὅταν μηκέτι ταῦτ' ἔχωσιν, οὐδὲν ἄτοπον διαλύεσθαι; ἐκείνων γὰρ ἦσαν φίλοι· ὧν ἀπολιπόντων, εὔλογον τὸ μὴ φιλεῖν. Ἐγκαλέσειε δ' ἄν τις, εἰ διὰ τὸ χρήσιμον, ἢ διὰ τὸ ἡδὺ ἀγαπῶν, προσεποιεῖτο διὰ τὸ ἦθος· [a]ὅπερ γὰρ ἐν ἀρχῇ εἴπομεν, πλεῖσται διαφοραὶ

[a] Ὃ γὰρ El.

omniumque rerum communitas dari debet. Postremo ut cognatis, tribulibus, civibus, cæterisque omnibus suum cuique jus suumque honorem tribuamus, danda opera est: conferendaque sunt inter se, et perpendenda quæ cuique insunt, ex necessitudine, et virtute, vel usu. Ac de iis quidem, qui ejusdem generis et sanguinis sunt, facilius judicari potest; de iis autem, quorum nulla communio sanguinis est, difficilius: non tamen idcirco desistendum est: sed inter se, quoad ejus fieri possit, distinguendi ac discernendi sunt.

CAP. III.

EXISTIT autem quæstio et dubitatio subdifficilis de distrahendis et dirimendis amicitiis, sitne alienatio disjunctioque ab iis, qui iidem non permanent, qui fuerant, facienda? an discessionem et dissidium nasci inter eos, quorum amicitiam utilitas, aut jucunditas contraxit, cum utiles, aut jucundi esse desierint, non sit absurdum? illarum enim rerum erant amici: a quibus derelicti si jam desinant amare, non sit mirum. Merito autem quis eum accuset, qui, cum utili, aut jucundo ad amandum ducatur, simulet se moribus et virtute ad hoc ipsum excitari: nam, quod initio diximus, plurimæ inter amicos dissensiones oriuntur, cum haud ita, ut existimarunt,

γίγνονται τοῖς φίλοις, ὅταν μὴ ὁμοίως οἴωνται, καὶ ὦσι φίλοι. Ὅταν μὲν οὖν διαψευσθῇ τις καὶ ὑπολάβῃ φιλεῖσθαι διὰ τὸ ἦθος, μηθὲν τοιοῦτον ἐκείνου πράττοντος, ἑαυτὸν αἰτιῷτ᾽ ἄν. Ὅταν δ᾽ ὑπὸ τῆς ἐκείνου προσποιήσεως ἀπατηθῇ, δίκαιον ἐγκαλεῖν τῷ ἀπατήσαντι, καὶ μᾶλλον ἢ τοῖς τὸ νόμισμα κιβδηλεύουσιν, ὅσῳ περὶ τιμιώτερον ἡ κακουργία. Ἐὰν δὲ ἀποδέχηται ὡς ἀγαθὸν, γένηται δὲ μοχθηρὸς, [b] ἢ καὶ δοκῇ, ἆρ᾽ ἔτι φιλητέον; ἢ οὐ δυνατόν; εἴ περ μὴ πᾶν φιλητὸν, ἀλλὰ τἀγαθόν. [c] Οὔτε δὴ φιλητέον πονηρὸν, [d] οὔτε δεῖ· φιλοπόνηρον γὰρ οὐ χρὴ εἶναι, οὐδ᾽ ὁμοιοῦσθαι φαύλῳ. Εἴρηται δ᾽ ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον. Ἆρ᾽ οὖν εὐθὺς διαλυτέον; ἢ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀνιάτοις διὰ τὴν μοχθηρίαν; Ἐπανόρθωσιν δ᾽ ἔχουσι [e] μᾶλλον βοηθητέον εἰς τὸ ἦθος, ἢ τὴν οὐσίαν, ὅσῳ βέλτιον καὶ τῆς φιλίας οἰκειότερον. Δόξειε δ᾽

[b] Καὶ δοκεῖ sine ἢ El. C C C. et Græcus Interp. qui καὶ interpretatur ἢ. Andr. nobiscum legit. [c] Οὔτε δὴ φιλητέον πονηρὸν Mich. Eph. non agnoscit. [d] Οὔτε δεῖ desunt C C C. et El. rectius, ut videtur. [e] Εἰ δὲ πενίαν ἀπελαύνειν δεῖ τῆς τοῦ φίλου οἰκίας τὸν δυνάμενον, πόσῳ δικαιότερον τὴν ἀρετὴν ἐπανάγειν, ἄλλως τε καὶ οἰκειότερον ὄν, ὅτι διὰ τὴν ἀρετήν εἰσι φίλοι. *Quod si paupertatem a familia amici propulsare is tenetur qui potest, quanto magis virtutem illi addere, cum præcipue hoc magis amicitiæ conveniat? virtutis enim causa sunt amici.* Andr.

sunt amici. Cum igitur aliquem sua fefellerit opinio, existimaritque se propter mores diligi; ille autem nihil agat hujusmodi; de se ipso queratur. Cum vero illius simulatione in errorem inductus ac deceptus fuerit, merito is accusandus est, qui fefellit: tantoque magis, quam qui nummos adulterant, quanto in re pretiosiore et cariore maleficium admittitur. Sed si eum in amicitiam receperit, ut virum bonum, malus autem evaserit, aut evasisse videatur, utrum etiam nunc amandus est? an hoc fieri non potest? siquidem non omnis res amabilis est, sed ea demum, quæ bona est. Neque vero quisquam vitiosus est diligendus, neque diligi debet: non enim oportet rerum malarum studio atque amore teneri, neque improbi hominis similem effici. Supra autem dictum est, simili amicum esse simile. Utrum igitur statim discindendæ sunt amicitiæ? an non cum omnibus, sed cum iis, quorum improbitas insanabilis est? Iis autem, qui corrigi possunt, auxilium ferendum est, multo magis ad mores, quam ad fortunas et facultates; quanto hoc melius, amicitiæque

ἂν ὁ διαλυόμενος οὐθὲν ἄτοπον ποιεῖν· οὐ γὰρ τούτῳ ἢ τοιούτῳ φίλος ἦν. Ἀλλοιωθέντα γοῦν ἀδυνατῶν ἀνασῶσαι, ἀφίσταται. Εἰ δ' ὁ μὲν διαμένοι· ὁ δ' ἐπιεικέστερος γένοιτο, καὶ πολὺ διαλλάττοι τῇ ἀρετῇ, ἆρα χρηστέον φίλῳ; ἢ οὐκ ἐνδέχεται; Ἐν μεγάλῃ δὲ διαστάσει μάλιστα δῆλον γίνεται, οἷον ἐν ταῖς ἐκ [f] παιδίας φιλίαις· εἰ γὰρ ὁ μὲν διαμένοι τὴν διάνοιαν παῖς, ὁ δ' ἀνὴρ εἴη οἷος κράτιστος, πῶς ἂν εἶεν φίλοι, μήτ' ἀρεσκόμενοι τοῖς αὐτοῖς, μήτε χαίροντες καὶ λυπούμενοι; οὐδὲ γὰρ περὶ ἀλλήλους ταῦθ' ὑπάρξει αὐτοῖς. Ἄνευ δὲ τούτων οὐκ ἦν φίλους εἶναι· συμβιοῦν γὰρ οὐχ οἷόν τε· εἴρηται δὲ περὶ τούτων. Ἆρ' οὖν οὐθὲν ἀλλοιότερον πρὸς αὐτὸν ἑκτέον, ἢ εἰ μὴ ἐγεγόνει φίλος μηδέποτε; ἢ δεῖ μνείαν ἔχειν τῆς γενομένης συνηθείας; καὶ καθάπερ φίλοις μᾶλλον ἢ ὀθνείοις οἰόμεθα δεῖν χαρίζεσθαι, οὕτω καὶ τοῖς γενομένοις

[f] Γρ. παιδιᾶς, male. Vide Camer.

convenientius est? Videatur autem is, qui sese a tali amico disjungit, nihil absurdi facere: non enim huic, aut tali amicus erat. Quoniam igitur eum immutatum restituere ac servare non potest, sese ab eo semovet ac segregat. Sed si hic idem, qui fuit, maneat: alter autem longe melior fiat, multoque virtute antecellat: utrum etiam nunc amico utendum est? an hoc fieri non potest? Quod certe in magna distantia maxime perspicere licet: ut in iis amicitiis, quæ a pueritia constitutæ sunt: si enim alter animo et cogitatione puer maneat, alter vir sit quam optimus et præstantissimus: qui fieri potest, ut sint amici, qui neque eadem probent, neque eisdem aut delectentur, aut offendantur? nam neque hæc in eorum altero erga alterum inerunt. At sine his fieri non posse, ut sint amici, dicebamus; una enim vivere non possunt: sed de his jam dictum est. Utrum igitur non alio in eum animo esse debet, quam si nunquam ei amicus fuisset? an vero præteritæ consuetudinis memoria conservanda est? et quemadmodum amicis potius, quam alienis gratificari putamus oportere: ita et iis, quibuscum multus aliquando nobis usus intercessit, aliquid concedendum est propter amicitiam pristinam, cum præsertim insignis aut immode-

ἀπονεμητέον τι, διὰ τὴν προγενομένην φιλίαν, ὅταν μὴ δι' ὑπερβολὴν μοχθηρίας ἡ διάλυσις γένηται;

ΚΕΦ. δ'.

ΤΑ φιλικὰ δὲ [g] πρὸς τοὺς φίλους, καὶ οἷς αἱ φιλίαι ὁρίζονται, ἔοικεν ἐκ τῶν πρὸς ἑαυτὸν ἐληλυθέναι· τιθέασι γὰρ φίλον, τὸν βουλόμενον καὶ πράττοντα τἀγαθὰ, ἢ τὰ φαινόμενα, ἐκείνου ἕνεκα· ἢ τὸν βουλόμενον εἶναι καὶ ζῆν τὸν φίλον αὐτοῦ χάριν· ὅπερ αἱ μητέρες πρὸς τὰ τέκνα πεπόνθασι, [h] καὶ τῶν φίλων οἱ προσκεκρουκότες. Οἱ δὲ τὸν συνδιάγοντα, καὶ τὰ αὐτὰ αἱρούμενον, ἢ τὸν συναλγοῦντα καὶ συγχαίροντα τῷ φίλῳ· μάλιστα δὲ καὶ τοῦτο περὶ τὰς μητέρας συμβαίνει. Τούτων δέ τινι καὶ τὴν φιλίαν ὁρίζονται. Πρὸς

[g] Πρὸς τοὺς φίλους delenda esse censeo: et Eustratii commentarius (ita etiam Andronici paraphrasis) hanc conjecturam adjuvat. *Mur.* πίλας post φίλας addit El. Forsan πρὸς τοὺς πίλας est vera lectio, et φίλους e margine in textum irrepsit.
[h] *Ταῦτα δὲ πάσχουσι καὶ τῶν φίλων οἱ προσκεκρουκότες μὲν καὶ περιοφθέντες, μένοντες δὲ αὐτοὶ ἐν τῇ φιλίᾳ· βούλονται γὰρ τοῖς φίλοις πάντα τὰ ἀγαθὰ, μηδὲν ἐλπίζοντες κοινωνήσειν αὐτοὶ, ἀλλὰ αὐτῶν ἕνεκα. Quod in amicis quoque illis fieri videmus, inter quos quædam intercesserunt offensiunculæ, aut qui ab aliis neglecti fuerunt: cum ipsi propterea amare non desinant: omnia enim bona optant amicis, cum eorum nullam ipsi partem expectent, sed eorum causa tantum.* Andr. Annot. ad oram C C C. γρ. οἱ μὲν προσκεκρουκότες.

rata improbitas dissidii causam non præbuerit?

CAP. IV.

EA autem, quæ in amicitia ab amicis in amicos conferri solent, et quibus amicitiæ terminantur ac circumscribuntur, ex iis, quæ sibi ipsi quisque exoptat, ac tribuit, videntur fluxisse: eum enim amicum esse ponunt, qui et amicum bonis ornatum esse cupit, et ornat ipse quam plurimis, vel iis, quæ revera talia sunt, vel iis, quæ bonorum speciem quandam præ se ferunt, illius causa: aut eum, qui amicum vult esse et vivere ipsius causa: quemadmodum matres erga filios affectæ sunt, et amici ii, inter quos aliqua offensiuncula nata est. Alii amicum eum esse volunt, qui una ætatem agit, eandemque vitæ degendæ rationem instituit, et eadem studia sequitur: aut eum, qui pari dolore, parique lætitia, atque amicus, afficitur: quod quidem et matribus accidit maxime. Horum autem aliquo amicitiam definiunt. Atqui unum-

ἑαυτὸν δὲ τούτων ἕκαστον τῷ ἐπιεικεῖ ὑπάρχει· [i]τοῖς δὲ λοιποῖς, ᾗ τοιοῦτοι ὑπολαμβάνουσιν εἶναι· ἔοικε γὰρ, [k]καθάπερ εἴρηται, [l]μέτρον ἑκάστῳ ἡ ἀρετὴ καὶ ὁ σπουδαῖος εἶναι· οὗτος γὰρ ὁμογνωμονεῖ ἑαυτῷ, καὶ τῶν αὐτῶν ὀρέγεται [m]κατὰ πᾶσαν τὴν ψυχήν. Καὶ βούλεται δὴ ἑαυτῷ τἀγαθὰ καὶ τὰ φαινόμενα, καὶ πράττει· τοῦ γὰρ ἀγαθοῦ τἀγαθὸν διαπονεῖν, καὶ ἑαυτοῦ ἕνεκα· τοῦ γὰρ διανοητικοῦ χάριν, [n]ὅπερ ἕκαστος εἶναι δοκεῖ. Καὶ ζῆν δὲ [o]βούλεται ἑαυτὸν καὶ σώζεσθαι, καὶ μάλιστα τοῦτο, ᾧ φρονεῖ· ἀγαθὸν γὰρ τῷ σπουδαίῳ τὸ εἶναι. Ἕκαστος δ' ἑαυτῷ βούλεται τἀγαθά. Γενόμενος δ' ἄλλος, οὐδεὶς [p]αἱροῖτ' ἂν πάντ' ἔχειν ἐκεῖνο τὸ γενόμενον. Ἔχει γὰρ

[i] Sc. prout magis ad hunc *probum virum*, qui humanorum tum affectuum, tum actionum quasi *norma* est, accedunt; aut ab eo sunt remotiores. [k] Ita lib. viii. cap. 5. [l] Plato in Cratylo et in Theæteto, hominem *χρημάτων μέτρον*, et in lib. iv. Legum, Deum *πάντων μέτρον* esse, dicit. [m] *Κατά τι λογικὴν ψυχὴν, καὶ κατὰ τὴν ἄλογον· καὶ οὐ καθάπερ ὁ ἀκρατὴς τἀναντία ζητεῖ, καὶ τὸ παθητικὸν αὐτῷ τῷ λογιστικῷ πολεμεῖ. Sive rationalem, sive eam, quæ ratione destituitur, animæ partem videas: neque quemadmodum qui judicio destituuntur, contrarium quærit: aut partes in eo quæ affectibus sunt destinatæ, pugnant cum iis, in quibus est ratio.* Andr. [n] *Τὸ γὰρ διανοητικόν ἐστι τὸ ἀνθρώπινον εἶναι: ea quippe pars, in qua vis mentis est, humanam constituere naturam putatur.* Andr. Mens cujusque is quisque est. Cic. de Fin. Vide Plat. in Alcibiade priore. [o] *Ἕκαστος βούλεται* Andr. [p] *Αἱρεῖται* C C C. *αἱρεῖται πάντας* Ven. 1. 2. et Bas. Hæc videtur esse hujus loci sententia: Si quis in equum aut bovem mutaretur, non sibi, equo aut bovi jam facto, omnia bona exoptaret; sed ea duntaxat, quæ equi aut bovis naturæ essent idonea.

quidque horum in viro bono inest erga seipsum: in cæteris autem qua sese tales esse existimant: consentaneum est enim, virtutem et virum bonum unicuique rei esse mensuram, quemadmodum supra diximus: hic enim secum ipse sentit, eademque non una aliqua animi parte, sed toto animo totoque pectore expetit. Vultque ea sibi evenire, quæ et vere bona sunt, et talia videntur: ea denique ipsa agit: viri enim boni est in eo, quod vere bonum est, omni contentione elaborare, idque sua ipsius causa, nimirum ejus animi partis gratia, in qua cogitandi vis inest, quæ unusquisque nostrum videtur esse. Vult præterea sese vivere, et salvum esse, maximeque hanc partem, qua sapit et prudenter sentit: viro bono enim bonum est esse. Sibi autem quisque bene vult evenire. Sed nullus est, qui si alius, quam qui prius erat, effectus sit, optet id, in quod commutatus sit, bonis omnibus abundare. Obtinet enim nunc quoque Deus verum bonum, ita tamen ut sit id,

καὶ νῦν ὁ Θεὸς τἀγαθὸν, [q]ἀλλ' ὢν ὅ, τι ποτ' ἐστί. Δόξειε δ' ἂν τὸ [r]νοοῦν ἕκαστος εἶναι, ἢ μάλιστα. Συνδιάγειν τε ὁ τοιοῦτος ἑαυτῷ βούλεται· ἡδέως γὰρ αὐτὸ ποιεῖ· τῶν τε γὰρ πεπραγμένων ἐπιτερπεῖς αἱ μνῆμαι, καὶ τῶν μελλόντων ἐλπίδες ἀγαθαί· αἱ τοιαῦται δὲ ἡδεῖαι. [s]Καὶ θεωρημάτων δ' εὐπορεῖ τῇ διανοίᾳ· συναλγεῖ τε καὶ συνήδεται μάλισθ' ἑαυτῷ· [t]πάντη γάρ ἐστι τὸ αὐτὸ λυπηρόν τε καὶ ἡδὺ, καὶ [u]οὐκ ἄλλοτ' ἄλλο· ἀμεταμέλητος γὰρ, ὡς εἰπεῖν. Τῷ δὴ πρὸς αὑτὸν ἕκαστα τούτων ὑπάρχειν τῷ ἐπιεικεῖ, πρὸς δὲ τὸν φίλον ἔχειν, ὥσπερ πρὸς ἑαυτόν· ἔστι γὰρ ὁ φίλος ἄλλος αὐτός· καὶ ἡ φιλία τούτων εἶναί τι δοκεῖ, καὶ φίλοι, οἷς ταῦθ' ὑπάρχει. Πρὸς αὑτὸν δὲ πότερόν ἐστιν ἢ οὐκ ἔστι [x]φιλία, ἀφείσθω ἐπὶ τοῦ παρόντος. [y]Δόξειε δ' ἂν ταύτῃ εἶναι ἡ φιλία, ᾗ ἐστι

[q] Ἄλλο ὂν El. et C C C. ἄλλο ὂν Ven. 2. et Bas. Ad oram C C C. annot. γρ. ἀλλ' οἷον ὅ ποτ' ἐστί. Pro nobis facit Eustrat. et Andr. qui sic habet: οὐ γὰρ τῷ Θεῷ πάντα πρόσεισι τὰ ἀγαθὰ, ἀλλ' ἔστιν αὐτὸς ὅ, τι ποτέ ἐστι. i. e. Deus habet summum bonum, quod divinæ naturæ maxime convenit: non autem ei conveniret, si Deus unus et idem non semper maneret, ut manet. [r] Νοῶν El. [s] Γενναίων θεωρημάτων τῇ διανοίᾳ εὐπορεῖ: *plurimas præclaras mente cogitationes concipit*. Andr. [t] Γρ. πάντοτε. [u] Γρ. οὐκ ἄλλοτ' ἄλλῳ. [x] Φίλος pro φιλία El. [y] Lambinus, secutus Eustratium, hanc periochen ita explicat, ut in ea quæstionem, quam jam in præsenti omittendam esse dixerat, ἐν παρόδῳ transigat hoc modo: Sed certe hac ratione (inquit) seu hac ex parte videatur alicui in seipsum constare ami-

quod est, quicquid tandem sit. Non immerito autem id, quod in nobis intelligit, unusquisque nostrum esse videatur, aut maxime. Tum vero is, qui talis est, secum habitare secumque vult vivere: id enim libenter facit: nam et rerum actarum memoria ei est jucunda, et spes futurarum bona: talis autem est et jucunda. Præterea rerum plurimarum perceptione et cognitione mens ejus abundat: doletque et lætatur una secum maxime: nam omni ex parte idem ei molestum est, idemque jucundum, neque alias aliud: cum, pene dicam, nihil agat, cujus eum pœnitere possit. Quoniam igitur hæc singula in viro bono insunt erga seipsum, estque sic animatus in amicum, ut in seipsum (amicus enim alter ipse) efficitur ex his, ut amicitia quoque aliquid horum esse, iique, in quibus hæc insunt, amici esse videantur. Utrum autem cuique erga seipsum amicitia intercedere possit, necne, in præsenti quærere omittamus. Sed certe primum hac ratio-

δύο, ἢ πλείω ἐκ τῶν εἰρημένων· καὶ ὅτι ἡ ὑπερβολὴ τῆς φιλίας τῇ πρὸς ἑαυτὸν ὁμοιοῦται. Φαίνεται δὲ τὰ εἰρημένα καὶ τοῖς πολλοῖς ὑπάρχειν, καί περ οὖσι φαύλοις. Ἆρ' οὖν ᾗ ἀρέσκουσιν ἑαυτοῖς καὶ ὑπολαμβάνουσιν ἐπιεικεῖς εἶναι, ταύτῃ μετέχουσιν αὐτῶν; ἐπεὶ τῶν γε κομιδῇ φαύλων καὶ ἀνοσιουργῶν οὐθενὶ ταῦθ' ὑπάρχει, ἀλλ' οὐδὲ φαίνεται· σχεδὸν δὲ οὐδὲ τοῖς φαύλοις. Διαφέρονται γὰρ ἑαυτοῖς· καὶ ἑτέρων μὲν ἐπιθυμοῦσιν, ἄλλα δὲ βούλονται, οἷον οἱ ἀκρατεῖς· αἱροῦνται γὰρ ἀντὶ τῶν δοκούντων ἑαυτοῖς ἀγαθῶν εἶναι τὰ ἡδέα βλαβερὰ ὄντα. Οἱ δ' αὖ διὰ δειλίαν καὶ ἀργίαν ἀφίστανται τοῦ πράττειν, ἃ οἴονται ἑαυτοῖς βέλτιστα εἶναι. Οἷς δὲ πολλὰ καὶ

citia posse, qua quisque duo sunt, aut etiam plura, ut corpus et animus · tum iterum animi plures sunt partes, altera rationis particeps, altera rationis expers, ut supra dictum est. Ita igitur dici poterit aliquis seipsum amare, vel si corpus suum amet, vel si animum. Alii vero δύο ἢ πλείω referunt ad conditiones, seu potius definitiones amicitiæ in initio hujus capitis prædictas; ut sententia hæc sit: Secum cuiquam amicitia esse dicatur, quod in ea duæ aut plures ex prædictis conditionibus reperiuntur. Alii vero putant Philosophum hic verba facere de amicitia in alios, non in nosmetipsos. Cum Andronici paraphrasis hujus loci sententiam perspicuam reddat, et pro nostro interprete faciat, eam subjungemus. Ἡ γὰρ φιλία δύο, ἢ τριῶν, ὡς δῆλον ἐκ τῶν εἰρημένων. Καὶ εἴ τις καὶ τὰ πρὸς ἑαυτὸν φιλίαν καλεῖ, εἴη ἂν φιλία, καθόσον ἐστὶν αὐτὸς πρὸς ἑαυτὸν διαφέρων, καὶ τῷ λογιστικῷ τὸ παθητικὸν σπένδεται. Καὶ διότι δὲ ἡ ὑπερβολὴ τῆς φιλίας ἔοικε τῇ ἑκάστου πρὸς ἑαυτὸν ἀγάπῃ, καὶ αὐτὴ καλοῖτο ἂν φιλία. Eustratius aliam hujus perioches scripturam indicat his verbis: φέρεται καὶ ἄλλη γραφὴ, ἔχουσα οὕτως· Δόξειε δ' ἂν ταύτῃ εἶναι φιλία, ᾗ οὐκέτι δύο τὰ αὐτά. Quam lectionem sic explicat: καὶ διὰ τῆς γραφῆς ταύτης λέγων· Εἰ γὰρ καὶ δύο ἐστὶ, τὸ λογικὸν, καὶ τὸ ἄλογον, ἀλλ' οὐν φιλία τότε ἐςὶ πρὸς ἑαυτὸν, ὅταν ταῦτα ἓν ὦσι.

ne cuique erga seipsum amicitia esse videatur, qua unusquisque nostrum duo sumus, aut plura, ex iis, quæ supra diximus: deinde quia amicitia nimia et immoderata ei amicitiæ, quæ cuique secum est, similis esse dici solet. Videntur autem ea, quæ a nobis dicta sunt, etiam in vulgo inesse, quamvis improbo. Num igitur qua sibi ipsi placet, et arbitratur se bonum esse, hac parte eorum est particeps? nam in eorum profecto, qui valde vitiosi et scelerati sunt, nemine insunt, quin ne inesse quidem videntur: nec fere in ullo vitioso. Semper enim secum pugnant ac dissident: aliaque concupiscunt, alia volunt, ut incontinentes: iis enim spretis ac rejectis, quæ sibi bona esse opinantur, jucunda sequuntur, et quæ sunt damnosa, sumunt. Alii propter ignaviam ac desidiam ab earum rerum, quas sibi optimas esse ducunt, actione longe se re-

δεινὰ πέπρακται, καὶ διὰ τὴν μοχθηρίαν [z] μισοῦνται, φεύγουσι τὸ ζῆν καὶ ἀναιροῦσιν ἑαυτούς. Ζητοῦσί [a] τε οἱ μοχθηροὶ μεθ' ὧν συνημερεύσουσιν, ἑαυτοὺς δὲ φεύγουσιν· ἀναμιμνήσκονται γὰρ πολλῶν καὶ δυσχερῶν, καὶ τοιαῦθ' ἕτερα ἐλπίζουσι, καθ' ἑαυτοὺς ὄντες· μεθ' ἑτέρων δ' ὄντες, ἐπιλανθάνονται. Οὐθέν τε φιλητὸν ἔχοντες, οὐθὲν φιλικὸν πάσχουσι πρὸς ἑαυτούς. Οὐδὲ δὴ συγχαίρουσιν, οὐδὲ συναλγοῦσιν οἱ τοιοῦτοι ἑαυτοῖς· [b] στασιάζει γὰρ αὐτῶν ἡ ψυχή, καὶ [c] τὸ μὲν διὰ μοχθηρίαν ἀλγεῖ, ἀπεχόμενόν τινων, τὸ δὲ ἥδεται· καὶ τὸ μὲν δεῦρο, τὸ δ' ἐκεῖσε ἕλκει, ὥσπερ διασπῶντα. Εἰ δὲ μὴ οἷόν τε ἅμα λυπεῖσθαι καὶ ἥδεσθαι, ἀλλὰ μετὰ μικρόν γε λυπεῖται ὅτι ἥσθη, καὶ οὐκ ἂν ἐβούλετο ἡδέα ταῦτα γενέσθαι αὐτῷ· μεταμελείας γὰρ οἱ φαῦλοι γέμουσιν. Οὐ δὴ φαίνεται ὁ φαῦλος οὐδὲ πρὸς ἑαυτὸν φιλικῶς διακεῖσθαι, διὰ τὸ μηδὲν ἔχειν φιλητόν. Εἰ δὴ τὸ οὕτως ἔχειν λίαν ἐστὶν

[z] Μισοῦσί τε καὶ φεύγ. Bas. et Argyr. quos secutus est Lambinus. μισοῦνται, καὶ φεύγ. El. et C C C. [a] Δὲ pro τε El. [b] Στασιάζει γὰρ αὐτῶν ἡ ψυχή, καὶ πολεμεῖ τῷ λογικῷ τὸ ἄλογον. *Andr.* [c] Τοτὲ μὲν διὰ μοχθ. ἀλγεῖ, ἀπεχόμενός τινων· τοτὲ δὲ ἥδ. C C C. Bas. et Ven. 1.

movent. Jam qui multa et atrocia facinora admiserunt, propter improbitatem vitam oderunt ac fugiunt, sibique manus afferunt. Et vitiosi homines atque improbi quærunt quibuscum dies totos traducant, seipsos autem fugiunt: multa enim gravia atque horrenda recordantur, taliaque altera, cum soli sunt, exspectant: tantisper autem dum cum aliis sunt, obliviscuntur. Et cum sit nihil in eis amabile, nullo erga se amoris affectu commoventur. Neque igitur qui tales sunt, secum una lætantur, neque secum pari dolore afficiuntur: in eorum enim animo discordiæ et seditiones concitantur: et altera pars propter improbitatem, quia a quibusdam rebus reprimitur, discruciatur; altera voluptate afficitur: et huc altera, illuc trahit altera, tanquam eum divellentes ac distrahentes. Quod si fieri non potest, ut quis simul doleat, ac lætetur: at certe paulo post, quod lætatus sit, mœrore conficitur, nolitque hæc sibi voluptatem attulisse: malos enim assidue actionum suarum pœnitet. Non videtur igitur homo malus ne in seipsum quidem amico esse animo, quia nihil

ἄθλιον, φευκτέον τὴν μοχθηρίαν διατεταμένως, καὶ πειρατέον ἐπιεικῆ εἶναι· οὕτω γὰρ καὶ πρὸς αὐτὸν φιλικῶς ἂν ἔχοι, καὶ [d] ἑτέρων φίλος γένοιτο.

ΚΕΦ. ε'.

[1] Η ΔΕ εὔνοια φιλίᾳ μὲν ἔοικεν, οὐ μὴν ἐστί γε φιλία· γίνεται γὰρ εὔνοια καὶ πρὸς ἀγνῶτας, καὶ λανθάνουσα· φιλία δ' οὔ· [e] καὶ πρότερον [f] δὴ ταῦτ' εἴρηται. Ἀλλ' οὐδὲ φίλησίς ἐστιν· οὐ γὰρ ἔχει [g] διάτασιν, οὐδ' ὄρεξιν· τῇ φιλήσει δὲ ταῦτ' ἀκολουθεῖ. Καὶ ἡ μὲν φίλησις μετὰ συνηθείας· ἡ δ' εὔνοια καὶ ἐκ προσπαίου· οἷον καὶ περὶ τοὺς ἀγωνιστὰς συμβαίνει. Εὖνοι γὰρ αὐτοῖς γίνονται, καὶ συνθέλουσι· συμπράξαιεν δ' ἂν οὐθέν· ὅπερ γὰρ εἴπομεν, προσπαίως εὖνοι γίνονται, καὶ ἐπιπολαίως στέργουσιν. Ἔοικε δὴ ἀρχὴ φιλίας εἶναι· ὥσπερ τοῦ ἐρᾷν ἡ διὰ τῆς ὄψεως ἡδονή· μὴ γὰρ

[d] Ἑτέρῳ El. [1] Magn. Moral. lib. ii. cap. 12. et Eud. lib. vii. cap. 7. [e] Sc. lib. viii. cap. 2. [f] Δὴ C C C. δὴ τοιαῦτ'. El. [g] Διάτασιν, *continuationem quandam ac tractum temporis* nominari vult Muretus. Sed Lambini versionem confirmat Andronicus, qui explicat per ὁρμήν τινα καὶ κίνησιν.

habet amabile. Quod si ita affectum esse valde est miserum; acerrima contentione fugienda improbitas est, operaque cuique danda, ut sit bonus; sic enim et amico in seipsum erit animo, et aliis poterit amicus esse.

CAP. V.

BENEVOLENTIA autem similis est illa quidem amicitiæ, non tamen amicitia est: nascitur enim benevolentia etiam erga ignotos, eaque obscura et occulta esse potest; amicitia non item: atque hæc supra a nobis explicata sunt. Sed nec amatio est: nam neque contentionem habet, neque appetitionem; quæ duo amationem consequuntur. Præterea amatio cum vitæ consuetudine conjuncta est; benevolentia autem vel subito conciliari potest: quemadmodum et in pugilibus aut gladiatoribus usu venit. Benevoli enim eis fieri homines solent, eademque omnia, quæ illi volunt, exoptant; sed eos sua opera adjuvare aut sublevare nolint: nam, quemadmodum diximus, repentino quodam animi motu benevoli efficiuntur, neque admodum altas amor eorum radices agit. Benevolentia igitur principium amicitiæ videtur esse: quemadmodum et amoris,

προησθεὶς τῇ ἰδέᾳ, οὐθεὶς ἐρᾷ· ὁ δὲ χαίρων τῷ εἴδει οὐθὲν μᾶλλον ἐρᾷ, ἀλλ' ὅταν καὶ [h] ἀπόντα ποθῇ καὶ τῆς παρουσίας [i] ἐπιθυμεῖ. Οὕτω δὴ καὶ φίλους οὐχ οἷόν τε εἶναι, μὴ εὔνους γενομένους. Οἱ δ' εὖνοι οὐθὲν μᾶλλον φιλοῦσι· βούλονται γὰρ μόνον τἀγαθὰ, οἷς εἰσιν εὖνοι· συμπράξαιεν δ' οὐθὲν ἂν, οὐδ' ὀχληθεῖεν ὑπὲρ αὐτῶν. Διὸ μεταφέρων φαίη τις ἂν αὐτὴν [k] ἀργὴν εἶναι φιλίαν· χρονιζομένην [l] δὲ καὶ εἰς συνήθειαν ἀφικνουμένην, γίνεσθαι φιλίαν, οὐ τὴν διὰ τὸ χρήσιμον, οὐδὲ τὴν διὰ τὸ ἡδύ· οὐδὲ γὰρ ἡ εὔνοια ἐπὶ τούτοις γίνεται. Ὁ μὲν γὰρ εὐεργετηθεὶς, ἀνθ' ὧν πέπονθεν, ἀπονέμει τὴν εὔνοιαν, τὰ δίκαια δρῶν· ὁ δὲ βουλόμενός τινα [m] εὐπραγεῖν, ἐλπίδα ἔχων εὐπορίας δι' ἐκείνου, οὐκ ἔοικεν εὔνους ἐκείνῳ εἶναι, ἀλλὰ μᾶλλον ἑαυτῷ· καθάπερ οὐδὲ φίλος, εἰ θεραπεύει αὐτὸν διά τινα χρῆσιν. Ὅλως δ' ἡ εὔνοια δι' ἀρε-

[h] Γρ. ἀπόντας et ἀπόντος. [i] Ἐπιθυμῇ C C C. [k] Γρ. ἀρχὴν εἶναι φιλίας, minus recte, ut ex aliis locis patet. *Casaub.* Nobiscum legit Andr. Vide Vict. [l] Δὲ αὐτὴν El. [m] Γρ. εὖ πράττειν.

ea, quæ aspectu gignitur, voluptas: nemo enim amore capitur, qui non fuerit ante forma specieque delectatus: nec tamen is, qui specie delectatur, continuo amat; sed tum cum et absentem desiderat, et præsentiam concupiscit. Sic igitur nec fieri potest, ut inter se sint ulli amici, nisi ante fuerint inter se benevoli. At benevoli non continuo inter se amant: volunt enim duntaxat eos bonis augeri atque ornari, quibus sunt benevoli; sed eos nec opera sua adjuvare, nec quicquam laboris aut molestiæ eorum causa suscipere velint. Itaque recte quis, translatione sermonis usus, eam dixerit esse amicitiam otiosam: accessione temporis autem, et consuetudine adhibita fieri amicitiam, non eam, quæ utilitatis aut jucunditatis causa constituatur: nam ne benevolentia quidem propter hæc conciliatur. Is enim, qui beneficium ab altero accepit, si ob illius erga se liberalitatem ei benevolentiam præstat, jure et merito præstat: qui vero alicui res secundas exoptat, sperans se illius beneficio locupletem et copiosum futurum; non in illum, sed in seipsum potius benevolo esse animo videtur: quemadmodum nec amicus dicendus est, si propter utilitatem aliquam eum colat. In summa, pro-

τὴν καὶ ἐπιείκειάν τινα γίνεται, ὅταν τῳ φανῇ καλός τις, ἢ ἀνδρεῖος, ἤ τι τοιοῦτον· καθάπερ καὶ ἐπὶ τῶν ἀγωνιστῶν εἴπομεν.

ΚΕΦ. ϛ'.

[1] ΦΙΛΙΚΟΝ δὲ καὶ ἡ ὁμόνοια φαίνεται· διόπερ οὐκ ἔστιν ὁμοδοξία· τοῦτο μὲν γὰρ καὶ ἀγνοοῦσιν ἀλλήλους ὑπάρξειεν ἄν. Οὐδὲ τοὺς περὶ ὁτουοῦν ὁμογνωμονοῦντας ὁμονοεῖν φασιν, οἷον τοὺς περὶ τῶν οὐρανίων· οὐ γὰρ φιλικὸν τὸ περὶ τούτων ὁμονοεῖν. Ἀλλὰ τὰς πόλεις ὁμονοεῖν φασιν, ὅταν περὶ τῶν συμφερόντων ὁμογνωμονῶσι, καὶ τὰ αὐτὰ προαιρῶνται, καὶ πράττωσι τὰ κοινῇ δόξαντα. Περὶ τὰ πρακτὰ δὴ ὁμονοοῦσι, καὶ τούτων περὶ τὰ ἐν μεγέθει, καὶ ἐνδεχόμενα ἀμφοῖν ὑπάρχειν, ἢ πᾶσιν· οἷον αἱ πόλεις, ὅταν πᾶσι δοκῇ τὰς ἀρχὰς αἱρετὰς εἶναι, ἢ συμμαχεῖν Λακεδαιμονίοις, ἢ ἄρχειν [n] Πιττακὸν, ὅτε καὶ αὐτὸς ἤθελεν. Ὅταν δ' ἑκάτερος ἑαυ-

[1] Magn. Moral. lib. ii. cap. 12. et Eud. lib. vii. cap. 7. [n] Pittacus Mitylenæus, e septem sapientibus unus, propter fortitudinem et prudentiam in tanto

pter virtutem et bonitatem quandam conciliatur benevolentia, cum præ se fert aliquis aut honestatis, aut fortitudinis, aut alicujus hujusmodi virtutis speciem: quemadmodum et in pugilibus, aut cursoribus, et aliis hujusmodi fieri solere diximus.

CAP. VI.

JAM vero et concordia ad amicitiam videtur pertinere: quocirca non est opinionum consensus: hoc enim etiam in iis inesse potest, qui inter se sunt ignoti. Neque concordes eos esse dicimus, qui de re aliqua, quæcunque sit, idem sentiunt: ut eos, quorum una est de rebus cœlestibus sententia: non enim ad amicitiam pertinet his de rebus concordes esse. Sed civitates concordes esse dicuntur, cum de iis, quæ sibi conducunt, unum sentiunt, eademque consilia capiunt, et quæ communi consensu fuerunt approbata, exsequuntur ac transigunt. In iis igitur rebus, quæ sub actionem veniunt, concordia versatur, atque harum in iis, quæ magnitudine excellunt, et quæ contingere possunt vel utrisque, vel omnibus: exempli gratia, concordes sunt civitates, cum placet civibus omnibus eligi magistratus, aut belli societatem cum Lacedæmoniis iniri, aut Pittacum præesse civitati, quod idem

τὸν βούληται, ὥσπερ οἱ ἐν ταῖς [o] Φοινίσσαις, στασιάζουσιν· οὐ γάρ ἐσθ᾽ ὁμονοεῖν, τὸ αὐτὸ ἑκάτερον ἐννοεῖν ὃ δή ποτε, ἀλλὰ τὸ ἐν τῷ αὐτῷ· οἷον ὅταν καὶ ὁ δῆμος καὶ οἱ ἐπιεικεῖς τοὺς ἀρίστους ἄρχειν· οὕτω γὰρ πᾶσι γίγνεται οὗ ἐφίενται. Πολιτικὴ δὲ φιλία φαίνεται ἡ ὁμόνοια, καθάπερ καὶ λέγεται· περὶ τὰ συμφέροντα γάρ ἐστι, καὶ τὰ πρὸς τὸν βίον ἀνήκοντα. Ἔστι δ᾽ ἡ τοιαύτη ὁμόνοια ἐν τοῖς ἐπιεικέσιν· οὗτοι γὰρ καὶ ἑαυτοῖς ὁμονοοῦσι, καὶ ἀλλήλοις, ἐπὶ τῶν αὐτῶν ὄντες, ὡς εἰπεῖν· τῶν τοιούτων γὰρ μένει τὰ βουλήματα, καὶ οὐ μεταῤῥεῖ, ὥσπερ Εὔριπος. Βούλονταί τε τὰ δίκαια, καὶ τὰ συμφέροντα· τούτων δὲ καὶ κοινῇ ἐφίενται. Τοὺς δὲ φαύλους οὐχ οἷόν τε ὁμονοεῖν, πλὴν ἐπὶ μικρόν· καθάπερ καὶ φίλους εἶναι· πλεονεξίας ἐφιεμένους ἐν τοῖς ὠφελίμοις, [p] ἐν δὲ τοῖς πόνοις

honore apud cives habebatur, ut Reipublicæ suæ eum libenter præfecerint. Cum autem principatum per decem annos tenuisset, eo seipsum sponte abdicavit. Quod innuere videtur Aristoteles, quando inquit, ὅτι καὶ αὐτὸς ἤθελεν. Exacto enim decennio, ei imperium prorogare quidem cives cupiebant, sed ipse repugnabat. Laertius lib. i.

[o] Phœnissas Euripidis intelligit, in qua fabula Polynices et Eteocles coram matre Jocasta de imperio certant.

[p] Γρ. ἐν δὲ ταῖς δαπανηραῖς, quam lectionem secutus est Lambinus.

etiam ipse velit. Cum vero seipsum uterque vult præfici, ut illi in Phœnissis, seditionem inter se concitant: non est enim concordes esse, duos unum et idem sentire, quicquid illud sit: sed idem in eodem: exempli causa, cum et populus, et viri boni optimates præesse civitati volunt: sic enim omnes id, quod expetunt, consequuntur. Concordia autem, quemadmodum et dicitur, civilis amicitia videtur esse: versatur enim in iis, quæ reipublicæ conducunt, quæque ad usum vitæ pertinent. Inest autem concordia talis in viris bonis: hi enim et secum ipsi concordant, et inter se, cum in iisdem, pene dicam, consiliis et factis versentur ac perseverent: talium enim virorum eædem manent voluntates, neque instar Euripi fluunt et refluunt. Iidem tum ea, quæ justa, tum ea, quæ utilia sunt, volunt: horum autem cupiditate etiam communiter affecti sunt. Mali autem concordes esse non possunt, nisi parum admodum (quemadmodum nec facile amici esse possunt) cum in rebus utilibus quidem superiora omnia habere velint; in sumptibus autem faciendis, muneribusque publicis obeundis ac sustinendis, vinci se

καὶ ταῖς λειτουργίαις ἐλλείποντας. Ἑαυτῷ δ' ἕκαστος βουλόμενος [q]ταῦτα, τὸν πέλας ἐξετάζει καὶ κωλύει· μὴ γὰρ τηρούντων, τὸ κοινὸν ἀπόλλυται. Συμβαίνει οὖν αὐτοῖς στασιάζειν, ἀλλήλους μὲν ἐπαναγκάζοντας· αὐτοὺς δὲ μὴ βουλομένους τὰ δίκαια ποιεῖν.

ΚΕΦ. ζ'.

ΟΙ δ' εὐεργέται τοὺς εὐεργετηθέντας δοκοῦσι μᾶλλον φιλεῖν, ἢ οἱ εὖ παθόντες τοὺς δράσαντας· καὶ ὡς [r]παρὰ λόγον γινόμενον, ἐπιζητεῖται. Τοῖς μὲν οὖν πλείστοις φαίνεται, ὅτι οἱ μὲν ὀφείλουσι, τοῖς δὲ ὀφείλεται. Καθάπερ οὖν ἐπὶ τῶν δανείων, οἱ μὲν ὀφείλοντες βούλονται μὴ εἶναι οἷς ὀφείλουσιν, οἱ δὲ δανείσαντες καὶ ἐπιμέλονται τῆς τῶν ὀφειλόντων σωτηρίας· οὕτω καὶ τοὺς εὐεργετήσαντας βούλεσθαι εἶναι τοὺς παθόντας, ὡς κομιουμένους τὰς χάριτας, τοῖς δ' οὐκ εἶναι ἐπιμελὲς τὸ ἀνταποδοῦναι. [s]Ἐπίχαρμος μὲν οὖν τάχ'

[q] Ταὐτὰ Lamb. [r] Παράλογον Andr. [s] Epicharmus poëta comicus non exstat. Ejus versiculi nonnulli reperiuntur apud Athenæum, Stobæum, et Ci-

facile patiantur. At ubi sibi ipsi quisque eadem concupiscit; in eum, qui sibi proximus est, inquirit, eumque arcet et prohibet: res communis enim interit, dum eam nemo tuetur neque conservat. Accidit ergo eis, ut discordiis et seditionibus inter se conflictentur, dum alter alteri necessitatem imponit: ipsi autem quæ justa sunt pro sua virili parte facere nolunt.

CAP. VII.

BENEFICI autem eos, de quibus bene meriti sunt, vehementius amare videntur, quam ii, qui beneficium acceperunt, bene de se meritos: ejusque rei, quasi præter rationem et opinionem omnium fiat, ratio quæritur. Eo igitur fieri plerisque videtur, quod illi debent, his debetur. Quemadmodum itaque in rebus mutuis, debitores suis creditoribus interitum exoptant; at iis, qui mutuum dederunt, debitorum salus etiam curæ est: sic et eos, qui de aliquibus bene meriti sunt, eorum, qui beneficium acceperunt, incolumitatis studiosos esse, tanquam beneficii gratiam consecuturos; illos autem de gratia referenda non magnopere laborare. Atque hæc fortassis eos loqui dicat Epicharmus, ex homi-

ἂν φαίη ταῦτα λέγειν αὐτοὺς, ἐκ πονηροῦ [t] θεωμένους· ἔοικε δ' [u] ἀνθρωπικῷ· ἀμνήμονες γὰρ οἱ πολλοὶ, καὶ μᾶλλον εὖ πάσχειν, ἢ ποιεῖν ἐφίενται. Δόξειε δ' ἂν φυσικώτερόν τε εἶναι τὸ αἴτιον, καὶ οὐχ ὅμοιον τῷ περὶ τοὺς δανείσαντας· οὐ γάρ ἐστι φίλησις περὶ ἐκείνους, ἀλλὰ τοῦ σώζεσθαι βούλησις, τῆς κομιδῆς ἕνεκα. Οἱ δ' εὖ πεποιηκότες, φιλοῦσι καὶ ἀγαπῶσι τοὺς εὖ πεπονθότας, κἂν μηθὲν ὦσι χρήσιμοι, μηδ' εἰς ὕστερον γένοιντ' ἄν. Ὅπερ καὶ ἐπὶ τῶν [x] τεχνητῶν συμβέβηκε· πᾶς γὰρ τὸ οἰκεῖον ἔργον ἀγαπᾷ μᾶλλον, ἢ ἀγαπηθείη ἂν ὑπὸ τοῦ ἔργου, ἐμψύχου γενομένου. Μάλιστα δ' ἴσως τοῦτο περὶ τοὺς ποιητὰς συμβαίνει· ὑπεραγαπῶσι γὰρ οὗτοι τὰ οἰκεῖα ποιήματα, στέργοντες ὥσπερ τέκνα. Τοιούτῳ δὴ ἔοικε καὶ τὸ τῶν εὐεργετῶν· τὸ γὰρ εὖ πεπονθὸς ἔργον ἐστὶν

ceronem. Aristot. in libello περὶ ποιητικῆς scribit eum fuisse Siculum: quod item multis locis significat Cicero, et uno atque altero loco Horat. Ἡ μὲν οὖν δοκοῦσα τοῖς πολλοῖς αἰτία αὕτη ἐστὶ, καὶ ταῦτα προήχθησαν νομίζειν, πρὸς τοὺς ἀγνώμονας καὶ πονηροὺς ἀποβλέποντες τῶν ἀνθρώπων· καὶ ὅ φησιν Ἐπίχαρμος, ἐκ πονηροῦ θεώμενοι. *Atque hæc quidem ea est, quam vulgus esse arbitratur, causa: quæ quidem credere et existimare coacti sunt, quod ingratos tantum atque improbos respiciant homines: et quod apud Epicharmum est, e malo spectantes.* Andr. [t] Θεωρουμένους El. [u] Γρ. ἀνθρωπείῳ. [x] Τεχνιτῶν per ι Bas. quod est frequentius. Sed alteram scripturam per η habuimus etiam in Physicis. *Sylb.*

num improbitate spectantes: veruntamen ab humano ingenio non abhorrent: nam magna pars hominum beneficii immemor est, mavultque beneficium accipere, quam dare. Verum hujus rei causa a natura potius repetenda est, neque ulla ex parte eorum, qui pecuniam mutuam dederunt, rationi similis est: non enim amant hi suos debitores, sed salvos esse volunt, ut suum recuperent. Qui autem beneficium contulerunt, amant et diligunt eos, quos beneficio affecerunt, etiamsi neque in præsenti ulla in re sibi sint utiles, neque sint postea futuri. Quod et in artificibus usu venit: amat enim suum quisque opus vehementius, quam ab opere suo amaretur, si ex inanimo fieret animatum. Atque hoc in poëtis fortasse maxime contingit: hi enim sua poëmata supra modum amant, affectum in ea, tanquam in liberos, induti paternum. Non admodum huic dissimilis est beneficiorum ratio: id enim, quod beneficio affectum est, eorum, qui beneficium dederunt, opus est. Hoc igitur illis carius est, quam operi is,

αὐτῶν. Τοῦτο δὴ ἀγαπῶσι μᾶλλον, ἢ τὸ ἔργον τὸν ποιήσαντα. Τούτου δ' αἴτιον, ὅτι τὸ εἶναι πᾶσιν αἱρετὸν καὶ φιλητόν· ἐσμὲν δ' ἐνεργείᾳ· τῷ ζῆν γὰρ καὶ πράττειν. [y] Ἐνεργείᾳ δὴ ὁ ποιήσας τὸ ἔργον ἐστί πως. [z] Στέργει δὴ τὸ ἔργον, διότι καὶ τὸ εἶναι. Τοῦτο δὲ φυσικόν· ὃ γάρ ἐστι δυνάμει, τοῦτο ἐνεργείᾳ τὸ ἔργον μηνύει. Ἅμα δὲ καὶ τῷ μὲν εὐεργέτῃ καλὸν τὸ κατὰ τὴν πρᾶξιν, ὥστε χαίρειν ἐν ᾧ τοῦτο· τῷ δὲ παθόντι οὐθὲν καλὸν ἐν τῷ δράσαντι, ἀλλ' εἴ περ, συμφέρον· τοῦτο δ' ἧττον ἡδὺ καὶ φιλητόν. Ἡδεῖα δ' ἐστὶ τοῦ μὲν παρόντος ἡ ἐνέργεια, τοῦ δὲ μέλλοντος ἡ ἐλπὶς, τοῦ δὲ γεγενημένου ἡ μνήμη· ἥδιστον δὲ τὸ κατὰ τὴν ἐνέργειαν, καὶ φιλητὸν ὁμοίως. Τῷ μὲν οὖν πεποιηκότι μένει τὸ ἔργον· τὸ καλὸν γὰρ πολυχρόνιον· τῷ δὲ παθόντι τὸ χρήσιμον παροί-

[y] Ὁ δὲ πράττων ἐνεργείᾳ ἐστὶν ἐν τῷ ἔργῳ· ἡ γὰρ οἰκοδομικὴ, ὃ λόγος ἐστὶ τῆς οἰκοδομίας, ἐνεργείᾳ ἐστὶν ἐν τῇ οἰκίᾳ· καὶ ἔστιν αὐτὴ ἡ οἰκία, καθὸ οἰκία, ὁ τεχνίτης ἐνεργείᾳ, καθὸ τεχνίτης. Ὁμοίως καὶ πᾶς ἐνεργῶν ἐνεργείᾳ ἐστὶ τὸ ἔργον αὐτοῦ. *Qui vero agit, actu est in opere: sic ars ædificandi, quæ ædificii ratio est, actu est in ædificio: estque ipsum ædificium, quatenus est ædificium; sicut artifex actu, quatenus est artifex. Atque ita in reliquis, quicunque operatur, actu opus suum est.* Andr. Hoc modo hunc locum interpretantur Eustratius, Argyrop. et Aquinas. Pro Lambino faciunt Victorius et Gruchius. [z] Εἰ τοίνυν φυσικὸν μὲν ἐφίεσθαι τοῦ εἶναι, τὸ εἶναι δέ ἐστιν ἐν τῷ πράττειν, τὸ ἔργον δέ ἐστιν αὐτὸς ὁ πράττων ἐνεργείᾳ, φανερὸν ὅτι καθόσον ζητεῖ τις τὸ ἑαυτοῦ εἶναι, κατὰ τοσοῦτον ζητεῖ καὶ τὸ ἔργον εἶναι. Φύσει δέ τις φιλεῖ ἑαυτὸν καὶ βούλεται εἶναι· φύσει ἄρα φιλεῖ τις τὸ ἑαυτοῦ ἔργον. *Andr.*

qui opus effecit. Hujus rei causa est, quod esse omnibus optabile et amabile est: functione autem muneris sumus, eo nimirum quod vivamus, et aliquid agamus. Qui opus effecit igitur, re, et functione muneris quodam modo est. Ergo suum cuique opus carum est, quia et esse ei carum est. Est autem hoc naturale: quæ res enim potestate est, hanc opus functione muneris et re indicat ac declarat. Præterea, homini bene de altero merito pulchrum et honestum est id, quod ex actione est, ita ut eo, in quo hoc inest, delectetur; ei autem, qui beneficium accepit, nihil honesti in eo, qui bene meritus est, inest: sed si quid est, emolumentum est: at hoc minus jucundum, minusque amabile est. Affert porro præsentis quidem rei usus ac functio voluptatem, futuræ autem spes, præteritæ vero memoria: omnium autem rerum ea jucundissima est, quæ usu et functione est, itemque amabilissima. Ei igitur, qui beneficium contulit, manet opus; honestum enim diu-

χεται. Ἧτε μνήμη τῶν μὲν καλῶν ἡδεῖα· τῶν δὲ χρησίμων, οὐ πάνυ, ἢ ἧττον. Ἡ προσδοκία δ' ἀνάπαλιν ἔχειν ἔοικε. Καὶ ἡ μὲν φίλησις ποιήσει ἔοικε· τὸ δὲ φιλεῖσθαι τῷ πάσχειν. [a]Τοῖς ὑπερέχουσι δὴ περὶ τὴν πρᾶξιν ἕπεται τὸ φιλεῖν, καὶ τὰ φιλικά. Ἔτι δὲ, τὰ ἐπιπόνως γενόμενα πάντες μᾶλλον στέργουσιν· οἷον καὶ τὰ χρήματα οἱ κτησάμενοι τῶν παραλαβόντων. Δοκεῖ [b]δὴ τὸ μὲν εὖ πάσχειν ἄπονον εἶναι· τὸ δ' εὖ ποιεῖν ἐργῶδες. Διὰ ταῦτα δὲ καὶ αἱ μητέρες φιλοτεκνότεραι· ἐπιπονωτέρα γὰρ ἡ γέννησις, καὶ μᾶλλον ἴσασιν ὅτι αὐτῶν. Δόξειε δ' ἂν [c]τοῦτο καὶ τοῖς εὐεργέταις οἰκεῖον εἶναι.

ΚΕΦ. η'.

[1] ΑΠΟΡΕΙΤΑΙ δὲ, πότερον δεῖ φιλεῖν ἑαυτὸν μάλιστα, ἢ ἄλλον τινά; ἐπιτιμῶσι γὰρ τοῖς ἑαυτοὺς μάλιστα ἀγαπῶσι· καὶ ὡς ἐν αἰσχρῷ, φιλαύτους ἀποκαλοῦσι. Δοκεῖ τε

[a] Τοῖς ὑπάρχουσι Bas. [b] Δὲ El. [c] Τὸ τοιοῦτο El. [1] Magn. Moral. lib. ii. cap. 13. et 14.

turna res est: ei autem, qui accepit, utilitas celeriter evanescit. Et rerum quidem honestarum memoria, jucunda: utilium autem, non admodum, aut certe minus. Contra se res habere videtur in spe, seu exspectatione. Præterea amatio effectioni similis est; amari autem perpessioni. Eos igitur, qui in actione sunt superiores, et amare, et ea, quæ amicitiæ propria sunt, comitantur. Præterea omnes ea, quæ magno labore consecuti sunt, magis amplectuntur: ut et pecunias qui quæsierunt, quam qui ab aliis acceperunt. At accipere quidem beneficium, minime laboriosum videtur esse; conferre autem, difficile atque operosum. Atque ob hanc causam et matres liberorum sunt patribus amantiores: nam et laboriosior partus est, et sciunt certius suos esse. Atque hoc etiam ad beneficos accommodari posse videatur.

CAP. VIII.

OCCURRIT autem dubitatio, Utrum seipsum maxime amare oporteat, an alium quenquam? solent enim vulgo objurgari, qui sui sunt amantissimi; et quasi ea res cum turpitudine ac dedecore conjuncta sit, φίλαυτοι, id est, sui amantes appellan-

ὁ μὲν φαῦλος ἑαυτοῦ χάριν πάντα πράττειν· καὶ ὅσῳ ἂν μοχθηρότερος ᾖ, [d] τοσούτῳ μᾶλλον. Ἐγκαλοῦσι δὴ αὐτῷ, οἷον ὅτι οὐθὲν [e] ἀφ' αὐτοῦ πράττει. Ὁ δὲ ἐπιεικὴς διὰ τὸ καλὸν, καὶ ὅσῳ ἂν βελτίων ᾖ, μᾶλλον διὰ τὸ καλὸν, καὶ φίλου ἕνεκα· τὸ δ' αὑτοῦ παρίησι. Τοῖς λόγοις δὲ τούτοις τὰ ἔργα διαφωνεῖ, οὐκ ἀλόγως· φασὶ γὰρ δεῖν φιλεῖν μάλιστα τὸν μάλιστα φίλον· φίλος δὲ μάλιστα [f] ὁ βουλόμενος, [g] ᾧ βούλεται τἀγαθὰ, ἐκείνου ἕνεκα, καὶ εἰ μηθεὶς εἴσεται. Ταῦτα δ' ὑπάρχει μάλιστα αὐτῷ πρὸς αὑτὸν, καὶ τὰ λοιπὰ δὴ πάντα, οἷς ὁ φίλος ὁρίζεται· εἴρηται γὰρ, ὅτι ἀπ' αὐτοῦ πάντα τὰ φιλικὰ καὶ πρὸς τοὺς ἄλλους διήκει. Καὶ αἱ παροιμίαι δὲ πᾶσαι ὁμογνωμονοῦσιν· οἷον τὸ, μία ψυχή· καὶ, κοινὰ τὰ τῶν φίλων· καὶ, ἰσότης φιλότης· καὶ, γόνυ κνήμης ἔγγιον· πάντα γὰρ ταῦτα πρὸς αὑτὸν μάλισθ' ὑπάρχει· μάλιστα γὰρ φίλος ἑαυτῷ· καὶ φιλητέον δὴ μάλιστα ἑαυτόν. Ἀπορεῖται

[d] Τοσούτου δὴ μᾶλλον ἐγκαλοῦσιν αὐτῷ, οἷον ὅτ. El. [e] Γρ. ἀπ' αὐτοῦ. [f] Ὁ βουλόμενος deest Vet. Interp. [g] Ὧι μάλιστα βούλεται C C C. Bas. et Vet. Interp. ᾗ ᾧ βούλ. El.

tur. Videturque homo improbus omnia sua causa agere, eoque magis, quo sit vitiosior. Itaque eum criminantur et accusant, quod nihil agat a suis rationibus et commodis alienum. Vir bonus autem omnia propter honestum agit; et quo sit melior, eo magis propter honestum, et amici causa: suum commodum autem negligit ac prætermittit. Verum ab hac oratione facta discrepant, neque immerito: aiunt enim maxime eum amare oportere, qui maxime sit amicus: at is maxime amicus est, qui, quem vult bonis ornatum esse, eum vult illius ipsius causa ornatum esse, etiamsi nemo sciturus sit. Hæc autem insunt in unoquoque erga seipsum maxime: et cætera etiam omnia, quibus amicus definitur: supra enim diximus, omnia, quæ amicitiæ propria sunt, a nobis ipsis profecta etiam ad alios permanare ac pervenire. Atque omnia proverbia consentiunt: quale illud est, Unus animus; et, Amicorum omnia communia; et, Æqualitas amicitia; et, Genu crure propius: hæc enim omnia in unoquoque erga seipsum insunt maxime: sibi enim quisque maxime amicus est: quo fit, ut sibi sit quisque maxime dili-

δὲ εἰκότως, ποτέροις χρεὼν ἕπεσθαι, ἀμφοῖν ἐχόντοιν τὸ πιστόν; [h]Ἴσως οὖν τοὺς τοιούτους δεῖ τῶν λόγων διαιρεῖν καὶ διορίζειν ἐφ' ὅσον ἑκάτεροι καὶ πῇ ἀληθεύουσιν. Εἰ δὴ λάβοιμεν τὸ φίλαυτον, πῶς ἑκάτεροι λέγουσι, τάχ' ἂν γένοιτο δῆλον. Οἱ μὲν οὖν εἰς ὄνειδος ἄγοντες αὐτὸ, φιλαύτους καλοῦσι τοὺς ἑαυτοῖς ἀπονέμοντας τὸ πλεῖον ἐν χρήμασι, καὶ τιμαῖς, καὶ ἡδοναῖς ταῖς σωματικαῖς· τούτων γὰρ οἱ πολλοὶ ὀρέγονται, καὶ ἐσπουδάκασι περὶ αὐτὰ, ὡς ἄριστα ὄντα· διὸ καὶ περιμάχητά ἐστιν. Οἱ δὴ περὶ ταῦτα πλεονέκται χαρίζονται ταῖς ἐπιθυμίαις, καὶ ὅλως τοῖς πάθεσι, καὶ τῷ ἀλόγῳ τῆς ψυχῆς. Τοιοῦτοι δ' εἰσὶν οἱ πολλοί· διὸ καὶ ἡ προσηγορία γεγένηται ἀπὸ τοῦ πολλοῦ φαύλου ὄντος. Δικαίως δὴ τοῖς οὕτω φιλαύτοις ὀνειδίζεται. Ὅτι δὲ τοὺς τὰ τοιαῦθ' αὑτοῖς ἀπονέμοντας εἰώθασι λέγειν οἱ πολλοὶ φιλαύτους, οὐκ ἄδηλον. Εἰ γάρ τις ἀεὶ σπουδάζει τὰ δίκαια πράττειν, αὐ-

[h] Ἴσως δὲ οὖν Bas.

gendus. Merito porro dubitatur, harum orationum utram sequi oporteat, cum utraque sit verisimilis. Fortassis igitur tales orationes distinguendæ sunt, quatenus, et qua ex parte utraque vera est. Itaque si quid utrique sui ipsius amorem appellent, teneamus: res erit fortasse plana et aperta. Qui igitur eum ut probrum objiciunt, sui amantes appellant, eos, qui in pecunia, in honoribus, in voluptatibus denique corporis sibi ipsis majorem partem tribuunt ac vendicant: hæc enim bona pars hominum concupiscit, et in eis, ut omnium rerum optimis, omne studium suum collocat: atque idcirco de iis inter se dimicare solent. Qui igitur in his priores ac superiores esse volunt, suis cupiditatibus, et (ut uno verbo dicam) suis affectibus, eique animi parti, quæ rationis expers est, obsequuntur. Tale autem est vulgus hominum: itaque etiam a multitudine, quæ vitiosa est, fluxit appellatio. Merito igitur iis, qui hoc modo sui amantes sunt, amor hic maledicti loco objicitur. Eos autem, qui sibi talia tribuunt, vulgo solere sui amantes appellari, minime obscurum est. Si quis enim omnium maxime ea, quæ justa sunt, aut temperata, aut qualiacunque alia virtutibus consentanea,

τὸς μάλιστα πάντων, ἢ τὰ σώφρονα, ἢ ὁποιαοῦν ἄλλα τῶν κατὰ τὰς ἀρετὰς, καὶ ὅλως ἀεὶ τὸ καλὸν ἑαυτῷ περιποιοῖτο, οὐθεὶς ἐρεῖ φίλαυτον τοῦτον, οὐδὲ ψέξει. Δόξειε δ' ἂν ὁ τοιοῦτος εἶναι μᾶλλον φίλαυτος· ἀπονέμει γὰρ ἑαυτῷ τὰ κάλλιστα καὶ μάλιστα ἀγαθὰ, καὶ χαρίζεται ἑαυτοῦ τῷ κυριωτάτῳ, καὶ πάντα τούτῳ πείθεται. [i]Ὥσπερ δὲ καὶ πόλις τὸ κυριώτατον μάλιστ' εἶναι δοκεῖ, καὶ πᾶν ἄλλο σύστημα, οὕτω καὶ ἄνθρωπος. Καὶ φίλαυτος δὴ μάλιστα ὁ τοῦτο ἀγαπῶν, καὶ τούτῳ χαριζόμενος. Καὶ ἐγκρατὴς [k]δὴ καὶ ἀκρατὴς λέγεται, τῷ κρατεῖν τὸν νοῦν ἢ μὴ, ὡς τούτου ἑκάστου ὄντος. [l]Καὶ πεπραγέναι δοκοῦσιν αὐτοὶ, καὶ ἑκουσίως, τὰ μετὰ λόγου μάλιστα. Ὅτι μὲν οὖν τοῦθ' ἕκαστός ἐστι [m]μάλιστα, οὐκ ἄδηλον, καὶ ὅτι ὁ ἐπιεικὴς μάλιστα τοῦτο ἀγαπᾷ. Διὸ φίλαυτος μάλιστ' ἂν εἴη, καθ' ἕτερον εἶδος τοῦ ὀνειδιζομένου, καὶ διαφέρων τοσοῦτον, ὅσον τὸ κατὰ λόγον ζῆν, τοῦ κατὰ πάθος, καὶ ὀρέγεσθαι

[i] Ὥσπερ πόλις ἐστὶ μάλιστα τὸ κυριώτατον τῆς πόλεως, καὶ οἱ ἄριστοι τῶν πολιτῶν, οὕτω καὶ ἄνθρωπός ἐστι μάλιστα τὸ κυριώτατον τῶν ἐν τῷ ἀνθρώπῳ. *Andr.* [k] Δὴ El. et Bas. [l] Γρ. καὶ πεπραγμένα δοκεῖ αὐτῷ, καὶ ἑκουσ. [m] Ἢ μάλιστα El.

agere studeat, et omnino semper honestum sibi vendicet: nemo hunc neque sui amantem dicet, neque vituperabit. Atqui vir hujusmodi amans sui potius esse videatur: sibi enim res pulcherrimas, atque optimas tribuit: eique sui parti, quæ principatum obtinet, gratificatur, et omnibus in rebus obtemperat. Quemadmodum autem pars præcipua atque optima civitatis etiam videtur esse civitas, idemque de quovis alio conventu sentiendum; sic et hominis pars ea, quæ dominari debet, homo est. Est igitur ille sui amantissimus, qui hanc amat, et qui huic gratificatur. Jam quoque continens atque incontinens eo dicuntur, quod mens in illo superior ac potentior sit, in hoc inferior atque imbecillior, quasi sua quisque mens sit. Videnturque homines ea ipsi, suaque sponte egisse maxime, quæ cum ratione egerunt. Unumquemque igitur mentem suam esse maxime, atque hanc optimo cuique esse carissimam, perspicuum est. Itaque sui fuerit amantissimus genere quodam amoris ab eo, qui vitio datur, differente, tantum distans a superiore, quantum interest, utrum quis rationi convenienter vivat, an affectibus et perturbationibus

[n] ἢ τοῦ καλοῦ, ἢ τοῦ δοκοῦντος συμφέρειν. Τοὺς μὲν οὖν περὶ τὰς καλὰς πράξεις διαφερόντως σπουδάζοντας πάντες ἀποδέχονται καὶ ἐπαινοῦσι. Πάντων δὲ ἁμιλλωμένων πρὸς τὸ καλὸν, καὶ διατεινομένων τὰ κάλλιστα πράττειν, κοινῇ τ' ἂν παντὶ εἴη τὰ δέοντα, καὶ ἰδίᾳ ἑκάστῳ τὰ μέγιστα τῶν ἀγαθῶν· εἴπερ ἡ ἀρετὴ τοιοῦτόν ἐστιν. Ὥστε τὸν μὲν ἀγαθὸν δεῖ φίλαυτον εἶναι· καὶ γὰρ αὐτὸς ὀνήσεται τὰ καλὰ πράττων, καὶ τοὺς ἄλλους ὠφελήσει. Τὸν δὲ μοχθηρὸν οὐ δεῖ· βλάψει γὰρ καὶ ἑαυτὸν, καὶ τοὺς πέλας, φαύλοις πάθεσιν ἑπόμενος. Τῷ μοχθηρῷ μὲν οὖν διαφωνεῖ, ἃ δεῖ πράττειν, καὶ ἃ πράττει· ὁ δὲ ἐπιεικὴς, ἃ δεῖ, ταῦτα καὶ πράττει· πᾶς γὰρ νοῦς αἱρεῖται τὸ βέλτιστον ἑαυτῷ· ὁ δὲ ἐπιεικὴς πειθαρχεῖ τῷ νῷ. Ἀληθὲς δὲ τὸ περὶ τοῦ σπουδαίου, καὶ τὸ τῶν φίλων ἕνεκα πολλὰ πράττειν καὶ τῆς πατρίδος, κἂν δέῃ ὑπεραποθνήσκειν· προήσεται γὰρ καὶ χρήματα, καὶ τιμὰς, καὶ ὅλως τὰ περιμάχητα

[n] Ἢ abest a Vet. Interp. *ὅσον τὸ κατὰ λόγον ζῆν τοῦ κατὰ πάθος, καὶ ἡ τοῦ ἀγαθοῦ ὄρεξις τῆς φαύλης ἐπιθυμίας. Andr.*

animi serviat: et utrum honestum, an id, quod utilitatis speciem habet, appetat. Ii igitur, qui præclaris atque honestis actionibus egregie præter cæteros student, omnibus probati sunt, ab omnibusque collaudantur. Quod si omnes ad honestum certatim pervenire, resque honestissimas agere contenderent; tum communiter omnibus ea, quæ ratio postulat, tum privatim cuique maxima bona suppeterent: siquidem virtus talis res est. Itaque virum quidem bonum sui amantem esse oportet: namque et ipse ex honestis actionibus utilitatem percipiet, et aliis proderit. Improbum autem ac vitiosum non oportet: et sibi enim et proximo cuique nocebit, vitiosis animi perturbationibus obtemperans. Improbi igitur hominis actiones ab iis, quæ sunt agenda, discrepant; vir bonus autem quæ sunt agenda, ea et agit: etenim mens omnis id sequitur ac sumit, quod sibi est optimum: at vir bonus imperio mentis paret. Quod autem de viro bono dicitur, eum multa et amicorum et patriæ causa agere, etiamsi mors ei sit oppetenda, verum est: nam et pecuniæ, et honorum, et omnino eorum bonorum, de quibus homines

ἀγαθὰ, περιποιούμενος ἑαυτῷ τὸ καλόν. Ὀλίγον γὰρ χρόνον ἡσθῆναι σφόδρα μᾶλλον ἕλοιτ' ἂν, ἢ πολὺν ἠρέμα, καὶ βιῶσαι καλῶς ἐνιαυτὸν, ἢ πολλὰ ἔτη τυχόντως· καὶ μίαν πρᾶξιν καλὴν καὶ μεγάλην, ἢ πολλὰς καὶ μικράς. Τοῖς δ' ὑπεραποθνήσκουσι τοῦτ' ἴσως συμβαίνει. Αἱροῦνται δὴ μέγα καλὸν ἑαυτοῖς· καὶ χρήματα πρόοιντ' ἂν, ἐφ' ᾧ πλείω λήψονται οἱ φίλοι. Γίγνεται γὰρ τῷ μὲν φίλῳ χρήματα, αὐτῷ δὲ τὸ καλόν· τὸ δὲ μεῖζον ἀγαθὸν ἑαυτῷ ἀπονέμει. Καὶ περὶ τὰς τιμὰς δὲ καὶ ἀρχὰς ὁ αὐτὸς τρόπος· πάντα γὰρ τῷ φίλῳ ταῦτα προήσεται· καλὸν γὰρ αὐτῷ τοῦτο καὶ ἐπαινετόν. Εἰκότως δὴ δοκεῖ σπουδαῖος εἶναι, ἀντὶ πάντων αἱρούμενος τὸ καλόν. Ἐνδέχεται δὲ καὶ πράξεις τῷ φίλῳ προΐεσθαι, καὶ εἶναι κάλλιον τοῦ αὐτὸν πρᾶξαι, τὸ αἴτιον τῷ φίλῳ γενέσθαι. Ἐν ἅπασι δὴ τοῖς ἐπαινετοῖς, ὁ σπουδαῖος φαίνεται ἑαυτῷ τοῦ καλοῦ πλέον νέμων. Οὕτω μὲν οὖν δεῖ φίλαυτον εἶναι, καθάπερ εἴρηται· ὡς δ' οἱ πολλοὶ, οὐ χρή.

inter se decertare solent, jacturam faciet, ut sibi ipsi honesti possessionem comparet ac vendicet. Paulisper enim magna voluptate potiri, quam diu parva; et annum unum honeste vivere, quam multos temere et ex arbitrio nutuque fortunæ, multo malit: unam denique actionem magnam atque honestam multis et parvis anteponat. Atque hoc iis, qui vel pro amicis, vel pro patria excedunt e vita, fortasse contingit. Magnam igitur sibi honestatem sumunt atque eligunt: pecunias quinetiam libenter projecerint ac profuderint, ut amici ampliores consequantur. Amico enim pecunia, ipsi honestum quæritur: majus autem bonum sibi ipsi tribuit. Idem de honoribus et imperiis, seu magistratibus sentiendum est: hæc enim omnia amico concedet: quoniam hoc ei et honestum, et laudabile est. Jure igitur vir bonus et virtute præditus habetur, qui rebus omnibus honestum anteponat. Accidere autem potest, ut actiones rerum amico tradat et concedat, sitque ei honestius amico rerum agendarum auctorem causamque fuisse, quam ipsum agere. In omnibus igitur rebus laudabilibus apparet virum virtute præstantem sibi plus honesti tribuere. Itaque hoc modo, quomodo dixi, seipsum amare oportet: sed ut vulgus, non oportet.

ΚΕΦ. θ'.

[1]ΑΜΦΙΣΒΗΤΕΙΤΑΙ δὲ καὶ περὶ τὸν εὐδαίμονα, εἰ δεήσεται φίλων, ἢ μή; οὐθὲν γάρ φασι φίλων δεῖν τοῖς μακαρίοις καὶ αὐτάρκεσιν· ὑπάρχειν γὰρ αὐτοῖς τἀγαθά. Αὐτάρκεις οὖν ὄντας, οὐδενὸς προσδεῖσθαι· τὸν δὲ φίλον, ἕτερον αὐτὸν ὄντα, πορίζειν, ἃ δι' αὑτοῦ ἀδυνατεῖ. Ὅθεν τὸ,

[o]Ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;

Ἔοικε δ' ἀτόπῳ, τὸ πάντα ἀπονέμοντας τἀγαθὰ τῷ εὐδαίμονι, φίλους μὴ ἀποδιδόναι, ὃ δοκεῖ τῶν ἐκτὸς ἀγαθῶν μέγιστον εἶναι. Εἰ δὲ φίλου ἐστὶ μᾶλλον τὸ εὖ ποιεῖν ἢ πάσχειν, καὶ ἔστι ἀγαθοῦ καὶ τῆς ἀρετῆς τὸ εὐεργετεῖν, κάλλιον δ' εὖ ποιεῖν φίλους ὀθνείων, τῶν εὖ πεισομένων δεήσεται ὁ σπουδαῖος. Διὸ καὶ ἐπιζητεῖται, πότερον ἐν ἀτυχίαις μᾶλλον δεῖ φίλων ἢ ἐν εὐτυχίαις· ὡς καὶ τοῦ ἀτυχοῦντος δεομένου

[1] Magn. Moral. lib. ii. c. 15. Eud. lib. viii. c. 12.

[o] ———————— τοὺς φίλους
Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν.
Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων;
Ἀρκεῖ γὰρ αὐτὸς ὁ Θεὸς, ὠφελεῖν θέλων. Euripides in Oreste.

CAP. IX.

HAC etiam de re controversia est, Utrum aliquando futurum sit, ut amicis egeat beatus, necne? negant enim, iis, qui beati sunt, bonisque omnibus cumulati nulla re egent, amicis opus esse: eis enim omnium bonorum copiam suppetere. Cum sint igitur suis opibus contenti, nihil eos amplius desiderare: amicum autem, cum sit alter idem, amico suppeditare solere, quæ ille per se consequi non possit. Ex quo illud:

Fortuna cum favet, quid amicis est opus?

Sed absurdum est, omnia bona beato tribuentes, amicos non dare, quod omnium bonorum externorum videtur esse maximum. Quod si amici est bene mereri de altero potius, quam beneficium accipere: et si viri boni, ac virtutis proprium est, beneficium conferre in alterum: pulchrius autem est de amicis, quam de alienis bene mereri: desiderabit vir bonus aliquos, qui beneficium a se sint accepturi. Itaque etiam quæritur, utrum in rebus adversis magis, quam in secundis amici requirantur: quasi et ei, cui adversatur fortuna,

τῶν εὐεργετησόντων, καὶ τῶν εὐτυχούντων, οὓς εὖ ποιήσουσιν. Ἄτοπον δὲ ἴσως καὶ τὸ μονώτην ποιεῖν τὸν μακάριον· οὐθεὶς γὰρ ἕλοιτ' ἂν καθ' αὑτὸν τὰ πάντ' ἔχειν ἀγαθά· πολιτικὸν γὰρ ὁ ἄνθρωπος καὶ συζῆν πεφυκός. Καὶ τῷ εὐδαίμονι δὴ τοῦθ' ὑπάρχει· τὰ γὰρ τῇ φύσει ἀγαθὰ ἔχει. Δῆλον δὲ ὡς μετὰ φίλων καὶ ἐπιεικῶν κρεῖττον, ἢ μετ' ὀθνείων καὶ τῶν τυχόντων συνημερεύειν. Δεῖ ἄρα τῷ εὐδαίμονι φίλων. Τί οὖν λέγουσιν οἱ πρῶτοι, καὶ πῇ ἀληθεύουσιν; ἢ ὅτι οἱ πολλοὶ φίλους οἴονται τοὺς χρησίμους εἶναι; Τῶν τοιούτων μὲν οὖν οὐθὲν δεήσεται ὁ μακάριος, ἐπειδὴ τἀγαθὰ ὑπάρχει αὐτῷ· οὐδὲ δὴ τῶν διὰ τὸ ἡδὺ, ἢ ἐπὶ μικρόν· ἡδὺς γὰρ ὁ βίος ὢν, οὐθὲν δεῖται ἐπεισάκτου ἡδονῆς. Οὐ δεόμενος δὲ τῶν τοιούτων φίλων, οὐ δοκεῖ δεῖσθαι φίλων. Τὸ δ' οὐκ ἔστιν ἴσως ἀληθές· ἐν ἀρχῇ γὰρ εἴρηται, ὅτι ἡ εὐδαιμονία, ἐνέργειά τίς ἐστιν· ἡ δ' ἐνέργεια, δῆλον ὅτι γίνεται, καὶ οὐχ ὑπάρχει, ὥσπερ κτῆμά τι. Εἰ δὲ τὸ εὐδαιμονεῖν ἐστιν ἐν τῷ ζῆν καὶ ἐνεργεῖν,

opus sit aliquibus, qui ei benigne faciant: et ii, quorum sunt res secundæ, nonnullos, in quos beneficium conferant, desiderent. Verum absurdum illud quoque fortasse sit, solitarium facere beatum: nemo enim hac conditione bonis omnibus abundare velit, ut solus ætatem agat: homo enim civile animal est, et ad societatem vitæ aptum natura. Hoc igitur viro beato suppetit: habet enim ea, quæ natura bona sunt. Jam vero perspicuum est, cum amicis et viris bonis, quam cum alienis, et forte fortuna oblatis hominibus, totum diem consumere præstare. Amicis igitur viro beato opus est. Quænam ergo est priorum illorum oratio, et qua ex parte vera? an quod vulgus eos esse amicos existimat, qui utilitatem afferunt? At talibus nihil egebit beatus: quandoquidem omnium ei bonorum suppetit copia: ne iis quidem, qui, propterea quod delectant, sunt amici; aut parum admodum: nam cum ejus vita sit suavis et jucunda, voluptatem adventitiam non requirit. At si talibus amicis non eget, amicis egere non videtur. Sed hoc fortasse verum non est: principio enim diximus beatitudinem muneris functionem quandam esse: muneris functio autem nimirum oritur ac gignitur, neque, ut possessio quædam, subest aut suppetit.

ΚΕΦ. θ'.

ΑΜΦΙΣΒΗΤΕΙΤΑΙ δὲ καὶ περὶ τὸν εὐδαί-
φίλων, ἢ μή; οὐθὲν γάρ φασι
χαρίοις καὶ αὐτάρκεσιν· ὑπάρχειν
Αὐτάρκεις οὖν ὄντας, οὐδενὸς προσ-
ρον αὐτὸν ὄντα, πορίζειν, ἃ δι' αὐ-
ᵒ"Οταν ὁ δαίμων εὖ διδῷ
ᵛἜοικε δ' ἀτόπῳ, τὸ πάντα
δαίμονι, φίλους μὴ ἀποδ-
μέγιστον εἶναι. Εἰ δὲ φ-
σχειν, καὶ ἔστι ἀγαθ-
δ' εὖ ποιεῖν φίλους
σπουδαῖος. Διὸ
λον δεῖ φίλων ἢ

..., ταῖς ...ικὸς τοῖς κα- ...ως λυπεῖται. Γένοιτο

[1] Magn. Moral.

'Ε...
"Ο...

q Γρ. μονώτῃ μὲν οὖν ὄντι χαλ.

H A... ...e, in vi- ...us functio- ...si virorum bo- ...tio muneris per ...c jucunda est, ut in- qua... ...ctum est; id autem, cis... cujusque proprium est, g...eratur in jucundis; al- ...rum autem facilius, quam nos ipsos, et illius actiones, quam nostras cernere possumus; et si virorum bonorum actiones, eorundemque amicorum, bonis sunt suaves et jucundæ (habent enim ea utrique, quæ sunt jucunda natura) si igitur hæc vera sunt, talibus amicis egebit beatus, siquidem bonas et honestas actiones et proprias intueri exoptat. Tales autem sunt viri boni, qui idem sit amicus, actiones. Existimant autem beatum jucunde vivere oportere. Atqui homini solitariam vitam agenti, molesta et acerba vita est, non enim ei, qui solus vivat, assidue munere fungi facile est; cum aliis autem, et erga alios, facilius. Erit igitur ea muneris functio magis assidua, minusque interrupta, quæ per se jucunda est: quod penes beatum esse oportet: nam vir bonus, virtuteque præditus, qua bonus est, actionibus virtuti consentaneis delectatur, offenditurque contrariis: quemadmodum musicus ex modulatis cantibus voluptatem percipit, malos

ἡ ἄσκησίς τις τῆς ἀρετῆς ἐκ τοῦ συζῆν τοῖς ἀγα-
...περ καὶ [r] Θέογνίς φησιν. Φυσικώτερον δὲ ἐπισκο-
...σπουδαῖος φίλος τῷ σπουδαίῳ τῇ φύσει αἱρε-
...ῇ φύσει ἀγαθὸν, εἴρηται ὅτι τῷ σπουδαίῳ
...καθ' αὑτό. Τὸ δὲ ζῆν [s] ὁρίζονται, τοῖς
...εως, ἀνθρώποις δὲ, αἰσθήσεως, [u] ἢ
...τὴν ἐνέργειαν [x] ἀνάγεται· τὸ δὲ
...δὴ τὸ ζῆν εἶναι κυρίως τὸ αἰ-
...ῶν καθ' αὑτὸ ἀγαθῶν καὶ
...ένον τῆς τἀγαθοῦ φύ-
...επιεικεῖ. Διόπερ ἔοικε
...μβάνειν μοχθηρὰν ζωὴν καὶ
...καις· ἀόριστος γὰρ ἡ τοιαύτη, καθά-

...post Θέογνίς φησιν, addunt hæc: οἷον ὡς λέγει, Ἐσθλῶν μὲν ...αι· (ad oram Bas. μαθήσεαι) ἢν δὲ κακοῖσι συμμίξῃς (συμμιχθῇς ...πολεῖς καὶ τὸν ἐόντα νόον. Sed Scholion esse patet ex istis verbis ... Infra vero in fine hujus libri istud hemistichium, Ἐσθλῶν μὲν γὰρ ...λὰ, citatur. [s] Γρ. ὁρίζεται. [t] Δύναμιν Andr. et quidam alii. [u] Καὶ ...er. et Vet. Interp. Nobiscum Andr. et Eustratius, qui sic hunc locum interpretatur: καὶ ζῆν καὶ πολιτεύεσθαι καὶ πράττειν ἢ κατ' αἴσθησιν καὶ τὰς ἀλόγους πράξεις, ὡς οἱ φαῦλοι, βοσκημάτων δίκην ζῶντες, ἢ κατὰ νοῦν, ὡς οἱ σπουδαῖοι. [x] Γρ. ἄγε...ται. [y] Τὸ δὲ ὡρισμένον τῆς τοῦ ἀγαθοῦ φύσεως, καθάπερ καὶ Πυθαγορείοις ἐδόκει· καὶ γὰρ ἔταττον ἐν τῇ τοῦ ἀγαθοῦ συστοιχίᾳ τὸ ὡρισμένον. Vide lib. i. cap. 6.

autem et discordes graviter et moleste fert. Jam vero ex consuetudine et convictu virorum bonorum exercitatio quædam virtutis capi possit, quemadmodum ait et Theognis. Sed iis, qui magis a natura causam hujus rei petunt, videtur vir bonus viro bono optabilis amicus esse natura: diximus enim, quod natura bonum est, id viro bono per se bonum ac jucundum esse. Vivere autem in animantibus, potestate sentiendi; in hominibus, vi sentiendi, aut intelligendi terminatur: at potestas ad muneris functionem deducitur; rei autem principatus in muneris functione consistit. Videtur igitur vivere, proprie esse sentire, aut intelligere: vivere autem, in iis, quæ per se bona et jucunda sunt, numeratur; est enim aliquid terminatum: quicquid autem terminatum est, ad naturam ipsius boni pertinet: jam quod natura bonum est, idem et viro bono bonum est. Quocirca vivere videtur omnibus esse jucundum. Sumenda autem non est vita vitiosa, et corrupta, nec doloribus confecta: nam talis vita nullis

τοῦ ἀγαθοῦ δ' ἡ ἐνέργεια σπουδαία καὶ ἡδεῖα καθ' αὑτὴν, καθάπερ ἐν ἀρχῇ εἴρηται, ἔστι δὲ καὶ τὸ οἰκεῖον τῶν ἡδέων, θεωρεῖν δὲ μᾶλλον τοὺς πέλας δυνάμεθα ἢ ἑαυτοὺς, καὶ τὰς ἐκείνων πράξεις, ἢ τὰς οἰκείας, αἱ τῶν σπουδαίων [p] δὴ πράξεις, φίλων ὄντων, ἡδεῖαι τοῖς ἀγαθοῖς· ἄμφω γὰρ ἔχουσι τὰ τῇ φύσει ἡδέα· ὁ μακάριος δὴ φίλων τοιούτων δεήσεται, εἴ περ θεωρεῖν προαιρεῖται πράξεις ἐπιεικεῖς καὶ οἰκείας. Τοιαῦται δ' αἱ τοῦ ἀγαθοῦ, φίλου ὄντος. Οἴονται δὲ δεῖν ἡδέως ζῆν τὸν εὐδαίμονα. [q] Μονώτῃ μὲν οὖν χαλεπὸς ὁ βίος· οὐ ῥᾴδιον γὰρ καθ' αὑτὸν ἐνεργεῖν συνεχῶς, μεθ' ἑτέρων δὲ καὶ πρὸς ἄλλους ῥᾷον. Ἔσται οὖν ἡ ἐνέργεια συνεχεστέρα, ἡδεῖα οὖσα καθ' αὑτήν· ὃ δεῖ περὶ τὸν μακάριον εἶναι· ὁ γὰρ σπουδαῖος, ᾗ σπουδαῖος, ταῖς κατ' ἀρετὴν πράξεσι χαίρει, ταῖς δ' ἀπὸ κακίας δυσχεραίνει· καθάπερ ὁ μουσικὸς τοῖς καλοῖς μέλεσιν ἥδεται, ἐπὶ δὲ τοῖς φαύλοις λυπεῖται. Γένοιτο

[p] Δὶ C C C. et Lamb. [q] Γρ. μονώτῃ μὲν οὖν ὄντι χαλ.

Quod si beatum esse, in vivendo et in muneris functione consistit, et si virorum bonorum functio muneris per se bona et jucunda est, ut initio dictum est; id autem, quod cujusque proprium est, numeratur in jucundis; alterum autem facilius, quam nos ipsos, et illius actiones, quam nostras cernere possumus; et si virorum bonorum actiones, eorundemque amicorum, bonis sunt suaves et jucundæ (habent enim ea utrique, quæ sunt jucunda natura) si igitur hæc vera sunt, talibus amicis egebit beatus, siquidem bonas et honestas actiones et proprias intueri exoptat. Tales autem sunt viri boni, qui idem sit amicus, actiones. Existimant autem beatum jucunde vivere oportere. Atqui homini solitariam vitam agenti, molesta et acerba vita est, non enim ei, qui solus vivat, assidue munere fungi facile est; cum aliis autem, et erga alios, facilius. Erit igitur ea muneris functio magis assidua, minusque interrupta, quæ per se jucunda est: quod penes beatum esse oportet: nam vir bonus, virtuteque præditus, qua bonus est, actionibus virtuti consentaneis delectatur, offenditurque contrariis: quemadmodum musicus ex modulatis cantibus voluptatem percipit, malos

δ᾽ ἂν καὶ ἄσκησίς τις τῆς ἀρετῆς ἐκ τοῦ συζῆν τοῖς ἀγαθοῖς, καθάπερ καὶ [r] Θέογνίς φησιν. Φυσικώτερον δὲ ἐπισκοποῦσιν ἔοικεν ὁ σπουδαῖος φίλος τῷ σπουδαίῳ τῇ φύσει αἱρετὸς εἶναι· τὸ γὰρ τῇ φύσει ἀγαθὸν, εἴρηται ὅτι τῷ σπουδαίῳ ἀγαθὸν καὶ ἡδύ ἐστι καθ᾽ αὐτό. Τὸ δὲ ζῆν [s] ὁρίζονται, τοῖς ζώοις, [t] δυνάμει αἰσθήσεως, ἀνθρώποις δὲ, αἰσθήσεως, [u] ἢ νοήσεως· ἡ δὲ δύναμις εἰς τὴν ἐνέργειαν [x] ἀνάγεται· τὸ δὲ κύριον ἐν τῇ ἐνεργείᾳ. [y] Ἔοικε δὴ τὸ ζῆν εἶναι κυρίως τὸ αἰσθάνεσθαι, ἢ νοεῖν· τὸ δὲ ζῆν, τῶν καθ᾽ αὐτὸ ἀγαθῶν καὶ ἡδέων· ὡρισμένον γάρ· [y] τὸ δ᾽ ὡρισμένον τῆς τἀγαθοῦ φύσεως· τὸ δὲ τῇ φύσει ἀγαθὸν, καὶ τῷ ἐπιεικεῖ. Διόπερ ἔοικε πᾶσιν ἡδὺ εἶναι. Οὐ δεῖ δὲ λαμβάνειν μοχθηρὰν ζωὴν καὶ διεφθαρμένην, οὐδ᾽ ἐν λύπαις· ἀόριστος γὰρ ἡ τοιαύτη, καθά-

[r] Ven. 1. 2. et Bas. post Θέογνίς φησιν, addunt hæc: οἷον ὡς λέγει, Ἐσθλῶν μὲν γὰρ ἀπ᾽ ἐσθλὰ διδάξεαι (ad oram Bas. μαθήσεαι) ἢν δὲ κακοῖσι συμμίξῃς (συμμιχθῇς ad oram Bas.) ἀπολεῖς καὶ τὸν ἐόντα νόον. Sed Scholion esse patet ex istis verbis οἷον ὡς λέγει. Infra vero in fine hujus libri istud hemistichium, Ἐσθλῶν μὲν γὰρ ἀπ᾽ ἐσθλὰ, citatur. [s] Γρ. ὁρίζεται. [t] Δύναμιν Andr. et quidam alii. [u] Καὶ Camer. et Vet. Interp. Nobiscum Andr. et Eustratius, qui sic hunc locum interpretatur: καὶ ζῆν καὶ πολιτεύεσθαι καὶ πράττειν ἢ κατ᾽ αἴσθησιν καὶ τὰς ἀλόγους πράξεις, ὡς οἱ φαῦλοι, βοσκημάτων δίκην ζῶντες, ἢ κατὰ νοῦν, ὡς οἱ σπουδαῖοι. [x] Γρ. ἄγεται. [y] Τὸ δὲ ὡρισμένον τῆς τοῦ ἀγαθοῦ φύσεως, καθάπερ καὶ Πυθαγορείοις ἐδόκει· καὶ γὰρ ἔτασσον ἐν τῇ τοῦ ἀγαθοῦ συστοιχίᾳ τὸ ὡρισμένον. Vide lib. i. cap. 6.

autem et discordes graviter et moleste fert. Jam vero ex consuetudine et convictu virorum bonorum exercitatio quædam virtutis capi possit, quemadmodum ait et Theognis. Sed iis, qui magis a natura causam hujus rei petunt, videtur vir bonus viro bono optabilis amicus esse natura: diximus enim, quod natura bonum est, id viro bono per se bonum ac jucundum esse. Vivere autem in animantibus, potestate sentiendi; in hominibus, vi sentiendi, aut intelligendi terminatur: at potestas ad muneris functionem deducitur; rei autem principatus in muneris functione consistit. Videtur igitur vivere, proprie esse sentire, aut intelligere: vivere autem, in iis, quæ per se bona et jucunda sunt, numeratur; est enim aliquid terminatum: quicquid autem terminatum est, ad naturam ipsius boni pertinet: jam quod natura bonum est, idem et viro bono bonum est. Quocirca vivere videtur omnibus esse jucundum. Sumenda autem non est vita vitiosa, et corrupta, nec doloribus confecta: nam talis vita nullis

περ τὰ ὑπάρχοντα αὐτῇ. Ἐν τοῖς ἐχομένοις δὲ περὶ τῆς λύπης ἔσται φανερώτερον. Εἰ δ' αὐτὸ τὸ ζῆν ἀγαθὸν, ϗ ἡδύ. [y]Ἔοικε δὲ καὶ ἐκ τοῦ πάντας ὀρέγεσθαι αὐτοῦ, ϗ μάλιστα τοὺς ἐπιεικεῖς καὶ μακαρίους· τούτοις γὰρ ὁ βίος αἱρετώτατος, καὶ ἡ τούτων μακαριωτάτη ζωή. Ὁ δ' ὁρῶν, ὅτι ὁρᾷ αἰσθάνεται, καὶ ὁ ἀκούων, ὅτι ἀκούει, ϗ ὁ βαδίζων, ὅτι βαδίζει· ϗ ἐπὶ τῶν ἄλλων ὁμοίως ἐστί τι τὸ αἰσθανόμενον, ὅτι ἐνεργοῦμεν. Αἰσθανοίμεθα δ' ἂν, ὅτι αἰσθανόμεθα, ϗ νοοῖμεν, ὅτι νοοῦμεν. Τὸ δ', ὅτι αἰσθανόμεθα, ἢ νοοῦμεν, ὅτι ἐσμέν· [z] τὸ γὰρ εἶναι ἦν τὸ αἰσθάνεσθαι, ἢ νοεῖν. Τὸ δ' αἰσθάνεσθαι ὅτι ζῇ, τῶν ἡδέων καθ' αὐτό· φύσει γὰρ ἀγαθὸν ἡ ζωή. Τὸ δ' ἀγαθὸν ὑπάρχον ἑαυτῷ αἰσθάνεσθαι, ἡδύ. Αἱρετὸν δὲ τὸ ζῆν, ϗ μάλιστα τοῖς ἀγαθοῖς, ὅτι τὸ εἶναι ἀγαθόν ἐστιν αὐτοῖς καὶ ἡδύ· συναισθανόμενοι γὰρ τοῦ καθ' αὐτὸ [a] ἀγαθοῦ, ἥδονται. [b]Ὡς δὲ πρὸς ἑαυτὸν ἔχει ὁ σπουδαῖος, ϗ πρὸς τὸν

[z] Τὸ εἶναι ἢ αἰσθάν. Ven. 1. et Bas.

[a] Γρ. καλοῦ ϗ ἀγαθοῦ: et ita videtur fuisse in Eustratii codd.

terminis circumscripta est, quemadmodum nec ea, quæ insunt in ea. Sed in iis, quæ deinceps dicturi sumus de dolore, planius hoc constabit. Quod si vivere bonum est, est et jucundum. Quod quidem ex eo vel maxime probabile est, quod cum omnes homines, tum maxime viri boni, et beati, vivendi cupiditate affecti sunt: his enim vita est maxime expetenda, eorumque tota vitæ ratio beatissima est. Qui autem videt, sentit se videre; et qui audit, audire; et qui ambulat, ambulare: in aliis denique item omnibus est aliquid, quod sentit nos fungi munere et agere. Sentire autem nos, sentire possumus, et intelligere nos, intelligere. At sentire a nobis aliquid sentiri, et intelligere aliquid intelligi, sentire atque intelligere est nos esse: esse enim, sentire aut intelligere esse dicebamus. Sentire autem se vivere, in rebus per se jucundis numeratur: vita enim bonum est natura. Sentire autem in seipso bonum inesse, jucundum est. Vivere igitur cum sit omnibus optabile, tum bonis maxime, quia eis esse et bonum est, et jucundum: cum enim una id, quod per se bonum est, sensu percipiunt, voluptate afficiuntur. Quo modo autem in seipsum vir bonus animatus est, sic et

φίλον· ἕτερος γὰρ αὐτὸς, ὁ φίλος ἐστί. Καθάπερ οὖν τὸ αὐτὸν εἶναι, αἱρετόν ἐστιν ἑκάστῳ, οὕτω καὶ τὸ τὸν φίλον, ἢ παραπλησίως. Τὸ δ' εἶναι ἦν αἱρετὸν, διὰ τὸ αἰσθάνεσθαι [b]αὐτοῦ ἀγαθοῦ ὄντος· ἡ δὲ τοιαύτη αἴσθησις ἡδεῖα καθ' αὑτήν. Συναισθάνεσθαι ἄρα δεῖ καὶ τοῦ φίλου ὅτι ἐστί· τοῦτο δὲ γίνοιτ' ἂν ἐν τῷ συζῆν, καὶ κοινωνεῖν λόγων καὶ διανοίας, οὕτω γὰρ ἂν δόξειε τὸ συζῆν ἐπὶ τῶν ἀνθρώπων λέγεσθαι, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν βοσκημάτων, τὸ ἐν τῷ αὐτῷ νέμεσθαι. Εἰ δὴ τῷ μακαρίῳ τὸ εἶναι αἱρετόν ἐστι καθ' αὑτὸ, ἀγαθὸν τῇ φύσει ὂν καὶ ἡδὺ, παραπλήσιον δὲ καὶ τὸ τοῦ φίλου ἐστί· καὶ ὁ φίλος τῶν αἱρετῶν ἂν εἴη. Ὃ δ' ἐστὶν αὐτῷ αἱρετὸν, τοῦτο δεῖ ὑπάρχειν αὐτῷ· ἢ ταύτῃ ἐνδεὴς ἔσται. Δεήσει ἄρα τῷ εὐδαιμονήσοντι φίλων σπουδαίων.

ΚΕΦ. ι'.

ΑΡ' οὖν ὡς πλείστους φίλους ποιητέον; ἢ καθάπερ ἐπὶ τῆς ξενίας ἐμμελῶς εἰρῆσθαι δοκεῖ, τὸ,

[b] Γρ. ἑαυτοῦ: ita etiam Eustratius. Sed nostram lectionem confirmat, quod paulo ante dixerat τὸ εἶναι ἀγαθ.

in amicum: amicus enim alter ipse. Quemadmodum igitur unicuique se esse optabile et expetendum est, sic et amicum, aut non multo secus. Esse autem cuique optabile esse dicebamus, quia id sentiat, quod est bonum: hujusmodi autem sensus magna per se afficit voluptate. Una igitur sentiat oportet, etiam amicum esse: quod continget in societate victus atque vitæ, et in communicatione sermonis et cogitationis: ita enim consuetudo et societas vitæ dici videatur in hominibus; non, ut in pecudibus, pascuorum et pabuli communitas. Si viro igitur beato esse optabile est per se, cum sit bonum, jucundumque natura; itemque de amico sentiendum: consequens est ut etiam amicus in rebus optabilibus sit habendus. At quod cuique optabile est, hoc ei suppetere oportet: alioqui hac parte penuria laborabit. Ei igitur, qui beatus futurus est, amicis opus erit virtute præditis.

CAP. X.

SED utrum quam plurimi nobis asciscendi sunt amici? an, quemadmodum in hospitalitate illud videtur apte dictum,

[c]Μήτε πολύξεινος, μήτ' ἄξεινος·

καὶ ἐπὶ τῆς φιλίας ἁρμόσει μήτ' ἄφιλον εἶναι, μήτ' αὖ πολύφιλον καθ' ὑπερβολήν; Τοῖς μὲν δὴ πρὸς χρῆσιν, καὶ πάνυ δόξειεν ἂν ἁρμόζειν τὸ λεχθέν· πολλοῖς γὰρ ἀνθυπηρετεῖν ἐπίπονον, καὶ οὐχ ἱκανὸς [d]ὁ βίος αὐτοῖς τοῦτο πράττειν. Οἱ πλείους δὴ τῶν πρὸς τὸν οἰκεῖον βίον ἱκανῶν περίεργοι καὶ ἐμπόδιοι πρὸς τὸ καλῶς ζῆν· οὐθὲν οὖν δεῖ αὐτῶν. Καὶ οἱ πρὸς ἡδονὴν δὲ, ἀρκοῦσιν ὀλίγοι· καθάπερ ἐν τῇ [e]τροφῇ τὸ ἥδυσμα. Τοὺς δὲ σπουδαίους, πότερον πλείστους κατ' ἀριθμόν; ἢ ἐστί τι μέτρον καὶ φιλικοῦ πλήθους, ὥσπερ πόλεως; [f]οὔτε γὰρ ἐκ δέκα ἀνθρώπων γένοιτ' ἂν πόλις, οὔτε ἐκ δέκα μυριάδων ἔτι πόλις ἐστί· τὸ δὲ ποσὸν οὐκ ἔστιν ἴσως ἕν τι, ἀλλὰ πᾶν τὸ μεταξύ τινων ὡρισμένων. Καὶ φίλων δή ἐστί

[c] Μηδὲ πολύξεινον, μηδ' ἄξεινον καλέεσθαι.
Hesiod. Ἔργ. καὶ Ἡμ. β'. v. 333.

[d] Ὁ βίος αὐτὸς Argyr. ὅτι ὀλίγοις ἂν τις ἀρκέσειεν ἃ χρήζουσι βοηθεῖν, καὶ τὸ πολλοὺς θεραπεύειν ἐπίπονον· μάλιστα εἰ τύχοιεν περίεργοί τινες ὄντες, καὶ ζητοῦντες θεραπεύεσθαι περιττῶς. *Andr.* [e] Ita Vet. Interp. Argyr. et Eustrat. τρυφῇ alii, male. ἐν εὐωχίᾳ τοῦ ἡδύσματος. *Andr.* [f] Vide Polit. lib. iii. cap. 3.

Multorum non dicaris, neque nullius hospes:

sic et in amicitia convenienter dicetur, neque inopem ab amicis esse, neque ingenti multitudine amicorum abundare oportere? Iis igitur, qui amicitiam ad utilitatem referunt, id quod modo dictum est, admodum convenire videatur: multis enim vicissim operam dare difficile et laboriosum est; neque huic rei agendæ nobis satis sint nostræ facultates. Plures igitur quam qui ad suam cujusque rem familiarem satis sint, supervacanei sunt, honesteque vivendi rationem impediunt: itaque nihil eis opus est. Tum qui voluptatis causa comparantur amici, pauci satis sunt: quemadmodum in cibis condimentum. Sed utrum viros bonos quamplurimos numero in amicitiam recipere oportet? an ut civitatis, sic et amicorum multitudinis aliquis modus est? nam neque ex decem hominibus constare possit civitas; neque ex centum hominum millibus jam civitas est: certus autem civium numerus non est fortasse aliquis unus; sed quisquis inter duos aliquos definitos interjectus est, is numerus civium certus est. Numerus igitur etiam amicorum certus est aliquis ac defini-

τι πλῆθος ὡρισμένον· καὶ ἴσως οἱ πλεῖστοι, μεθ᾿ ὧν δύναιτό τις συζῆν· τοῦτο γὰρ ἐδόκει φιλικώτατον εἶναι. Ὅτι δ᾿ οὐχ οἷόν τε πολλοῖς συζῆν καὶ διανέμειν αὑτὸν, οὐκ ἄδηλον. Ἔτι δὲ κἀκείνους δεῖ ἀλλήλοις φίλους εἶναι, εἰ μέλλουσι πάντες μετ᾿ ἀλλήλων συνημερεύειν· τοῦτο δὲ ἐργῶδες ἐν πολλοῖς ὑπάρχει. Χαλεπὸν δὲ γίνεται καὶ τὸ συγχαίρειν καὶ τὸ συναλγεῖν οἰκείως πολλοῖς· εἰκὸς γὰρ συμπίπτειν ἅμα, τῷ μὲν συνήδεσθαι, τῷ δὲ συνάχθεσθαι. Ἴσως οὖν εὖ ἔχει, μὴ ζητεῖν ὡς πολυφιλώτατον εἶναι, ἀλλὰ τοσούτους, ὅσοι εἰς τὸ συζῆν ἱκανοί· οὐδὲ γὰρ ἐνδέχεσθαι δόξειεν ἂν πολλοῖς εἶναι φίλον σφόδρα. Διόπερ οὐδὲ ἐρᾷν πλειόνων· [g] ὑπερβολὴ γάρ τις εἶναι βούλεται φιλίας. Τοῦτο δὲ πρὸς ἕνα· καὶ τὸ σφόδρα δὴ πρὸς ὀλίγους. Οὕτω δ᾿ ἔοικεν ἔχειν καὶ ἐπὶ τῶν πραγμάτων· οὐ γίγνονται γὰρ φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικὴν φι-

[g] Οὐδὲ κατὰ τὴν ἐρωτικὴν φιλίαν πολλῶν ἐνδέχεται φίλον εἶναι· ἡ γὰρ ἐρωτικὴ φιλίας ἐστὶν ὑπερβολὴ, καὶ διὰ τοῦτο πρὸς ἕνα δύναται γίνεσθαι. *Andr.*

tus: ac fortasse plurimi sunt intelligendi, quibuscum consuetudine victus et vitæ quis conjungi possit: hoc enim amicitiæ maxime proprium esse videbatur. Minime vero illud obscurum est, fieri non posse, ut quis cùm multis vivat, eisque omnibus sese dedat atque impertiat. Præterea illos etiam inter se amicos esse oportet, si futurum est, ut omnes inter se usu et consuetudine vitæ conjuncti sint: verum hoc in multis difficile est. Illud quoque magni negotii est, communi cum multis lætitia doloreque affici ad cujusque affectum accommodate: probabile est enim uno tempore accidere posse, ut cum altero lætetur, doleat cum altero. Fortassis igitur commodius ac tutius erit, cum quam plurimis amicis usu conjungi nolle: sed tot quærere, quot ad vitæ societatem satis futuri sunt: neque enim natura peti posse videatur, ut quis multis valde sit amicus. Quapropter ne plurium quidem amore captus esse quisquam potest: amor enim quoddam amicitiæ nimium videtur esse. Hoc autem cum uno duntaxat locum habere potest: vehementer igitur amare, inter paucos locum habet. Atque id quod dicimus, re factisque comprobatur: in eam enim amicitiam, qua sodales inter se conjuncti sunt, non recipiuntur multi: eæ autem, quæ

λίαν· αἱ δ' ὑμνούμεναι ἐν δυσὶ λέγονται. Οἱ δὲ πολύφιλοι, καὶ πᾶσιν οἰκείως ἐντυγχάνοντες, οὐδενὶ δοκοῦσιν εἶναι φίλοι, πλὴν πολιτικῶς, οὓς καὶ καλοῦσιν ἀρέσκους. Πολιτικῶς μὲν οὖν ἐστι πολλοῖς εἶναι φίλον καὶ μὴ ἄρεσκον ὄντα, ἀλλ' ὡς ἀληθῶς ἐπιεικῆ· δι' ἀρετὴν δὲ καὶ δι' ἑαυτοὺς, οὐκ ἔστι πρὸς πολλούς· ἀγαπητὸν δὲ καὶ ὀλίγους εὑρεῖν τοιούτους.

ΚΕΦ. ια'.

ΠΟΤΕΡΟΝ δ' ἐν εὐτυχίαις φίλων μᾶλλον δεῖ, ἢ ἐν [h]ἀτυχίαις; ἐν ἀμφοῖν γὰρ ἐπιζητοῦνται· οἵ τε γὰρ ἀτυχοῦντες δέονται ἐπικουρίας, οἵ τ' εὐτυχοῦντες συμβίων, καὶ οὓς εὖ ποιήσουσι· βούλονται γὰρ εὖ δρᾶν. Ἀναγκαιότερον μὲν δὴ ἐν ταῖς ἀτυχίαις· διὸ τῶν χρησίμων ἐνταῦθα δεῖ. Κάλλιον δ' ἐν ταῖς εὐτυχίαις· διὸ καὶ τοὺς ἐπιεικεῖς ζητοῦσι· τούτους γὰρ αἱρετώτερον εὐεργετεῖν, καὶ μετὰ τούτων διάγειν.

h Δυστυχίαις El.

omnium sermone famaque celebrantur, inter duos fuisse dicuntur. Qui vero multitudine amicorum delectantur, et cum omnibus familiariter comiterque versantur ac loquuntur, amici nemini videntur esse, nisi civili more; quos et blandos, seu placendi cupidos appellant. Civili igitur quidem more fieri potest, ut quis sit multis amicus: atque adeo etiamsi non sit blandus, sed revera vir bonus ac modestus: virtutis autem nomine, ut quis multos amet, et propter ipsos, non potest: præclare enim nobiscum agatur, si vel paucos tales reperire possimus.

CAP. XI.

SED utrum in rebus secundis magis, an in adversis, amicis opus est? in utroque enim tempore requiruntur: nam et ii, quibus adversatur fortuna, alterius egent auxilio; et ii, qui fruuntur secunda, convictores, atque aliquos, de quibus bene mereantur, desiderant: volunt enim de aliquibus bene mereri. Ergo in rebus quidem adversis magis necessaria est amicorum possessio: itaque hic utilibus amicis opus est. In secundis autem pulchrior atque honestior: quapropter etiam viros bonos quærunt: his enim benigne facere, et

Ἔστι γὰρ καὶ ἡ παρουσία αὐτὴ τῶν φίλων ἡδεῖα, καὶ ἐν ταῖς εὐτυχίαις, καὶ ἀτυχίαις· κουφίζονται γὰρ οἱ λυπούμενοι, συναλγούντων τῶν φίλων. Διὸ κἂν ἀπορήσειεν ἄν τις, πότερον ὥσπερ [i] βάρους μεταλαμβάνουσιν; ἢ τοῦτο μὲν οὔ· ἡ παρουσία δ' αὐτῶν ἡδεῖα οὖσα, καὶ ἡ ἔννοια τοῦ συναλγεῖν, ἐλάττω τὴν λύπην ποιεῖ; Εἰ μὲν οὖν διὰ ταῦτα, ἢ δι' ἄλλό τι κουφίζονται, ἀφείσθω. Συμβαίνειν δ' οὖν φαίνεται τὸ λεχθέν. Ἔοικε δ' ἡ παρουσία μικτή τις αὐτῶν εἶναι· αὐτὸ μὲν γὰρ τὸ ὁρᾷν τοὺς φίλους ἡδὺ, ἄλλως τε καὶ ἀτυχοῦντι, καὶ γίνεταί τις ἐπικουρία πρὸς τὸ μὴ λυπεῖσθαι· παραμυθητικὸν γὰρ ὁ φίλος καὶ τῇ ὄψει, καὶ τῷ λόγῳ, ἐὰν ᾖ ἐπιδέξιος· οἶδε γὰρ τὸ ἦθος, καὶ ἐφ' οἷς ἥδεται καὶ λυπεῖται. Τὸ δὲ λυπούμενον αἰσθάνεσθαι ἐπὶ ταῖς αὐτοῦ ἀτυχίαις, λυπηρόν· πᾶς γὰρ φεύγει

[i] Δοκεῖ γὰρ ὥσπερ βάρος μεριζόμενον καὶ πρὸς τοὺς φίλους κουφίζεσθαι. Τὸ δὲ οὐκ ἔστιν ἀλλ' ἡ ἐπὶ τῇ παρουσίᾳ τῶν φίλων ἡδονὴ, καὶ τὸ τοὺς συναλγοῦντας ὁρᾷν ἡδὺ ὂν, ἐλάττω ποιεῖ τὴν λύπην· ἡδονὴ γὰρ λύπην ἐλαύνει. *Videtur enim dolor, instar oneris cujusdam, quod dividitur et cum amicis mitigatur. Quod ita non est tamen: sed ea quæ ex amicorum præsentia concipitur voluptas, et quod adversam nobiscum sortem moleste ferre amicos visu jucundum sit, nostrum minuit dolorem: voluptas quippe abigit dolorem.* Andr.

cum his ætatem agere optabilius est. Est enim ipsa etiam amicorum præsentia tum in secunda, tum in adversa fortuna, suavis et jucunda: levantur enim dolore ii, qui dolent, amicis æquam doloris partem ferentibus. Itaque dubitare possit aliquis, utrum veluti oneris partem subeant amici? an minime illud quidem fiat, sed eorum præsentia, quæ jucunda sit, communicatique doloris cogitatio, dolorem efficiat leviorem? Utrum igitur propter has causas, an propter aliam aliquam, dolore leventur, quærere omittamus. Sed tamen id, quod diximus, usu venire non est obscurum. Videtur autem eorum præsentia mixta quædam minimeque simplex esse: amicorum enim conspectus, præsertim calamitoso, jucundus est, magnoque ad sedandum ac tollendum dolorem adjumento: inest enim in amico vis quædam consolandi, tum aspectu, tum sermone, si sit commodus et urbanus: ejus enim, cui amicus est, mores perspectos habet et cognitos, quibusque rebus ille delectetur, et offendatur, tenet. Contra amicum suum sentire molestia ex suis casibus adversis affici, grave ac molestum est: metuit enim quisque, ne doloris

λύπης αἴτιος εἶναι τοῖς φίλοις. Διόπερ οἱ μὲν ἀνδρώδεις τὴν φύσιν, εὐλαβοῦνται [k]συλλυπεῖσθαι τοὺς φίλους αὐτοῖς· [l]κἂν μὴ ὑπερτείνῃ τῇ ἀλυπίᾳ, τὴν ἐκείνοις γενομένην λύπην οὐχ ὑπομένει. Ὅλως τε συνθρήνους οὐ προσίεται, διὰ τὸ μηδ' αὐτὸς εἶναι θρηνητικός. Γύναια δὲ, καὶ οἱ τοιοῦτοι ἄνδρες, τοῖς συστενάζουσι χαίρουσι, καὶ φιλοῦσιν ὡς φίλους καὶ συναλγοῦντας. Μιμεῖσθαι δ' ἐν ἅπασι δεῖ, δηλονότι τὸν βελτίω. Ἡ δ' ἐν ταῖς εὐτυχίαις τῶν φίλων παρουσία τήν τε διαγωγὴν ἡδεῖαν ἔχει, καὶ τὴν ἔννοιαν, ὅτι ἥδονται ἐπὶ τοῖς αὐτοῦ ἀγαθοῖς. Διὸ δόξειεν ἂν δεῖν, εἰς μὲν τὰς εὐτυχίας καλεῖν

[k] Συλλυπεῖν C C C. [l] Hunc locum subobscurum hoc modo παραφράζει Andronicus: *Κἂν μὴ μεγάλη μὲν ἡ παραμυθία ᾖ καὶ ἐπὶ μεγίσταις συμφοραῖς, μικρὰ δὲ ἡ λύπη, ἣν συναλγοῦσιν αὐτοῖς, οὐκ ἀνέχονται κοινωνεῖν τοῖς φίλοις τῶν κακῶν. Et nisi maximum adferre queant solatium, aut in maximis succurrere doloribus, sed contra exigua sit in qua nobis dolorem suum commodare possunt molestia, nolunt cum iis communicare mala.* Haud multo aliter Aquinas: Nullo modo sustinent ut amici eorum propter eos contristentur, nisi superexcedat auxilium, quod ab amicis sibi præbetur, ad non contristandum tristitiam amicorum: sustinent enim, quia per modicam amicorum tristitiam sua tristitia sublevetur. Eustratius ἀλυπίαν *ingentem ægritudinem* ac dolorem valere judicat, cujus hæc sunt verba: *εὐλαβοῦνται τοὺς φίλους συλλυπεῖσθαι αὐτοῖς, καὶ διὰ ταύτην τὴν εὐλάβειαν χαίρειν προσποιοῦνται, καὶ γελῶσι καὶ ὡς μηδέν τι λυπηρὸν πάσχοντες, διάγουσι. Καὶ ὅλως φησὶν ἂν μὴ ὑπερτείνωσι τὴν ἀλυπίαν, λέγει δὲ ἀλυπίαν τὴν σφοδροτάτην καὶ ἐπιτεταμένην λύπην, οὐχ ὑπομένουσι· τουτέστιν ὅτι τὸ αἴτιος γενέσθαι τοῖς φίλοις λύπης ὁ ἀτυχῶν οὐχ ὑπομένει, οὐδ' αἱρεῖται, οὐδὲ βούλεται. Διότι γοῦν, ὡς εἴρηται, τὸ μὴ θέλειν ὁ ἀτυχῶν λυπεῖν τὸν φίλον εὐλαβεῖται, συλλυπούμενον ὁρᾶν αὐτόν.* Ex his sensum longe diversum eruit Victorius, hunc sc. Nisi forte hujuscemodi aliquis sit, qui vincat superetque indolentia illa sua, qua præditus est, dolorem ac molestiam, quæ existeret in ipsis, si aspexerint amicos rebus asperis adversisque conflictari, ut quemadmodum ipse resistit dolori proprio, ita etiam parvi ducat se dolorem inurere amico, putans eum ferre debere, cum minor ille sit.

causam præbeat amicis. Itaque viri fortes animoque virili natura, cavent ne secum una doleant amici: ac nisi quis doloris vacuitate ultra modum prodeat, dolorem, quo illi afficiuntur, non fert æquo animo. Denique lamentorum socios non admittit, quia ne ipse quidem ad lamentandum propensus est. Mulierculæ autem, virique muliebri animo præditi, hominibus secum una gementibus delectantur, eosque ut amicos, et sui doloris participes ac socios, diligunt. Sed omnibus in rebus nimirum melior est imitandus. Amicorum autem præsentia in rebus secundis cum habet vitæ traducendæ consuetudinem suavem et jucundam, tum incredibilem affert amico voluptatem, cogitanti eos suis bonis lætari. Itaque videri possint amici ad res secundas cupide studioseque

τοὺς φίλους προθύμως· [m]εὐεργετητικὸν γὰρ εἶναι, καλόν. εἰς δὲ τὰς ἀτυχίας, ὀκνοῦντα· μεταδιδόναι γὰρ ὡς ἥκιστα δεῖ τῶν κακῶν. Ὅθεν τὸ,

[n]Ἅλις ἐγὼ δυστυχῶν.

Μάλιστα δὲ παρακλητέον, ὅταν μέλλωσιν, ὀλίγα ὀχληθέντες, μεγάλα αὐτὸν ὠφελήσειν. Ἰέναι δὲ ἀνάπαλιν ἴσως ἁρμόζει, πρὸς μὲν τοὺς ἀτυχοῦντας, ἄκλητον ϗ προθύμως. Φίλου γὰρ εὖ ποιεῖν, ϗ μάλιστα τοὺς ἐν χρείᾳ, ϗ τοὺς μὴ ἀξιώσαντας· ἀμφοῖν γὰρ κάλλιον καὶ ἥδιον. Εἰς δὲ τὰς εὐτυχίας, συνεργοῦντα μὲν, προθύμως· καὶ γὰρ εἰς ταῦτα [o]χρεία φίλῳ. Πρὸς εὐπάθειαν δὲ, σχολαίως· οὐ γὰρ καλὸν τὸ προθυμεῖσθαι ὠφελεῖσθαι. [p]Δόξαν δ' ἀηδίας ἐν τῷ διωθεῖσθαι

[m] Εὐεργετικὸν Bas. habet (a substantivo εὐεργέτης) quo alibi etiam utitur. *Sylb.*

[n] Λέξεις τί καινόν; κ' εἰ μὲν εὖ, χάριν φέρεις·
Εἰ δ' εἰς βλάβην τιν', ἅλις ἔχω τοῦ δυστυχεῖν. Eurip. in Oreste.

[o] Χρεία φίλων Bas. [p] Προθυμουμένους δὲ ϗ ἐπειγομένους τοὺς φίλους ὠφελεῖν, ἴσως οὐ δεῖ διωθεῖσθαι καὶ ἀποσείεσθαι τὴν εὐεργεσίαν, μὴ καὶ δόξωσι πρὸς τοὺς φίλους ἀηδῶς ἔχειν. Andr. Ex Eustratii interpretatione patet eum paulo aliter hanc periochen legisse: cujus verba, cum consilium admodum utile præbeant, subjiciemus. Δεῖ δὲ καὶ δόξαν ἀηδίας ἀπωθεῖσθαι καὶ ἀποτίμπεσθαι ἀφ' ἡμῶν· εἰ γὰρ καὶ μὴ ἀηδές ἐστι τῷ φίλῳ τὸ συνεχέστερον ἡμᾶς ἐκείνῳ συνεῖναι ϗ συναπολαύειν τῶν αὐτοῦ ἀγαθῶν, ὅμως ἡμᾶς εὐλαβεῖσθαι χρὴ, καὶ ὑποστέλλεσθαι μή πως δόξωμεν ἀηδεῖς· ἐνίοτε γὰρ τῇ συνεχεῖ παρουσίᾳ συμβαίνει κόρος, καὶ ἀηδία. Τὸ δὲ ἐνίοτε εἶπε, διὰ τοὺς σπουδαίους ϗ λόγου ϗ θεωρίας κοινωνοῦντας· ἐν τούτοις γὰρ οὐδαμῶς οὐδέποτε κόρος προσγίνεται, ἀλλὰ χαίρουσιν ἀεὶ συνεῖναι καὶ συνεχῶς συναπολαβεῖν τῶν ἑκάστου καλῶν.

vocandi (de aliis enim libenter bene mereri præclarum est) ad dubias autem et adversas dubitanter ac timide: quam parcissime enim mala sunt amicis impertienda. Ex quo illud,

Satis est miserum esse me.

Sed tum maxime vocandi sunt, cum parva molestia devorata valde sunt ei profuturi. Contra autem ad eos, quos adversa et iniqua fortuna premit, cupide et ultro eundum est, nec exspectandum dum voceris. Nam cum amicis benigne facere amici est, tum vero maxime in necessariis ac difficilibus eorum temporibus, et iis, qui non postularunt: utrisque enim et honestius et jucundius est. Ad res secundas autem, ut quidem in rebus agendis adjutor sis, alacriter et cursim eundum est: ad has enim amici sunt utiles ac necessarii. Ut vero beneficium accipias, gradatim ac pedetentim: non enim honestum est, percipiendæ ab altero utilitatis cupidum esse. Veruntamen in eo rejiciendo, quod ab amico defertur, acerbita-

ἴσως εὐλαβητέον· ἐνίοτε γὰρ συμβαίνει. Ἡ παρουσία δὴ τῶν φίλων ἐν ἅπασιν αἱρετὴ φαίνεται.

ΚΕΦ. ιβ'.

ΑΡ' οὖν ὥσπερ τοῖς ἐρῶσι τὸ ὁρᾷν ἀγαπητότατόν ἐστι, καὶ μᾶλλον αἱροῦνται ταύτην τὴν αἴσθησιν, ἢ τὰς [q] ἄλλας, ὡς κατὰ ταύτην μάλιστα τοῦ ἔρωτος ὄντος καὶ γινομένου· οὕτω καὶ τοῖς φίλοις αἱρετώτατόν ἐστι τὸ συζῆν; κοινωνία γὰρ ἡ φιλία. Καὶ ὡς πρὸς ἑαυτὸν ἔχει, οὕτω καὶ πρὸς τὸν φίλον· περὶ αὐτὸν δὲ ἡ αἴσθησις, ὅτι ἐστὶν, αἱρετή· καὶ περὶ τὸν φίλον δή. Ἡ δὲ ἐνέργεια γίνεται αὐτοῖς ἐν τῷ συζῆν· ὥστ' εἰκότως τούτου ἐφίενται. Καὶ ὅ ποτέ ἐστιν ἑκάστοις τὸ εἶναι, ἢ οὗ χάριν αἱροῦνται τὸ ζῆν, ἐν τούτῳ μετὰ τῶν φίλων βούλονται διάγειν. Διόπερ οἱ μὲν συμπίνουσιν, οἱ δὲ συγκυβεύουσιν, ἄλλοι δὲ καὶ συγγυμνάζονται καὶ συγκυνηγοῦσιν, ἢ συμφιλοσοφοῦσιν· ἕκαστοι [r] δ' ἐν τούτῳ συνημερεύοντες, ὅ, τι περ μάλιστα ἀγαπῶσι τῶν ἐν τῷ βίῳ· συζῆν γὰρ βουλόμενοι μετὰ τῶν

[q] Λοίπας pro ἄλλας El. [r] Δὲ abest ab El. C C C. et Bas.

tis fortasse vitanda opinio est: nam interdum usu venit. Præsentiam igitur amicorum in omnibus rebus esse optabilem, perspicuum est.

CAP. XII.

UTRUM igitur quemadmodum amantibus rei adamatæ aspectu frui amabilissimum est, atque hunc sensum cæteris anteponunt, quasi ex eo potissimum amor et constet et oriatur: sic et amicis vitæ societas optabilissima est? societas enim et communitas quædam amicitia est. Et ut quisque in seipsum animatus est, sic et in amicum: seipsum autem sentire esse optabile est: ergo et amicum. Ejus autem sensus functio societate vitæ continetur: hanc igitur non immerito expetunt. Et quacunque in re suum cuique esse (ut ita dicam) positum est, cujusve rei gratia quisque vivere exoptat, in ea re vult cum amicis vitam traducere. Itaque alii compotant; alii tesseris colludunt; alii una exercentur et venantur, aut una philosophantur denique; in hoc quisque studio totos dies consumentes, quod maxime omnium vitæ studiorum adamarunt: cum enim

φίλων, ταῦτα ποιοῦσι, καὶ τούτων κοινωνοῦσιν, οἷς οἴονται συζῆν. Γίνεται οὖν ἡ μὲν τῶν φαύλων φιλία, μοχθηρά· κοινωνοῦσι γὰρ φαύλων, ἀβέβαιοι ὄντες· καὶ μοχθηροὶ δὲ γίνονται, ὁμοιούμενοι ἀλλήλοις· ἡ δὲ τῶν ἐπιεικῶν ἐπιεικὴς, συναυξανομένη ταῖς ὁμιλίαις. Δοκοῦσι δὲ καὶ βελτίους γίνεσθαι ἐνεργοῦντες, καὶ διορθοῦντες ἀλλήλους· ἀπομάττονται γὰρ παρ' ἀλλήλων, οἷς ἀρέσκονται· ὅθεν τὸ,

[a] Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλά.

Περὶ μὲν οὖν φιλίας ἐπὶ τοσοῦτον εἰρήσθω. Ἑπόμενον δ' ἂν εἴη διελθεῖν περὶ ἡδονῆς.

[a] Theogn. ver. 35.

una cum amicis vivere velint, hæc faciunt, hæcque inter se communicant, quibus se arbitrantur communi vitæ societate inter se copulari. Malorum igitur vitiosa amicitia est: rerum enim malarum habent inter se commercium, cum sint instabiles; et vero depravantur, dum similes inter se fiunt: bonorum autem, bona, quotidianisque sermonibus et congressu amplificatur. Videntur autem indies fieri meliores ex eo, quod suo quisque munere fungatur, alterque alterum corrigat: ea enim fingit exprimitque alter ab altero, quæ probat: ex quo illud.

Virtutem disces ex fortibus.

Ac de amicitia quidem hactenus dictum sit. Deinceps autem de voluptate fuerit disserendum.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Κʹ.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. X.

ΚΕΦ. αʹ.

ΜΕΤΑ δὲ ταῦτα περὶ ἡδονῆς ἴσως ἕπεται διελθεῖν· μάλιστα γὰρ δοκεῖ συνῳκειῶσθαι τῷ γένει ἡμῶν. Διὸ παιδεύουσι τοὺς νέους, οἰακίζοντες ἡδονῇ καὶ λύπῃ. Δοκεῖ δὲ καὶ πρὸς τὴν τοῦ ἤθους ἀρετὴν μέγιστον εἶναι, τὸ χαίρειν οἷς δεῖ, καὶ μισεῖν ἃ δεῖ· διατείνει γὰρ ταῦτα διὰ παντὸς τοῦ βίου, ῥοπὴν ἔχοντα καὶ δύναμιν πρὸς ἀρετήν τε ϗ τὸν εὐδαίμονα βίον· τὰ μὲν γὰρ ἡδέα προαιροῦνται· τὰ δὲ λυπηρὰ φεύ-

CAP. I.

SEQUITUR fortasse ut de voluptate dicamus: nostro enim generi videtur esse conjunctissima. Itaque qui pueros instituunt, eos voluptate ac dolore moderantur et gubernant. Jam vero etiam ad virtutem morum plurimum valere videtur iis rebus delectari, quibus oportet, easque odisse, quæ odio dignæ sunt: hæc enim per omnem vitam pertinent et permanant, cum magni sint ponderis, magnamque vim habeant et ad virtutem, et ad vitam beatam: jucunda

γουσιν. Ὑπὲρ δὲ τῶν τοιούτων, ἥκιστα ἂν δόξειε παρετέον εἶναι· ἄλλως τε καὶ πολλὴν ἐχόντων [a] ἀμφισβήτησιν. Οἱ μὲν γὰρ τἀγαθὸν ἡδονὴν λέγουσιν· οἱ δ' ἐξ ἐναντίας, κομιδῇ φαῦλον· οἱ μὲν ἴσως πεπεισμένοι οὕτω καὶ ἔχειν· οἱ δὲ οἰόμενοι βέλτιον εἶναι πρὸς τὸν βίον ἡμῶν, ἀποφαίνειν τὴν ἡδονὴν τῶν φαύλων, καὶ εἰ μή ἐστι· ῥέπειν γὰρ τοὺς πολλοὺς πρὸς αὐτὴν, καὶ δουλεύειν ταῖς ἡδοναῖς· διὸ δεῖν εἰς τοὐναντίον ἀνάγειν· ἐλθεῖν γὰρ ἂν οὕτως ἐπὶ τὸ μέσον. Μή ποτε δὲ οὐ καλῶς τοῦτο λέγεται· οἱ γὰρ περὶ τῶν ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσι λόγοι, ἧττόν εἰσι πιστοὶ τῶν ἔργων. [b] Ὅταν οὖν διαφωνῶσι τοῖς κατὰ τὴν αἴσθησιν, καταφρονούμενοι καὶ τἀληθὲς προσαναιροῦσιν· ὁ γὰρ ψέγων τὴν ἡδονὴν, ὀφθείς ποτε ἐφιέμενος, ἀποκλίνειν δοκεῖ πρὸς αὐτὴν, [c] ὡς τοιαύτην οὖσαν

[a] Τῶν περὶ τὸν Εὔδοξον, quæ Ven. 1. 2. et Bas. post ἀμφισβήτησιν addunt, interpretamentum sunt. [b] Ὅταν τοίνυν οἷς μὲν λέγουσι τὴν ἡδονὴν ψέγωσι, δι' ὧν δὲ ποιοῦσι καὶ πάσχουσιν ἐπαινῶσιν, ἑαυτοῖς ἀντιλέγοντες, ὑπὸ τῶν ἀκουόντων καὶ ὁρώντων καταγελῶνται· καὶ τοῖς λόγοις οὐδὲν μᾶλλον ὤνησαν τοὺς πολλοὺς, ὑπὸ τῶν πραγμάτων ἐλεγχομένοις. *Quum ergo verbis quidem voluptatem vituperent, actionibus autem suis eandem et affectibus commendent, atque eo sibi contradicant modo, ab iis qui audiunt ea aut vident, ridentur: neque quicquam iis verbis apud populum proficiunt, quæ re ipsa arguuntur.* Andr. [c] Ὡς οὐ τοιαύτην οὖσαν Bas. male.

enim potissimum sequuntur omnes, aspernanturque et fugiunt ea, quæ molestiam afferunt. De talibus autem, minime videtur esse tacendum: præsertim cum de iis magna sit controversia. Alii enim voluptatem, summum bonum dicunt esse; alii contra, magnum malum: quorum alii fortasse sibi persuaserunt etiam ita rem se habere; alii utilius hominum vitæ esse putant damnare voluptatem, eamque, etiamsi malum non sit, in numero malorum locare: multitudinem enim ad eam propensam esse, voluptatibusque servire: in contrariam partem igitur eam reflectere ac retrahere oportere: sic enim homines ad id, quod medium est, perventuros. Sed verendum est, ne non satis recte voluptas dicatur esse malum: omnes enim, qui de perturbationibus animi et actionibus habentur sermones, minorem, quam facta, fidem faciunt. Itaque cum ab iis, quæ sensibus judicantur, discrepant, primum contemnuntur, deinde si quid in eis veri inest, funditus evertunt: nam qui voluptatem vituperat, si quando eam concupiscere visus est, sic ad eam videtur propendere, qua-

ἅπασαν· [d] τὸ διορίζειν γὰρ οὐκ ἔστι τῶν πολλῶν. Ἐοίκασιν οὖν οἱ ἀληθεῖς τῶν λόγων, οὐ μόνον πρὸς τὸ εἰδέναι χρησιμώτατοι εἶναι, ἀλλὰ καὶ πρὸς τὸν βίον· συνῳδοὶ γὰρ ὄντες τοῖς ἔργοις, πιστεύονται. Διὸ προτρέπονται τοὺς ξυνιέντας ζῆν κατ' αὐτούς. Τῶν μὲν οὖν τοιούτων ἅλις· τὰ δὲ εἰρημένα περὶ τῆς ἡδονῆς ἐπέλθωμεν.

ΚΕΦ. β΄.

ΕΥΔΟΞΟΣ μὲν οὖν τὴν ἡδονὴν τἀγαθὸν ᾤετο εἶναι, διὰ τὸ πάνθ' ὁρᾷν ἐφιέμενα αὐτῆς, καὶ ἔλλογα, καὶ ἄλογα. Ἐν πᾶσι δ' εἶναι τὸ αἱρετὸν, ἐπιεικὲς καὶ τὸ μάλιστα, κράτιστον· τὸ δὲ πάντ' ἐπὶ τὸ αὐτὸ φέρεσθαι, ὡς πᾶσιν [e] ἄριστον μηνύειν· ἕκαστον γὰρ τὸ αὑτῷ ἀγαθὸν εὑρίσκειν, ὥσπερ καὶ τροφήν· τὸ δὴ πᾶσιν ἀγαθὸν, καὶ οὗ πάντ' ἐφίεται, τἀγαθὸν εἶναι. Ἐπιστεύοντο δ' οἱ λόγοι, διὰ τὴν τοῦ ἤθους ἀρετὴν

[d] Hanc voluptatem esse bonam, illam vero malam, vulgus distinguere et diudicare nequeunt: ideo quando virum aliquem celebrem voluptate aliqua delectari vident, omnem quoque voluptatem bonam atque eligendam esse judicant.
[e] Τοῦτο ἄριστον ἐν El.

si omnis voluptas sit expetenda: distinguere enim non est multitudinis. Videntur igitur veri sermones non solum ad cognitionem, verum etiam ad vitam bene degendam esse perutiles: nam ubi cum factis congruunt, fidem faciunt. Itaque eos, qui audiunt, ad vitam consentaneam acuunt atque excitant. Sed de his satis: nunc quæ de voluptate ab aliis dicta sunt, persequamur.

CAP. II.

VOLUPTATEM igitur esse summum bonum putabat Eudoxus, propterea quia omnia animalia et ratione prædita, et rationis expertia, eam desiderare et appetere videret. At omnibus in rebus id, quod sit expetendum, esse bonum: et ut quidque maxime expetendum, ita longe optimum: quod autem omnia ad idem ferantur, hoc esse indicio, eam quiddam esse optimum; unumquidque enim id quod sibi sit bonum, ut et cibum, reperire: quod igitur omnibus est bonum, et quod omnia desiderant, id esse summum bonum. Atque hæc sane oratio fidem faciebat propter virtutem, moresque hominis magis, quam ipsa pro-

μᾶλλον, ἢ δι' αὐτούς· διαφερόντως γὰρ ἐδόκει σώφρων εἶναι. Οὐ δὴ ὡς φίλος τῆς ἡδονῆς ἐδόκει ταῦτα λέγειν, ἀλλ' οὕτως ἔχειν κατ' ἀλήθειαν. Οὐχ ἧττον δ' ᾤετο εἶναι φανερὸν ἐκ τοῦ ἐναντίου· τὴν γὰρ λύπην καθ' αὑτὸ πᾶσι φευκτὸν εἶναι· ὁμοίως δὲ τὸ ἐναντίον, αἱρετόν. Μάλιστα δὲ εἶναι αἱρετὸν, [f]ὃ μὴ δι' ἕτερον, μηδ' ἑτέρου χάριν αἱρούμεθα. Τοιοῦτον δ', ὁμολογουμένως εἶναι τὴν ἡδονήν· οὐδένα γὰρ ἐπερωτᾷν, τίνος ἕνεκα ἥδεται, ὡς καθ' αὑτὴν οὖσαν αἱρετὴν τὴν ἡδονὴν, προστιθεμένην τε ὁτῳοῦν τῶν ἀγαθῶν, αἱρετώτερον ποιεῖν· οἷον [g]τῷ δικαιοπραγεῖν καὶ σωφρονεῖν. [h]Καὶ αὔξεσθαι δὴ τὸ ἀγαθὸν [i]αὐτὸ ἑαυτῷ. Ἔοικε δὴ οὗτός γε ὁ λόγος τῶν ἀγαθῶν αὐτὴν ἀποφαίνειν, καὶ οὐδὲν μᾶλλον ἑτέρου· [k]πᾶν γὰρ μεθ' ἑτέρου ἀγαθοῦ, αἱρετώτερον, ἢ μονούμενον. Τοιούτῳ δὴ

[f] Ὃ μὴ δι' ἑτέρου χάριν αἱρ. omissis intermediis Bas. [g] Τὸ δικ. Bas. Ven. 1. 2. et Lamb. [h] Καὶ non agnoscunt N C. et El. [i] Αὐτὸ omittit N C. et El. qui etiam pro ἑαυτῷ legit αὐτῷ. De hoc loco sequentia habet Eustratius: ἦν ἂν σαφέστερον, εἰ ἦν γεγραμμένον ἀντὶ τοῦ αὐτῷ, θηλυκῶς αὐτῇ· οὑτωσὶ, Αὔξεσθαι δὴ τὸ ἀγαθὸν αὐτῇ· ἤτοι τῇ ἡδονῇ. Ἔστι δὲ ὃ λέγει, Καὶ αὔξεται δὴ αὐτὸ τὸ ἀγαθόν· τουτέστι πᾶν ἀγαθὸν αὐτῇ τῇ ἡδονῇ· πᾶν γὰρ ἀγαθὸν, ὡς εἴρηται, μεθ' ἡδονῆς γινόμενον ἢ πραττόμενον, αὔξεταί τε καὶ εἰς μέγεθος αἴρεται. Αὔξεται οὖν αὐτῷ τὸ ἀγαθόν· ἤτοι πᾶν ἀγαθὸν αὐτῇ τῇ ἡδονῇ· τὸ γὰρ αὐτὸ, ἀντὶ τοῦ πᾶν εἴληπται. Andronicus nobiscum legisse videtur. [k] Πᾶν γὰρ μεθ' ἑτέρου ἀγαθοῦ, αἱρ. ἢ μονούμενον, οὐκ ἂν εἴη τοιοῦτον· τουτέστι, οὐκ ἂν εἴη τἀγαθόν· ἀντὶ γὰρ τοῦ εἰπεῖν, οὐκ ἂν εἴη τἀγαθὸν, εἶπεν, οὐκ ἂν εἴη τοιοῦτον. *Eustrat.*

pter se: egregie enim præter cæteros temperans existimabatur. Quare non ut voluptati amicus hæc loqui putabatur: sed reapse ita esse videbantur. Neque vero ex ejus contrario minus id perspicuum esse existimabat: dolorem enim per se omnibus esse fugiendum: itemque ejus contrarium obtabile atque expetendum. Id porro maxime esse expetendum quod non propter aliud, neque alius rei gratia expetimus. Tale autem quiddam esse sine controversia voluptatem: neminem enim ex altero quærere, cujus rei gratia voluptate afficiatur: quasi per se sit optabilis et expetenda voluptas, et cuicunque rei bonæ accedat, eam efficiat magis expetendam: quale est juste agere, et temperanter vivere. Bonum autem ipsum seipso amplificari atque augeri. Videtur ergo hæc ratio ostendere, eam in bonis esse mu merandam, nihiloque magis bonum, quam alterum ei adjunctum: omne enim bonum cum altero bono conjunctum, optabilius est, quam ipsum

λόγῳ καὶ Πλάτων ἀναιρεῖ, ὅτι οὐκ ἔστιν ἡδονὴ τἀγαθόν· αἱρετώτερον γὰρ εἶναι μετὰ φρονήσεως τὸν ἡδὺν βίον, ἢ χωρίς. Εἰ δὲ τὸ μικτὸν κρεῖττον, οὐκ εἶναι τὴν ἡδονὴν τἀγαθόν· οὐδενὸς γὰρ προστεθέντος αὐτῷ, τἀγαθὸν αἱρετώτερον γίνεσθαι. Δῆλον δ' ὡς οὐδ' ἄλλο οὐδὲν τἀγαθὸν ἂν εἴη, ὃ μετά τινος τῶν καθ' αὑτὸ ἀγαθῶν αἱρετώτερον γίνεται. Τί οὖν ἐστι τοιοῦτον, οὗ καὶ ἡμεῖς κοινωνοῦμεν; τοιοῦτον γὰρ ἐπιζητεῖται. Οἱ δ' ἐνιστάμενοι ὡς οὐκ ἀγαθὸν, οὗ πάντ' ἐφίεται, μὴ οὐθὲν λέγωσιν· ὃ γὰρ πᾶσι δοκεῖ, τοῦτο εἶναί φαμεν. Ὁ δ' ἀναιρῶν ταύτην τὴν πίστιν, οὐ πάνυ πιστότερα ἐρεῖ· εἰ μὲν γὰρ τὰ [l] ἀνόητα ὠρέγετο αὐτῶν, ἦν ἄν τι τὸ λεγόμενον· εἰ δὲ καὶ τὰ φρόνιμα, πῶς λέγοιεν ἄν τι; Ἴσως δὲ καὶ ἐν τοῖς φαύλοις ἐστί τι φυσικὸν ἀγαθὸν κρεῖττον ἢ [m] καθ' αὑτὰ, ὃ ἐφίε-

[l] Μόνα post ἀνόητα addunt quidam codd. apud Lamb. μόνον ὠρέγοντο αὐτοῦ Andr. αὐτῆς Mur. [m] Γρ. καθ' αὑτό. *Καὶ γὰρ καὶ ἐν τοῖς ἀνοήτοις ἐστί τι φυσικὸν ἀγαθὸν, τὴν φαυλότητα αὐτῶν ὑπερβαῖνον, δι' ὃ τῷ ἀγαθῷ οἰκειούμενα ὡς οἰκείου ἤδη ὀρέγονται. Et in brutis quoque naturale aliquod bonum est, quod eorum imbecillitatem transcendit, quo cum bono ipso conciliantur, et tanquam proprium sibi solent appetere.* Andr.

per se et ab alio bono desertum. Ac tali ratione sententiam eorum, qui voluptatem, summum bonum esse dicunt, Plato labefactat: optabiliorem enim esse vitam jucundam cum prudentia conjunctam, quam sine prudentia. Quod si jucundum alteri bono admistum melius est, voluptatem non esse summum bonum: nullius enim rei adjunctione summum bonum optabilius fieri posse. Sed perspicuum est neque aliud quidquam, quod cum alio per se bono conjunctum optabilius fit, summum bonum futurum. Quidnam igitur est summum bonum, cujus quidem nobis sit communio? tale enim quæritur. Jam vero qui pertinaciter negant id esse bonum, quod omnia desiderant atque appetunt, vereor ne nihil dicant: nam quod omnibus videtur, hoc esse dicimus. Nec qui hanc persuasionem labefactarit, multo probabiliora certiorave dicturus est: nam si sola mentis expertia voluptates appeterent, esset id aliquid, quod ab eis dicitur: sed si etiam ea, quæ sapiunt et prudenter sentiunt, quid causæ est cur audiendi sint? Fortasse vero etiam in vitiosis naturale quoddam bonum inest, melius, quam ipsorum sit captus, quod bonum sibi accommodatum appetit. Jam

ται τοῦ οἰκείου ἀγαθοῦ. Οὐκ ἔοικε δὲ οὐδὲ περὶ τοῦ ἐναντίου καλῶς λέγεσθαι· οὐ γάρ φασιν, εἰ ἡ λύπη κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι· ἀντικεῖσθαι γὰρ κακὸν κακῷ, καὶ ἄμφω τῷ [n] μηδετέρῳ· λέγοντες ταῦτα οὐ κακῶς, οὐ μὴν ἐπί γε τῶν εἰρημένων ἀληθεύοντες· ἀμφοῖν μὲν γὰρ [o] ὄντων κακῶν, καὶ φευκτὰ ἔδει εἶναι ἄμφω· τῶν μηδετέρων δὲ, [p] μηδέτερον, ἢ ὁμοίως. Νῦν δὲ φαίνονται, τὴν μὲν φεύγοντες ὡς κακόν· τὴν δ' αἱρούμενοι ὡς ἀγαθόν. Οὕτω δὴ καὶ ἀντίκειται.

ΚΕΦ. γ'.

Οὐ μὴν οὐδ' εἰ μὴ τῶν ποιοτήτων ἐστὶν ἡ ἡδονὴ, διὰ ταῦτ' οὐδὲ τῶν ἀγαθῶν· οὐδὲ γὰρ αἱ τῆς ἀρετῆς ἐνέργειαι, ποιότητές εἰσιν· οὐδ' ἡ εὐδαιμονία. Λέγουσι [q] δὴ, τὸ μὲν ἀγαθὸν ὡρίσθαι, τὴν δ' ἡδονὴν ἀόριστον εἶναι, ὅτι δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. Εἰ μὲν οὖν ἐκ τοῦ ἥδεσθαι ταῦτο κρίνουσι, καὶ περὶ τὴν δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετὰς, καθ'

[n] Hanc veram esse lectionem ex Eustratio recte vidit Casaubonus. γρ. μηδέτερον et μηδέτερα· λέγοντες ταῦτα δ' οὐ κακ. [o] Ὄντων κακοῖν El. [p] Ἢ ἕτερον ὂν ὁμοίως Bas. et Ven. 1. [q] Δὲ Bas. Ven. 1. 2. et Lamb.

vero neque quod de contrario dicunt, recte dici videtur: negant enim effici ex eo quod dolor malum sit, voluptatem esse bonum: nam et malum malo opponi, et utrumque ei, quod neutrum est: atque hæc quidem dicunt non male: veruntamen si ad ea, quæ dicta sunt, exigantur, minus vere: nam si ambo mala essent, necessario ambo essent fugienda; sin neutrum esset malum, vel neutrum esset fugiendum, vel æque utrumque. Nunc videmus dolorem fugi, ut malum: voluptatem expeti, ut bonum. Sic igitur et opponuntur inter se.

CAP. III.

Neque vero si voluptas non est qualitas, idcirco non est in bonis numeranda: nam neque virtutis munera et functiones sunt qualitates, neque beatitudo. Dicunt autem bonum esse terminatum: voluptatem nullis terminis circumscriptam, quia contentior et remissior esse potest. Si igitur ex perceptione voluptatis hoc judicant, in justitia quoque, et cæteris virtutibus, ex quibus perspicue aiunt eos, qui virtutes co-

ὡς ἐναργῶς φασι μᾶλλον καὶ ἧττον [r] τοὺς ποιοὺς ὑπάρχειν, καὶ κατὰ τὰς ἀρετὰς ἔσται τὸ αὐτό· δίκαιοι γάρ εἰσι μᾶλλον καὶ ἀνδρεῖοι· ἔστι δὲ καὶ δικαιοπραγεῖν καὶ σωφρονεῖν μᾶλλον καὶ ἧττον. Εἰ δ' ἐν ταῖς ἡδοναῖς, μή ποτ' οὐ λέγουσι τὸ αἴτιον· [s] ἐὰν ὦσιν αἱ μὲν ἀμιγεῖς, αἱ δὲ μικταί. Τί κωλύει δέ, καθάπερ ἡ ὑγίεια, ὡρισμένη οὖσα, δέχεται τὸ μᾶλλον καὶ ἧττον, οὕτω καὶ τὴν ἡδονήν; οὐ γὰρ ἡ αὐτὴ συμμετρία ἐν πᾶσίν ἐστιν, οὐδ' ἐν τῷ αὐτῷ μία τις ἀεί, ἀλλὰ [t] ἀνιεμένη διαμένει ἕως τινός, καὶ διαφέρει τῷ μᾶλλον καὶ ἧττον. Τοιοῦτο δὴ καὶ τὸ περὶ τὴν ἡδονὴν ἐνδέχεται εἶναι. Τέλειόν τε τἀγαθὸν τιθέντες, τὰς δὲ κινήσεις καὶ τὰς γενέσεις, ἀτελεῖς, τὴν ἡδονὴν κίνησιν καὶ γένεσιν ἀποφαίνειν πειρῶνται. Οὐ καλῶς δ' ἐοίκασι λέγειν, οὐδ' εἶναι κίνησιν· πάσῃ γὰρ οἰκεῖον εἶναι δοκεῖ τάχος καὶ βραδυτής· [u] καὶ εἰ μὴ καθ' αὐτήν, οἷον τὸ τοῦ

[r] Lambinus, verba transponendo, et tollendo istud καί, hunc locum ita emendat: τοὺς κατὰ τὰς ἀρετὰς ποιοὺς ὑπάρχειν ἔσται τὸ αὐτό. Argyropylus καὶ κατὰ τὰς ἀρετὰς omittit. Quidam ἀρετὰς hic pro ἕξεις et ἐπιστήμας poni censent: alii per περὶ τὰς ἀρετάς, quæ præcedunt, *considerationes virtutis*; per τὰς ἀρετάς, *actiones* intelligunt: ut sensus sit: Idem tam de virtutibus ipsis, quam de harum effectibus dici possit. Cui sententiæ favet Aquinas: et nescio an ea, quæ immediate sequuntur, eam confirment. Vide Lamb. [s] Γρ. ὡς εἰσίν. [t] Ἀνιμένη El.
[u] Planiora erunt hæc verba, ut annotat Lamb. si hoc ordine collocentur: καὶ εἰ

lunt, magis et minus cujusdammodi fieri, idem erit: justiores enim aliis alii sunt et fortiores: fieri etiam potest, ut juste agamus, temperanterque vivamus magis et minus. Sin ex voluptatibus ipsis, verendum est, ne causam non afferant: siquidem sunt aliæ puræ ac sinceræ, aliæ mistæ. Sed quid prohibet, quemadmodum valetudo, quæ terminata est, intendi potest et remitti, sic et voluptatem? non enim eadem in omnibus temperatio corporis et convenientia est: neque in eodem semper est una, sed ita remittitur et languescit, ut usque ad aliquem finem permaneat: eoque differt, quod intenditur et remittitur. Tale igitur quiddam in eo quoque, quod ad voluptatem attinet, accidere potest. Et cum summum bonum perfectum quiddam esse statuant, motus autem et ortus imperfectos: voluptatem esse motum et ortum ostendere conantur. Sed neque recte dicere videntur, neque voluptas est motus: omnis enim motionis propria videtur esse celeritas et tarditas: et si non per se, qualis est ea,

κόσμου, πρὸς ἄλλο. Τῇ δ' ἡδονῇ τούτων οὐδέτερον ὑπάρχει· ἡσθῆναι μὲν γάρ ἐστι ταχέως, ὥσπερ ὀργισθῆναι· ἥδεσθαι δ' οὔ, οὐδὲ πρὸς ἕτερον· βαδίζειν δὲ, καὶ αὔξεσθαι, καὶ πάντα τὰ τοιαῦτα. Μεταβάλλειν μὲν οὖν εἰς τὴν ἡδονὴν ταχέως καὶ βραδέως, ἐστίν· ἐνεργεῖν δὲ κατ' αὐτὴν ταχέως, οὐκ ἔστι· λέγω δὲ ἥδεσθαι. Γένεσίς τε πῶς ἂν εἴη; δοκεῖ γὰρ οὐκ ἐκ τοῦ τυχόντος τὸ τυχὸν γίγνεσθαι, ἀλλ' ἐξ οὗ γίγνεται, εἰς τοῦτο διαλύεσθαι. Καὶ οὗ γένεσις ἡ ἡδονὴ, τούτου ἡ λύπη φθορά. Καὶ λέγουσι δὲ [x] τὴν λύπην, ἔνδειαν εἶναι τοῦ κατὰ φύσιν· τὴν δ' ἡδονὴν, ἀναπλήρωσιν. Ταῦτα δὲ σωματικά ἐστι πάθη. Εἰ δή ἐστι τοῦ κατὰ φύσιν ἀναπλήρωσις, [y] ἡδονὴ, ἐν ᾧ ἡ ἀναπλήρωσις, τοῦτ' ἂν καὶ ἥδοιτο· τὸ σῶμα ἄρα. Οὐ δοκεῖ δέ· οὐκ ἔστιν ἄρα ἀναπλήρωσις, ἡ ἡδονή· ἀλλὰ γινομένης μὲν ἀναπληρώσεως, ἥδοιτο ἄν τις, καὶ τεμνόμενος λυποῖτο. Ἡ

μὴ καθ' αὑτὴν, πρὸς ἄλλο, οἷον τὸ τοῦ κόσμου. In quibusdam codd. scribitur τὰ τοῦ κόσμ. et τῇ τοῦ. Sic Andr. καθάπερ ἡ τοῦ οὐρανοῦ κίνησις ὁμαλὴ μέν ἐστι καθ' ἑαυτὴν, πρὸς δὲ τὴν τῶν ἀστέρων θεωρουμένη κίνησιν, ταχεῖα λέγεται. [x] Τὴν μὲν λύπ. Ven. 1. Bas. et Aurel. [y] Γρ. ἡ ἡδονὴ ἐν ᾧ ἀναπ.

qua mundus movetur: at cum alia motione comparatæ. In voluptate autem neutrum horum inest: fieri enim potest, ut quis cito fuerit affectus voluptate, quemadmodum ut cito iracundia exarserit: sed ut voluptate celeriter fruatur, non potest, ne si cum alio quidem conferatur: ut ambulet autem, et augeatur, et quæ sunt hujus generis omnia, potest. Nihil igitur obstat, quo minus celeriter et tarde ad voluptatem traducamur: sed ut celeriter voluptatis munere fungamur, fieri non potest: voluptatis autem munere fungi dico voluptate affici. Jam vero qui possit ortus esse? videtur enim non ex re qualibet quævis oriri: sed ex quo quidque oritur, in hoc dissolvi atque interire. Et, cujus rei ortus est voluptas, ejus rei interitus erit dolor. Deinde aiunt, dolorem ejus rei, quæ est secundum naturam, penuriam esse: voluptatem, expletionem. At hi sunt affectus corporis. Si voluptas igitur, ejus, quod secundum naturam est, expletio est: id, in quo fit expletio, etiam voluptate affici queat: corpus ergo voluptate affici queat. At non videtur ita esse: non est ergo voluptas expletio: verum cum fit expletio, potest aliquis voluptate affici, et cum secatur, dolere. Hæc opinio autem

δόξα δ' αὕτη δοκεῖ γεγενῆσθαι ἐκ τῶν περὶ τὴν τροφὴν λυπῶν καὶ ἡδονῶν· ἐνδεεῖς γὰρ γινομένους καὶ προλυπηθέντας, ἥδεσθαι τῇ ἀναπληρώσει. Τοῦτο δ' οὐ περὶ πάσας συμβαίνει τὰς ἡδονάς· ἄλυποι γάρ εἰσιν αἵ τε μαθηματικαὶ, καὶ τῶν κατὰ τὰς αἰσθήσεις [a]αἱ διὰ τῆς ὀσφρήσεως, καὶ ἀκροάματα δὲ καὶ ὁράματα· πολλαὶ δὲ καὶ μνῆμαι, καὶ ἐλπίδες. Τίνος οὖν αὗται γενέσεις ἔσονται; οὐδενὸς γὰρ ἔνδειαι γεγένηνται, [a]οὗ γένοιτ' ἂν ἀναπλήρωσις. Πρὸς δὲ τοὺς [b]προφέροντας τὰς ἐπονειδίστους τῶν ἡδονῶν, λέγοι τις ἂν ὅτι οὐκ ἔστι ταῦθ' ἡδέα· οὐ γὰρ εἰ τοῖς κακῶς διακειμένοις ἡδέα ταῦτ' ἐστὶν, οἰητέον αὐτὰ καὶ ἡδέα εἶναι ἁπλῶς, πλὴν τούτοις· καθάπερ οὐδὲ τὰ τοῖς κάμνουσιν ὑγιεινὰ, ἢ γλυκέα, ἢ πικρά· οὐδ' αὖ λευκὰ, τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσιν. Ἢ οὕτω δὴ λέγοιτ' ἂν, ὅτι αἱ μὲν ἡδοναὶ αἱρεταί εἰσιν, οὐ μὴν ἀπό γε τούτων· ὥσπερ καὶ τὸ πλουτεῖν, προδόντι δ' οὔ· καὶ τὸ ὑγιαί-

[a] Αἱ pro καὶ reposuimus ex El. et ita etiam ex conjectura emendavit Lambinus. [a] Οὗ γένοιτ' ἂν ἀναπληρώσεις Ven. 1. 2. et Bas. [b] Γρ. προσφέροντας. male.

ex doloribus ac voluptatibus, quæ in alimento versantur, videtur esse nata: homines enim cum egent alimento, et cum antegressus dolor est, expletione delectari. Sed hoc non in omnibus voluptatibus accidit: sunt enim doloris expertes tum mathematicæ, tum earum, quæ in sensibus positæ sunt, eæ, quæ ex odoratu percipiuntur, voluptates: et vero acroamata, et spectacula, multæ etiam res memoria repetitæ, multæ denique speratæ voluptatem afferunt. Cujus igitur rei hæ voluptates ortus erunt? nullius enim rei antegressa est penuria, aut egestas, cujus expletio consequatur. Iis autem, qui turpes et probrosas voluptates objiciunt, responderi possit, hæc non esse jucunda: non enim si hominibus male affectis sunt jucunda, etiam absolute jucunda sunt habenda; sed his tantum: quemadmodum neque ea, quæ sunt ægrotis salubria, aut dulcia, aut amara; neque ea, quæ lippientibus videntur alba, sunt reapse talia. Potest etiam hoc modò responderi, voluptates esse expetendas, sed non ab his rebus profectas: quemadmodum divitem esse optabile est, sed non ex proditione: et valere, sed non quolibet cibo

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ

ΤΟ Κʹ.

ARISTOTELIS

ETHICORUM NICOMACHEORUM

LIB. X.

ΚΕΦ. αʹ.

ΜΕΤΑ δὲ ταῦτα περὶ ἡδονῆς ἴσως ἕπεται διελθεῖν· μάλιστα γὰρ δοκεῖ συνῳκειῶσθαι τῷ γένει ἡμῶν. Διὸ παιδεύουσι τοὺς νέους, οἰακίζοντες ἡδονῇ καὶ λύπῃ. Δοκεῖ δὲ καὶ πρὸς τὴν τοῦ ἤθους ἀρετὴν μέγιστον εἶναι, τὸ χαίρειν οἷς δεῖ, καὶ μισεῖν ἃ δεῖ· διατείνει γὰρ ταῦτα διὰ παντὸς τοῦ βίου, ῥοπὴν ἔχοντα καὶ δύναμιν πρὸς ἀρετήν τε καὶ τὸν εὐδαίμονα βίον· τὰ μὲν γὰρ ἡδέα προαιροῦνται· τὰ δὲ λυπηρὰ φεύ-

CAP. I.

SEQUITUR fortasse ut de voluptate dicamus: nostro enim generi videtur esse conjunctissima. Itaque qui pueros instituunt, eos voluptate ac dolore moderantur et gubernant. Jam vero etiam ad virtutem morum plurimum valere videtur iis rebus delectari, quibus oportet, easque odisse, quæ odio dignæ sunt: hæc enim per omnem vitam pertinent et permanant, cum magni sint ponderis, magnamque vim habeant et ad virtutem, et ad vitam beatam: jucunda

γουσιν. Ὑπὲρ δὲ τῶν τοιούτων, ἥκιστα ἂν δόξειε παρετέον εἶναι· ἄλλως τε καὶ πολλὴν ἐχόντων [a] ἀμφισβήτησιν. Οἱ μὲν γὰρ τἀγαθὸν ἡδονὴν λέγουσιν· οἱ δ' ἐξ ἐναντίας, κομιδῆ φαῦλον· οἱ μὲν ἴσως πεπεισμένοι οὕτω καὶ ἔχειν· οἱ δὲ οἰόμενοι βέλτιον εἶναι πρὸς τὸν βίον ἡμῶν, ἀποφαίνειν τὴν ἡδονὴν τῶν φαύλων, καὶ εἰ μή ἐστι· ῥέπειν γὰρ τοὺς πολλοὺς πρὸς αὐτὴν, καὶ δουλεύειν ταῖς ἡδοναῖς· διὸ δεῖν εἰς τοὐναντίον ἀνάγειν· ἐλθεῖν γὰρ ἂν οὕτως ἐπὶ τὸ μέσον. Μή ποτε δὲ οὐ καλῶς τοῦτο λέγεται· οἱ γὰρ περὶ τῶν ἐν τοῖς πάθεσι καὶ ταῖς πράξεσι λόγοι, ἧττόν εἰσι πιστοὶ τῶν ἔργων. [b] Ὅταν οὖν διαφωνῶσι τοῖς κατὰ τὴν αἴσθησιν, καταφρονούμενοι καὶ τἀληθὲς προσαναιροῦσιν· ὁ γὰρ ψέγων τὴν ἡδονὴν, ὀφθείς ποτε ἐφιέμενος, ἀποκλίνειν δοκεῖ πρὸς αὐτὴν, [c] ὡς τοιαύτην οὖσαν

[a] Τῶν περὶ τὸν Εὔδοξον, quæ Ven. 1. 2. et Bas. post ἀμφισβήτησιν addunt, interpretamentum sunt. [b] Ὅταν τοίνυν οἷς μὲν λέγουσι τὴν ἡδονὴν ψέγωσι, δι' ὧν δὲ ποιοῦσι καὶ πάσχουσιν ἐπαινῶσιν, ἑαυτοῖς ἀντιλέγοντες, ὑπὸ τῶν ἀκουόντων καὶ ὁρώντων καταγελῶνται· καὶ τοῖς λόγοις οὐδὲν μᾶλλον ὤνησαν τοὺς πολλοὺς, ὑπὸ τῶν πραγμάτων ἐλεγχομένοις. *Quum ergo verbis quidem voluptatem vituperent, actionibus autem suis eandem et affectibus commendent, atque eo sibi contradicant modo, ab iis qui audiunt ea aut vident, ridentur: neque quicquam iis verbis apud populum proficiunt, quæ re ipsa arguuntur.* Andr. [c] Ὡς οὐ τοιαύτην οὖσαν Bas. male.

enim potissimum sequuntur omnes, aspernanturque et fugiunt ea, quæ molestiam afferunt. De talibus autem, minime videtur esse tacendum: præsertim cum de iis magna sit controversia. Alii enim voluptatem, summum bonum dicunt esse; alii contra, magnum malum: quorum alii fortasse sibi persuaserunt etiam ita rem se habere; alii utilius hominum vitæ esse putant damnare voluptatem, eamque, etiamsi malum non sit, in numero malorum locare: multitudinem enim ad eam propensam esse, voluptatibusque servire: in contrariam partem igitur eam reflectere ac retrahere oportere: sic enim homines ad id, quod medium est, perventuros. Sed verendum est, ne non satis recte voluptas dicatur esse malum: omnes enim, qui de perturbationibus animi et actionibus habentur sermones, minorem, quam facta, fidem faciunt. Itaque cum ab iis, quæ sensibus judicantur, discrepant, primum contemnuntur, deinde si quid in eis veri inest, funditus evertunt: nam qui voluptatem vituperat, si quando eam concupiscere visus est, sic ad eam videtur propendere, qua-

ἅπασαν· [d] τὸ διορίζειν γὰρ οὐκ ἔστι τῶν πολλῶν. Ἐοίκασιν οὖν οἱ ἀληθεῖς τῶν λόγων, οὐ μόνον πρὸς τὸ εἰδέναι χρησιμώτατοι εἶναι, ἀλλὰ καὶ πρὸς τὸν βίον· συνῳδοὶ γὰρ ὄντες τοῖς ἔργοις, πιστεύονται. Διὸ προτρέπονται τοὺς ξυνιέντας ζῆν κατ' αὐτούς. Τῶν μὲν οὖν τοιούτων ἅλις· τὰ δὲ εἰρημένα περὶ τῆς ἡδονῆς ἐπέλθωμεν.

ΚΕΦ. β'.

ΕΥΔΟΞΟΣ μὲν οὖν τὴν ἡδονὴν τἀγαθὸν ᾤετο εἶναι, διὰ τὸ πάνθ' ὁρᾷν ἐφιέμενα αὐτῆς, καὶ ἔλλογα, καὶ ἄλογα. Ἐν πᾶσι δ' εἶναι τὸ αἱρετὸν, ἐπιεικὲς καὶ τὸ μάλιστα, κράτιστον· τὸ δὲ πάντ' ἐπὶ τὸ αὐτὸ φέρεσθαι, ὡς πᾶσιν [e] ἄριστον μηνύειν· ἕκαστον γὰρ τὸ αὑτῷ ἀγαθὸν εὑρίσκειν, ὥσπερ καὶ τροφήν· τὸ δὴ πᾶσιν ἀγαθὸν, καὶ οὗ πάντ' ἐφίεται, τἀγαθὸν εἶναι. Ἐπιστεύοντο δ' οἱ λόγοι, διὰ τὴν τοῦ ἤθους ἀρετὴν

[d] Hanc voluptatem esse bonam, illam vero malam, vulgus distinguere et diudicare nequeunt: ideo quando virum aliquem celebrem voluptate aliqua delectari vident, omnem quoque voluptatem bonam atque eligendam esse judicant.
[e] Τοῦτο ἄριστον ὂν El.

si omnis voluptas sit expetenda: distinguere enim non est multitudinis. Videntur igitur veri sermones non solum ad cognitionem, verum etiam ad vitam bene degendam esse perutiles: nam ubi cum factis congruunt, fidem faciunt. Itaque eos, qui audiunt, ad vitam consentaneam acuunt atque excitant. Sed de his satis: nunc quæ de voluptate ab aliis dicta sunt, persequamur.

CAP. II.

VOLUPTATEM igitur esse summum bonum putabat Eudoxus, propterea quia omnia animalia et ratione prædita, et rationis expertia, eam desiderare et appetere videret. At omnibus in rebus id, quod sit expetendum, esse bonum: et ut quidque maxime expetendum, ita longe optimum: quod autem omnia ad idem ferantur, hoc esse indicio, eam quiddam esse optimum; unumquidque enim id quod sibi sit bonum, ut et cibum, reperire: quod igitur omnibus est bonum, et quod omnia desiderant, id esse summum bonum. Atque hæc sane oratio fidem faciebat propter virtutem, moresque hominis magis, quam ipsa pro-

μᾶλλον, ἢ δι' αὐτούς· διαφερόντως γὰρ ἐδόκει σώφρων εἶναι. Οὐ δὴ ὡς φίλος τῆς ἡδονῆς ἐδόκει ταῦτα λέγειν, ἀλλ' οὕτως ἔχειν κατ' ἀλήθειαν. Οὐχ ἧττον δ' ᾤετο εἶναι φανερὸν ἐκ τοῦ ἐναντίου· τὴν γὰρ λύπην καθ' αὑτὸ πᾶσι φευκτὸν εἶναι· ὁμοίως δὲ τὸ ἐναντίον, αἱρετόν. Μάλιστα δὲ εἶναι αἱρετὸν, [f] ὃ μὴ δι' ἕτερον, μηδ' ἑτέρου χάριν αἱρούμεθα. Τοιοῦτον δ', ὁμολογουμένως εἶναι τὴν ἡδονήν· οὐδένα γὰρ ἐπερωτᾷν, τίνος ἕνεκα ἥδεται, ὡς καθ' αὑτὴν οὖσαν αἱρετὴν τὴν ἡδονὴν, προστιθεμένην τε ὁτῳοῦν τῶν ἀγαθῶν, αἱρετώτερον ποιεῖν· οἷον [g] τῷ δικαιοπραγεῖν καὶ σωφρονεῖν. [h] Καὶ αὔξεσθαι δὴ τὸ ἀγαθὸν [i] αὐτὸ ἑαυτῷ. Ἔοικε δὴ οὗτός γε ὁ λόγος τῶν ἀγαθῶν αὐτὴν ἀποφαίνειν, καὶ οὐδὲν μᾶλλον ἑτέρου· [k] πᾶν γὰρ μεθ' ἑτέρου ἀγαθοῦ, αἱρετώτερον, ἢ μονούμενον. Τοιούτῳ δὴ

[f] Ὃ μὴ δι' ἑτέρου χάριν αἱρ. omissis intermediis Bas. [g] Τὸ δικ. Bas. Ven. 1. 2. et Lamb. [h] Καὶ non agnoscunt N C. et El. [i] Αὐτὸ omittit N C. et El. qui etiam pro ἑαυτῷ legit αὐτῷ. De hoc loco sequentia habet Eustratius: ἦν ἂν σαφέστερον, εἰ ἦν γεγραμμένον ἀντὶ τοῦ αὐτῷ, θηλυκῶς αὐτῇ· οὑτωσὶ, Αὔξεσθαι δὴ τὸ ἀγαθὸν αὐτῇ· ἤτοι τῇ ἡδονῇ. Ἔστι δὲ ὃ λέγει, Καὶ αὔξεται δὴ αὐτὸ τὸ ἀγαθόν· τουτέστι πᾶν ἀγαθὸν αὐτῇ τῇ ἡδονῇ· πᾶν γὰρ ἀγαθὸν, ὡς εἴρηται, μεθ' ἡδονῆς γινόμενον ἢ πραττόμενον, αὔξεταί τε καὶ εἰς μέγεθος αἴρεται. Αὔξεται οὖν αὐτῷ τὸ ἀγαθόν· ἤτοι πᾶν ἀγαθὸν αὐτῇ τῇ ἡδονῇ· τὸ γὰρ αὐτὸ, ἀντὶ τοῦ πᾶν εἴληπται. Andronicus nobiscum legisse videtur. [k] Πᾶν γὰρ μεθ' ἑτέρου ἀγαθοῦ, αἱρ. ἢ μονούμενον, οὐκ ἂν εἴη τοιοῦτον· τουτέστι, οὐκ ἂν εἴη τἀγαθόν· ἀντὶ γὰρ τοῦ εἰπεῖν, οὐκ ἂν εἴη τἀγαθὸν, εἶπεν, οὐκ ἂν εἴη τοιοῦτον. *Eustrat.*

pter se: egregie enim præter cæteros temperans existimabatur. Quare non ut voluptati amicus hæc loqui putabatur: sed reapse ita esse videbantur. Neque vero ex ejus contrario minus id perspicuum esse existimabat: dolorem enim per se omnibus esse fugiendum: itemque ejus contrarium obtabile atque expetendum. Id porro maxime esse expetendum quod non propter aliud, neque alius rei gratia expetimus. Tale autem quiddam esse sine controversia voluptatem: neminem enim ex altero quærere, cujus rei gratia voluptate afficiatur: quasi per se sit optabilis et expetenda voluptas, et cuicunque rei bonæ accedat, eam efficiat magis expetendam: quale est juste agere, et temperanter vivere. Bonum autem ipsum seipso amplificari atque augeri. Videtur ergo hæc ratio ostendere, eam in bonis esse numerandam, nihiloque magis bonum, quam alterum ei adjunctum: omne enim bonum cum altero bono conjunctum, optabilius est, quam ipsum

λόγῳ καὶ Πλάτων ἀναιρεῖ, ὅτι οὐκ ἔστιν ἡδονὴ τἀγαθόν· αἱρετώτερον γὰρ εἶναι μετὰ φρονήσεως τὸν ἡδὺν βίον, ἢ χωρίς. Εἰ δὲ τὸ μικτὸν κρεῖττον, οὐκ εἶναι τὴν ἡδονὴν τἀγαθόν· οὐδενὸς γὰρ προστεθέντος αὐτῷ, τἀγαθὸν αἱρετώτερον γίνεσθαι. Δῆλον δ' ὡς οὐδ' ἄλλο οὐδὲν τἀγαθὸν ἂν εἴη, ὃ μετά τινος τῶν καθ' αὑτὸ ἀγαθῶν αἱρετώτερον γίνεται. Τί οὖν ἐστι τοιοῦτον, οὗ καὶ ἡμεῖς κοινωνοῦμεν; τοιοῦτον γὰρ ἐπιζητεῖται. Οἱ δ' ἐνιστάμενοι ὡς οὐκ ἀγαθὸν, οὗ πάντ' ἐφίεται, μὴ οὐθὲν λέγωσιν· ὃ γὰρ πᾶσι δοκεῖ, τοῦτο εἶναί φαμεν. Ὁ δ' ἀναιρῶν ταύτην τὴν πίστιν, οὐ πάνυ πιστότερα ἐρεῖ· εἰ μὲν γὰρ τὰ [l]ἀνόητα ὠρέγετο αὐτῶν, ἦν ἄν τι τὸ λεγόμενον· εἰ δὲ καὶ τὰ φρόνιμα, πῶς λέγοιεν ἄν τι; Ἴσως δὲ καὶ ἐν τοῖς φαύλοις ἐστί τι φυσικὸν ἀγαθὸν κρεῖττον ἢ [m]καθ' αὑτὰ, ὃ ἐφίε-

[l] Μόνα post ἀνόητα addunt quidam codd. apud Lamb. *μόνον ὠρέγετο αὐτοῦ* Andr. αὐτῆς Mur. [m] Γρ. καθ' αὑτό. *Καὶ γὰρ καὶ ἐν τοῖς ἀνοήτοις ἐστί τι φυσικὸν ἀγαθὸν, τὴν φαυλότητα αὐτῶν ὑπερβαῖνον, δι' ὃ τῷ ἀγαθῷ οἰκειούμενα ὡς οἰκείου ἤδη ὀρέγονται. Et in brutis quoque naturale aliquod bonum est, quod eorum imbecillitatem transcendit, quo cum bono ipso conciliantur, et tanquam proprium sibi solent appetere.* Andr.

per se et ab alio bono desertum. Ac tali ratione sententiam eorum, qui voluptatem, summum bonum esse dicunt, Plato labefactat: optabiliorem enim esse vitam jucundam cum prudentia conjunctam, quam sine prudentia. Quod si jucundum alteri bono admistum melius est, voluptatem non esse summum bonum: nullius enim rei adjunctione summum bonum optabilius fieri posse. Sed perspicuum est neque aliud quidquam, quod cum alio per se bono conjunctum optabilius fit, summum bonum futurum. Quidnam igitur est summum bonum, cujus quidem nobis sit communio? tale enim quæritur. Jam vero qui pertinaciter negant id esse bonum, quod omnia desiderant atque appetunt, vereor ne nihil dicant: nam quod omnibus videtur, hoc esse dicimus. Nec qui hanc persuasionem labefactarit, multo probabiliora certiorave dicturus est: nam si sola mentis expertia voluptates appeterent, esset id aliquid, quod ab eis dicitur: sed si etiam ea, quæ sapiunt et prudenter sentiunt, quid causæ est cur audiendi sint? Fortasse vero etiam in vitiosis naturale quoddam bonum inest, melius, quam ipsorum sit captus, quod bonum sibi accommodatum appetit. Jam

ται τοῦ οἰκείου ἀγαθοῦ. Οὐκ ἔοικε δὲ οὐδὲ περὶ τοῦ ἐναντίου καλῶς λέγεσθαι· οὐ γάρ φασιν, εἰ ἡ λύπη κακόν ἐστι, τὴν ἡδονὴν ἀγαθὸν εἶναι· ἀντικεῖσθαι γὰρ κακὸν κακῷ, καὶ ἄμφω τῷ [n] μηδετέρῳ· λέγοντες ταῦτα οὐ κακῶς, οὐ μὴν ἐπί γε τῶν εἰρημένων ἀληθεύοντες· ἀμφοῖν μὲν γὰρ [o] ὄντων κακῶν, καὶ φευκτὰ ἔδει εἶναι ἄμφω· τῶν μηδετέρων δὲ, [p] μηδέτερον, ἢ ὁμοίως. Νῦν δὲ φαίνονται, τὴν μὲν φεύγοντες ὡς κακόν· τὴν δ' αἱρούμενοι ὡς ἀγαθόν. Οὕτω δὴ καὶ ἀντίκειται.

ΚΕΦ. γ'.

ΟΥ μὴν οὐδ' εἰ μὴ τῶν ποιοτήτων ἐστὶν ἡ ἡδονὴ, διὰ τοῦτ' οὐδὲ τῶν ἀγαθῶν· οὐδὲ γὰρ αἱ τῆς ἀρετῆς ἐνέργειαι, ποιότητές εἰσιν· οὐδ' ἡ εὐδαιμονία. Λέγουσι [q] δὴ, τὸ μὲν ἀγαθὸν ὡρίσθαι, τὴν δ' ἡδονὴν ἀόριστον εἶναι, ὅτι δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. Εἰ μὲν οὖν ἐκ τοῦ ἥδεσθαι τοῦτο κρίνουσι, καὶ περὶ τὴν δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετὰς, καθ'

[n] Hanc veram esse lectionem ex Eustratio recte vidit Casaubonus. γρ. μηδέτερον et μηδέτερα· λέγοντες ταῦτα δ' οὐ κακ. [o] Ὄντοιν κακοῖν El. [p] Ἢ ἕτερον ὂν ὁμοίως Bas. et Ven. 1. [q] Δὴ Bas. Ven. 1. 2. et Lamb.

vero neque quod de contrario dicunt, recte dici videtur: negant enim effici ex eo quod dolor malum sit, voluptatem esse bonum: nam et malum malo opponi, et utrumque ei, quod neutrum est: atque hæc quidem dicunt non male: veruntamen si ad ea, quæ dicta sunt, exigantur, minus vere: nam si ambo mala essent, necessario ambo essent fugienda; sin neutrum esset malum, vel neutrum esset fugiendum, vel æque utrumque. Nunc videmus dolorem fugi, ut malum: voluptatem expeti, ut bonum. Sic igitur et opponuntur inter se.

CAP. III.

NEQUE vero si voluptas non est qualitas, idcirco non est in bonis numeranda: nam neque virtutis munera et functiones sunt qualitates, neque beatitudo. Dicunt autem bonum esse terminatum: voluptatem nullis terminis circumscriptam, quia contentior et remissior esse potest. Si igitur ex perceptione voluptatis hoc judicant, in justitia quoque, et cæteris virtutibus, ex quibus perspicue aiunt eos, qui virtutes co-

ὡς ἐναργῶς φασι μᾶλλον καὶ ἧττον [r]τοὺς ποιοὺς ὑπάρχειν, καὶ κατὰ τὰς ἀρετὰς ἔσται τὸ αὐτό· δίκαιοι γάρ εἰσι μᾶλλον καὶ ἀνδρεῖοι· ἔστι δὲ καὶ δικαιοπραγεῖν καὶ σωφρονεῖν μᾶλλον καὶ ἧττον. Εἰ δ' ἐν ταῖς ἡδοναῖς, μή ποτ' οὐ λέγουσι τὸ αἴτιον· [s]ἐὰν ὦσιν αἱ μὲν ἀμιγεῖς, αἱ δὲ μικταί. Τί κωλύει δὲ, καθάπερ ἡ ὑγίεια, ὡρισμένη οὖσα, δέχεται τὸ μᾶλλον καὶ ἧττον, οὕτω καὶ τὴν ἡδονήν; οὐ γὰρ ἡ αὐτὴ συμμετρία ἐν πᾶσίν ἐστιν, οὐδ' ἐν τῷ αὐτῷ μία τις ἀεὶ, ἀλλὰ [t]ἀνιεμένη διαμένει ἕως τινὸς, καὶ διαφέρει τῷ μᾶλλον καὶ ἧττον. Τοιοῦτο δὴ καὶ τὸ περὶ τὴν ἡδονὴν ἐνδέχεται εἶναι. Τέλειόν τε τἀγαθὸν τιθέντες, τὰς δὲ κινήσεις καὶ τὰς γενέσεις, ἀτελεῖς, τὴν ἡδονὴν κίνησιν καὶ γένεσιν ἀποφαίνειν πειρῶνται. Οὐ καλῶς δ' ἐοίκασι λέγειν, οὐδ' εἶναι κίνησιν· πάσῃ γὰρ οἰκεῖον εἶναι δοκεῖ τάχος καὶ βραδυτής· [u]καὶ εἰ μὴ καθ' αὑτὴν, οἷον τὸ τοῦ

[r] Lambinus, verba transponendo, et tollendo istud καὶ, hunc locum ita emendat: τοὺς κατὰ τὰς ἀρετὰς ποιοὺς ὑπάρχειν ἔσται τὸ αὐτό. Argyropylus καὶ κατὰ τὰς ἀρετὰς omittit. Quidam ἀρετὰς hic pro ἕξεις et ἐπιστήμας poni censent: alii per περὶ τὰς ἀρετὰς, quæ præcedunt, *considerationes virtutis*; per τὰς ἀρετὰς, *actiones* intelligunt: ut sensus sit: Idem tam de virtutibus ipsis, quam de harum effectibus dici possit. Cui sententiæ favet Aquinas: et nescio an ea, quæ immediate sequuntur, eam confirment. Vide Lamb. [s] Γρ. ὡς εἰσίν. [t] Ἀνιεμένη El. [u] Planiora erunt hæc verba, ut annotat Lamb. si hoc ordine collocentur: καὶ εἰ

lunt, magis et minus cujusdammodi fieri, idem erit: justiores enim aliis alii sunt et fortiores: fieri etiam potest, ut juste agamus, temperanterque vivamus magis et minus. Sin ex voluptatibus ipsis, verendum est, ne causam non afferant: siquidem sunt aliæ puræ ac sinceræ, aliæ mistæ. Sed quid prohibet, quemadmodum valetudo, quæ terminata est, intendi potest et remitti, sic et voluptatem? non enim eadem in omnibus temperatio corporis et convenientia est: neque in eodem semper est una, sed ita remittitur et languescit, ut usque ad aliquem finem permaneat: eoque differt, quod intenditur et remittitur. Tale igitur quiddam in eo quoque, quod ad voluptatem attinet, accidere potest. Et cum summum bonum perfectum quiddam esse statuant, motus autem et ortus imperfectos: voluptatem esse motum et ortum ostendere conantur. Sed neque recte dicere videntur, neque voluptas est motus: omnis enim motionis propria videtur esse celeritas et tarditas: et si non per se, qualis est ea,

κόσμου, πρὸς ἄλλο. Τῇ δ' ἡδονῇ τούτων οὐδέτερον ὑπάρχει· ἡσθῆναι μὲν γάρ ἐστι ταχέως, ὥσπερ ὀργισθῆναι· ἥδεσθαι δ' οὔ, οὐδὲ πρὸς ἕτερον· βαδίζειν δέ, καὶ αὔξεσθαι, καὶ πάντα τὰ τοιαῦτα. Μεταβάλλειν μὲν οὖν εἰς τὴν ἡδονὴν ταχέως καὶ βραδέως, ἐστίν· ἐνεργεῖν δὲ κατ' αὐτὴν ταχέως, οὐκ ἔστι· λέγω δὲ ἥδεσθαι. Γένεσίς τε πῶς ἂν εἴη; δοκεῖ γὰρ οὐκ ἐκ τοῦ τυχόντος τὸ τυχὸν γίγνεσθαι, ἀλλ' ἐξ οὗ γίγνεται, εἰς τοῦτο διαλύεσθαι. Καὶ οὗ γένεσις ἡ ἡδονή, τούτου ἡ λύπη φθορά. Καὶ λέγουσι δὲ [x] τὴν λύπην, ἔνδειαν εἶναι τοῦ κατὰ φύσιν· τὴν δ' ἡδονήν, ἀναπλήρωσιν. Ταῦτα δὲ σωματικά ἐστι πάθη. Εἰ δή ἐστι τοῦ κατὰ φύσιν ἀναπλήρωσις, [y] ἡδονή, ἐν ᾧ ἡ ἀναπλήρωσις, τοῦτ' ἂν καὶ ἥδοιτο· τὸ σῶμα ἄρα. Οὐ δοκεῖ δέ· οὐκ ἔστιν ἄρα ἀναπλήρωσις, ἡ ἡδονή· ἀλλὰ γινομένης μὲν ἀναπληρώσεως, ἥδοιτο ἄν τις, καὶ τεμνόμενος λυποῖτο. Ἡ

μὴ καθ' αὑτήν, πρὸς ἄλλο, οἷον τὸ τοῦ κόσμου. In quibusdam codd. scribitur τὰ τοῦ κόσμ. et τῇ τοῦ. Sic Andr. καθάπερ ἡ τοῦ οὐρανοῦ κίνησις ὁμαλὴ μέν ἐστι καθ' ἑαυτήν, πρὸς δὲ τὴν τῶν ἀστέρων θεωρουμένη κίνησιν, ταχεῖα λέγεται. [x] Τὴν μὲν λύπ. Ven. 1. Bas. et Aurel. [y] Γρ. ἡ ἡδονὴ ἐν ᾧ ἀναπ.

qua mundus movetur: at cum alia motione comparatæ. In voluptate autem neutrum horum inest: fieri enim potest, ut quis cito fuerit affectus voluptate, quemadmodum ut cito iracundia exarserit: sed ut voluptate celeriter fruatur, non potest, ne si cum alio quidem conferatur: ut ambulet autem, et augeatur, et quæ sunt hujus generis omnia, potest. Nihil igitur obstat, quo minus celeriter et tarde ad voluptatem traducamur: sed ut celeriter voluptatis munere fungamur, fieri non potest: voluptatis autem munere fungi dico voluptate affici. Jam vero qui possit ortus esse? videtur enim non ex re qualibet quævis oriri: sed ex quo quidque oritur, in hoc dissolvi atque interire. Et, cujus rei ortus est voluptas, ejus rei interitus erit dolor. Deinde aiunt, dolorem ejus rei, quæ est secundum naturam, penuriam esse; voluptatem, expletionem. At hi sunt affectus corporis. Si voluptas igitur, ejus, quod secundum naturam est, expletio est: id, in quo fit expletio, etiam voluptate affici queat: corpus ergo voluptate affici queat. At non videtur ita esse: non est ergo voluptas expletio: verum cum fit expletio, potest aliquis voluptate affici, et cum secatur, dolere. Hæc opinio autem

δόξα δ' αὕτη δοκεῖ γεγενῆσθαι ἐκ τῶν περὶ τὴν τροφὴν λυπῶν καὶ ἡδονῶν· ἐνδεεῖς γὰρ γινομένους καὶ προλυπηθέντας, ἥδεσθαι τῇ ἀναπληρώσει. Τοῦτο δ' οὐ περὶ πάσας συμβαίνει τὰς ἡδονάς· ἄλυποι γάρ εἰσιν αἵ τε μαθηματικαὶ, καὶ τῶν κατὰ τὰς αἰσθήσεις [a]αἱ διὰ τῆς ὀσφρήσεως, καὶ ἀκροάματα δὲ καὶ ὁράματα· πολλαὶ δὲ καὶ μνῆμαι, καὶ ἐλπίδες. Τίνος οὖν αὗται γενέσεις ἔσονται; οὐδενὸς γὰρ ἔνδειαι γεγένηνται, [a]οὗ γένοιτ' ἂν ἀναπλήρωσις. Πρὸς δὲ τοὺς [b]προφέροντας τὰς ἐπονειδίστους τῶν ἡδονῶν, λέγοι τις ἂν ὅτι οὐκ ἔστι ταῦθ' ἡδέα· οὐ γὰρ εἰ τοῖς κακῶς διακειμένοις ἡδέα ταῦτ' ἐστὶν, οἰητέον αὐτὰ καὶ ἡδέα εἶναι ἁπλῶς, πλὴν τούτοις· καθάπερ οὐδὲ τὰ τοῖς κάμνουσιν ὑγιεινὰ, ἢ γλυκέα, ἢ πικρά· οὐδ' αὖ λευκὰ, τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσιν. Ἢ οὕτω δὴ λέγοιτ' ἂν, ὅτι αἱ μὲν ἡδοναὶ αἱρεταί εἰσιν, οὐ μὴν ἀπό γε τούτων· ὥσπερ καὶ τὸ πλουτεῖν, προδόντι δ' οὔ· καὶ τὸ ὑγιαί-

[a] Αἱ pro καὶ reposuimus ex El. et ita etiam ex conjectura emendavit Lambinus. [a] Οὗ γένοιντ' ἂν ἀναπληρώσεις Ven. 1. 2. et Bas. [b] Γρ. προσφέροντας. male.

ex doloribus ac voluptatibus, quæ in alimento versantur, videtur esse nata: homines enim cum egent alimento, et cum antegressus dolor est, expletione delectari. Sed hoc non in omnibus voluptatibus accidit: sunt enim doloris expertes tum mathematicæ, tum earum, quæ in sensibus positæ sunt, eæ, quæ ex odoratu percipiuntur, voluptates: et vero acroamata, et spectacula, multæ etiam res memoria repetitæ, multæ denique speratæ voluptatem afferunt. Cujus igitur rei hæ voluptates ortus erunt? nullius enim rei antegressa est penuria, aut egestas, cujus expletio consequatur. Iis autem, qui turpes et probrosas voluptates objiciunt, responderi possit, hæc non esse jucunda: non enim si hominibus male affectis sunt jucunda, etiam absolute jucunda sunt habenda; sed his tantum: quemadmodum neque ea, quæ sunt ægrotis salubria, aut dulcia, aut amara; neque ea, quæ lippientibus videntur alba, sunt reapse talia. Potest etiam hoc modo responderi, voluptates esse expetendas, sed non ab his rebus profectas: quemadmodum divitem esse optabile est, sed non ex proditione: et valere, sed non quolibet cibo

νειν, οὐ μὴν ὁτιοῦν φαγόντι. Ἢ [c]ὅτι τῷ εἴδει διαφέρουσιν αἱ ἡδοναί; ἕτεραι γὰρ αἱ ἀπὸ τῶν καλῶν, τῶν ἀπὸ τῶν αἰσχρῶν, καὶ οὐκ ἔστιν ἡσθῆναι τὴν τοῦ δικαίου, μὴ ὄντα δίκαιον, μηδὲ τὴν τοῦ μουσικοῦ, μὴ ὄντα μουσικόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Ἐμφανίζειν δὲ δοκεῖ καὶ ὁ φίλος, ἕτερος ὢν τοῦ κόλακος, οὐκ οὖσαν ἀγαθὸν τὴν ἡδονήν, ἢ διαφόρους εἴδει· ὁ μὲν γὰρ πρὸς τὸ ἀγαθὸν ὁμιλεῖν δοκεῖ, ὁ δὲ πρὸς ἡδονήν· [d]καὶ τὸ μὲν ὀνειδίζεται, τὸ δ' ἐπαινοῦσιν, ὡς πρὸς ἕτερα ὁμιλοῦντα. Οὐδείς τ' ἂν ἕλοιτο ζῆν, παιδίου διάνοιαν ἔχων διὰ βίου, ἡδόμενος ἐφ' οἷς τὰ παιδία, ὡς [e]οἷόν τε μάλιστα· οὐδὲ χαίρειν, ποιῶν τι τῶν [f]αἰσχίστων, μηδέ ποτε μέλλων λυπηθῆναι. Περὶ πολλά τε σπουδὴν ποιησαίμεθα ἄν, καὶ εἰ μηδεμίαν ἐπιφέροι ἡδονήν, οἷον ὁρᾶν, μνημονεύειν, εἰδέναι, τὰς ἀρετὰς ἔχειν. Εἰ δ' ἐξ ἀνάγκης ἕπονται τούτοις ἡδοναί, οὐδὲν διαφέρει· ἑλοίμεθα

[c] Ὅτι omittit El. et quidam alii. [d] Καὶ ὁ μὲν ὀνειδ. τὸν δ' ἐπ. ὡς οὐ πρ. Vet. Interp. Sic et Eustratius legisse videtur. *Casaub.* [e] Οἴονται pro οἷόν τε El. CCC. Ven. 1. et 2. haud male. [f] Γρ. αἰσχρῶν.

vescenti. Postremo dicendum est, specie differre voluptates: aliæ enim sunt eæ, quæ ex rebus honestis capiuntur, ab iis, quæ ex turpibus: neque fieri ullo modo potest, ut quis justi hominis voluptate potiatur, qui non sit justus: neque musici, qui non sit musicus: similisque est cæterorum ratio. Atque etiam videtur amicus, qui ab assentatore differt, voluptatem non esse bonum, aut certe differre specie voluptates, declarare: ille enim videtur congredi et versari cum amico, ut ei sit bono, hic ut voluptati: et hoc vituperatur, illud laudant omnes, quasi amicus sermones et congressus suos alio, quam assentator, referat. Neque vero cuiquam vita sit optabilis, ut per omnem vitam, cogitationem et mentem puerilem obtineat: iisque rebus, quibus pueri lætantur, quam maxime fieri potest, delectetur: neque quisquam gaudere cupiat turpissima aliqua et flagitiosissima re admissa, etiamsi nunquam sit propterea doliturus. Ad multa denique studium, atque operam nostram contulerimus, etiamsi nullam voluptatem sint allatura: cujusmodi sunt videre, memoria tenere, scire, virtutes denique habere. Nec refert quod his necessario succedunt voluptates: hæc enim sequere-

γὰρ ἂν ταῦτα, καὶ εἰ μὴ γένοιτ᾽ ἂν ἀπ᾽ αὐτῶν ἡδονή. Ὅτι μὲν οὖν οὔτε τἀγαθὸν ἡ ἡδονὴ, οὔτε πᾶσα αἱρετὴ, δῆλον ἔοικεν εἶναι· καὶ ὅτι εἰσὶν αἱρεταί τινες καθ᾽ αὑτὰς, διαφέρουσαι τῷ εἴδει, ἢ [g] τῷ ἀφ᾽ ὧν. Τὰ μὲν οὖν λεγόμενα περὶ τῆς ἡδονῆς καὶ λύπης, ἱκανῶς εἰρήσθω.

ΚΕΦ. δ΄.

ΤΙ δ᾽ ἐστὶν, ἢ ποῖόν τι, καταφανέστερον γένοιτ᾽ ἂν ἀπ᾽ ἀρχῆς ἀναλαβοῦσι. Δοκεῖ γὰρ ἡ μὲν ὅρασις καθ᾽ ὁντιναοῦν χρόνον τελεία εἶναι· οὐ γάρ ἐστιν ἐνδεὴς οὐδενὸς, ὃ εἰς ὕστερον γενόμενον τελειώσει αὐτῆς τὸ εἶδος. [h] Τοιούτῳ δ᾽ ἔοικε καὶ ἡ ἡδονή· [i] ὅλον γάρ τί ἐστι. Καὶ κατ᾽ οὐδένα χρόνον λάβοι τις ἂν ἡδονὴν, ἧς ἐπὶ πλείω χρόνον γινομένης, τελειωθήσεται τὸ εἶδος. Διόπερ οὐδὲ κίνησίς ἐστιν· ἐν χρόνῳ γὰρ πᾶσα κίνησις, καὶ τέλους τινὸς, οἷον ἡ οἰκοδομικὴ τελεία, ὅταν ποιήσῃ οὗ ἐφίεται. Ἢ ἐν ἅπαντι δὴ [k] τῷ χρόνῳ, ἢ ἐν τούτῳ.

[g] Ταῖς αἰτίαις ὅθεν γίνονται. *Andr.* [h] Γρ. τούτῳ. [i] Τέλειον pro ὅλον El.
[k] Τῷ χρόνῳ τούτῳ Bas. et Ven. 1. τῷ χρόνῳ ἢ τούτῳ El. et CCC.

mur et expeteremus, etiamsi nulla ex iis proficisceretur voluptas. Non esse igitur summum bonum voluptatem, neque omnem esse expetendam, esseque nonnullas per se expetendas vel specie, vel iis rebus, ex quibus oriuntur, differentes, perspicuum videtur esse. Atque ea quidem, quæ de voluptate ac dolore dicuntur, satis a nobis exposita sint.

CAP. IV.

QUID sit autem, aut qualis res sit, planius fieri poterit, si ab initio repetamus. Videtur enim aspectus quovis tempore perfectus esse: nam nihil desiderat, quod cum postea contigerit, ejus formam sit absoluturum. Huic similis est et voluptas: namque totum quiddam est, atque integrum. Neque quisquam voluptatem ullo tempore sumat, cujus, si longius producatur, forma sit perfectior futura. Itaque ne motus quidem est: omnis enim motus in tempore versatur, et ad aliquem finem refertur: verbi gratia, is, qui in ædificando consumitur, tum perfectus est, cum id, quod desiderat, effecerit. Aut igitur in toto tempore, aut in hoc.

Ἐν δὲ τοῖς μέρεσι τοῦ χρόνου πᾶσαι ἀτελεῖς, καὶ ἕτεραι τῷ εἴδει τῆς ὅλης καὶ ἀλλήλων· ἡ γὰρ τῶν λίθων σύνθεσις, ἑτέρα τῆς [l]τοῦ κίονος ῥαβδώσεως, καὶ αὗται, τῆς τοῦ ναοῦ ποιήσεως. Καὶ ἡ μὲν τοῦ ναοῦ, τελεία· οὐδενὸς γὰρ ἐνδεὴς πρὸς τὸ προκείμενον· ἡ δὲ τῆς κρηπῖδος καὶ τοῦ [m]τριγλύφου, ἀτελής· μέρους γὰρ ἑκατέρα. Τῷ εἴδει οὖν διαφέρουσι, καὶ οὐκ ἔστιν ἐν ὁτῳοῦν χρόνῳ λαβεῖν κίνησιν τελείαν τῷ εἴδει· ἀλλ᾽ εἴ περ, ἐν τῷ παντί. Ὁμοίως δὲ καὶ ἐπὶ βαδίσεως καὶ τῶν λοιπῶν. Εἰ γάρ ἐστιν ἡ φορὰ, κίνησις πόθεν ποῖ, καὶ ταύτης διαφοραὶ κατ᾽ εἶδος, πτῆσις, βάδισις, ἅλσις, καὶ τὰ τοιαῦτα. Οὐ μόνον δὲ οὕτως, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ βαδίσει· τὸ γὰρ πόθεν ποῖ, οὐ ταὐτὸν ἐν τῷ σταδίῳ καὶ τῷ μέρει, καὶ ἐν ἑτέρῳ καὶ ἑτέρῳ μέρει. Οὐδὲ τὸ διεξιέναι τὴν γραμμὴν τήνδε κἀκείνην· οὐ μόνον γὰρ γραμμὴν διαπορεύεται, ἀλλὰ καὶ ἐν τῷ τόπῳ

[l] *Τοῦ κίονος ῥάβδωσιν* explicat Eustratius per *τὴν κατὰ μῆκος τοῦ κίονος πῆξιν, ἥτις γίνεται, ὅταν πρὸς ὀρθὰς γωνίας ἵστηται*: *columnæ in longitudinem collocationem* seu *defixionem, quæ tum fit, cum ad rectos angulos recta steterit.* Andronicus vero appellat *κίονος κατασκευὴν, columnæ exstructionem.* Alii *erectionem columnæ* interpretantur. Vide Steph. Thes. Tom. iii. col. 662. [m] *Τρίγλυφα* ab Argyropylo *laquearia* appellantur: ab Eustratio *ξύλα τρίχα ἐν τοῖς πέρασιν ἐγγεγλυμμένα, ligna in extremis tabulatorum partibus tripliciter insculpta.* Vide Vitruvii lib. iv. et notas Philand.

In partibus autem temporis omnes sunt imperfecti, specieque et a toto, et ipsi inter se differunt: lapidum enim compositio et structura alia est a columnæ striatione: et hi motus, alii sunt a templi perfectione. Ac templi quidem motus perfectus est; nihil enim desiderat ad id quod propositum fuerat: fundamenti autem, et lacunaris, imperfectus: uterque enim partis est. Specie igitur differunt, neque in ullo tempore, qualecunque illud sit, perfectus in suo genere motus sumi potest: aut si maxime potest, in toto potest. Similiterque de incessu, et reliquis motibus sentiendum. Si enim loci mutatio motus est alicunde aliquo, hujus quoque formæ dispares ac differentes, volatus, incessus, saltus, et cætera hujusmodi, motus sunt alicunde aliquo. Nec solum ita se res habet in aliis loci mutationibus, verum etiam in ipso incessu: nam incessus alicunde aliquo, non est idem in stadio, atque in ejus parte: neque idem in una, atque in alia. Neque eadem loci mutatio est, qua hæc linea, et qua illa transitur: non enim linea solum transitur, verum etiam linea,

οὖσαν· ἐν ἑτέρῳ δ' αὕτη ἐκείνης. [n]Δι' ἀκριβείας μὲν οὖν περὶ κινήσεως ἐν ἄλλοις εἴρηται. Ἔοικε δ' οὐκ ἐν ἅπαντι χρόνῳ τελεία εἶναι, ἀλλ' αἱ πολλαὶ ἀτελεῖς καὶ διαφέρουσαι τῷ εἴδει, εἴ περ τὸ πόθεν ποῖ εἰδοποιόν. Τῆς ἡδονῆς δ' ἐν ὁτῳοῦν χρόνῳ τέλειον τὸ εἶδος. Δῆλον οὖν ὡς [o]ἕτεραί τε ἂν εἶεν ἀλλήλων, καὶ τῶν ὅλων τι καὶ τελείων ἡ ἡδονή. Δόξειε δ' ἂν τοῦτο καὶ ἐκ τοῦ μὴ ἐνδέχεσθαι κινεῖσθαι μὴ [x]ἐν χρόνῳ, ἥδεσθαι δέ· τὸ γὰρ ἐν τῷ νῦν, ὅλον τι. Ἐκ τούτων δὲ δῆλον, καὶ ὅτι οὐ καλῶς λέγουσι κίνησιν ἢ γένεσιν εἶναι τὴν ἡδονήν· οὐ γὰρ πάντων ταῦτα λέγεται, ἀλλὰ τῶν μεριστῶν καὶ μὴ ὅλων· οὐδὲ γὰρ ὁράσεώς ἐστι γένεσις, οὐδὲ στιγμῆς, οὐδὲ μονάδος· οὐδὲ τούτων οὐδὲν κίνησις, οὐδὲ γένεσις. Οὐδὲ δὴ ἡδονῆς· ὅλον γάρ τι. [p]Αἰσθήσεως δὲ πάσης πρὸς τὸ αἰσθητὸν ἐνερ-

[n] Sc. lib. v. Phys. [o] Γρ. ἕτερα: ita etiam Eustrat. Nobiscum legit Andr.
[x] Vide Phys. lib. vi. cap. 3. [p] Eustratius dubitat necne huic loco aliquid desit: quod suppleri duobus modis posse indicat. Primo, ut hoc modo legatur: Οὐδὲ αἰσθήσεως πάσης πρὸς τὸ αἰσθητὸν ἐνεργούσης ἐστὶ κίνησις ἢ γένεσις. Secundo, post ἐνεργούσης scribendo ἐστὶν οἰκεία ἡδονή, et pro δὲ legendo δή: quasi diceret Arist. Δῆλον δὴ ἐκ τῶν εἰρημένων ὅτι πάσῃ κατ' ἐνέργειαν αἰσθήσει ἀνεμποδίστως ἐνεργούσῃ συνέζευκταί τις ἡδονή.

quæ in loco est: at hæc in alio loco, quam illa est. Subtiliter igitur et enucleate de motu in aliis libris disputatum a nobis est. Videtur autem non omni tempore perfectus esse, sed plerique imperfecti, specieque differentes, siquidem termini alicunde aliquo motum informant. At voluptatis in quovis tempore forma perfecta est. Perspicuum igitur est, motum et voluptatem inter se differre, voluptatemque totum quiddam et perfectum esse. Quod quidem etiam ex eo intelligere licet, quod fieri non potest, ut quis moveatur nisi in tempore; sed ut voluptate afficiatur, potest: nam quod in puncto temporis positum est, totum quiddam est. Atque ex his perspicuum illud quoque est, minus recte ab his dici, voluptatem motum aut ortum esse: non enim omnium rerum dicuntur esse motus et ortus, sed earum duntaxat, quæ partitionem recipiunt, et quæ non sunt tota: neque enim aspectus, neque puncti, neque monadis ortus est: neque horum quidquam vel motus, vel ortus est. Ergo neque voluptas, motus vel ortus est: est enim totum, atque integrum quiddam voluptas. Jam vero cum sensus omnis in id, quod sub

γούσης· τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὸ κάλλιστον τῶν ὑπὸ τὴν αἴσθησιν κειμένων· τοιοῦτον γὰρ μάλιστ᾽ εἶναι δοκεῖ ἡ τελεία ἐνέργεια. Αὐτὴν δὲ λέγειν ἐνεργεῖν, ἢ ἐν ᾧ ἐστι, μηδὲν διαφερέτω. Καθ᾽ ἕκαστον δὲ βελτίστη ἐστὶν ἡ ἐνέργεια, τοῦ ἄριστα διακειμένου πρὸς τὸ κράτιστον τῶν ὑφ᾽ αὐτήν. Αὕτη δ᾽ ἂν τελειοτάτη εἴη καὶ ἡδίστη· κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν ἡδονή· ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν. Ἡδίστη δὲ ἡ τελειοτάτη, τελειοτάτη δὲ, ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφ᾽ αὐτήν. Τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονή· οὐ τὸν αὐτὸν δὲ τρόπον ἥτε ἡδονὴ τελειοῖ καὶ [q] τὸ αἰσθητόν τε καὶ ἡ αἴσθησις, σπουδαῖα ὄντα· ὥσπερ οὐδὲ ἡ ὑγίεια καὶ ὁ ἰατρὸς ὁμοίως αἴτιά ἐστι τοῦ ὑγιαίνειν. Καθ᾽ ἑκάστην δ᾽ αἴσθησιν ὅτι γίνεται ἡ ἡδονὴ, δῆλον· φαμὲν γὰρ ὁράματα, καὶ ἀκού-

[q] Τὸ αἰσθητὸν ἡ αἴσθησις Eustratius legisse videtur. Ejusdem de germana lectione conjectura in his verbis continetur: λείποι δ᾽ ἂν τῇ λέξει, τὴν αἴσθησιν· καὶ εἴη ἂν τὸ πλῆρες τοιοῦτον· Οὐ τὸν αὐτὸν δὲ τρόπον τελειοῖ τὴν ἐνέργειαν ἡ ἡδονὴ, καὶ τὴν αἴσθησιν τὸ αἰσθητὸν, καὶ ἡ αἴσθησις. Μήποτε δὲ χρὴ ἀντὶ καὶ τοῦ ἡ αἴσθησις, γράφειν τὴν αἴσθησιν, ἵν᾽ ᾖ ἡ λέξις τοιαύτη· Τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονή· οὐ τὸν αὐτὸν δὲ τρόπον ἥτε ἡδονὴ, καὶ τὸ αἰσθητὸν τὴν αἴσθησιν. Nobiscum legit Andronicus.

eum sensum cadit, suo munere fungatur; et perfecte quidem fungatur is, qui bene affectus est, cum eorum, quæ sub illo sensu posita sunt, pulcherrimo quoque comparatus: tale enim quiddam maxime videtur esse perfecta muneris functio. Atque utrum sensum suo munere fungi dicamus, an id, in quo sensus inest, nihil intersit. In unoquoque autem genere optima est functio ejus, quod optime affectum est, cum eorum, quæ sub eum sensum cadunt, præstantissimo quoque comparatum. Hæc autem perfectissima erit, et jucundissima: habet enim sensus suam quisque voluptatem: itemque cogitatio et cognitio. Atque ut quæque functio est perfectissima, ita jucundissima est: est autem perfectissima ejus, quod bene affectum est ad eorum, quæ sub illum sensum, aut cogitationem cadunt, optimum. Perficit igitur muneris functionem voluptas: non ita perficiet, ut et res sensui subjecta, et sensus ipse, cum bona sunt: quemadmodum bona valetudo aliter causa est, cur aliquis valeat, aliter medicus. Jam perspicuum illud profecto est, in omni sensu voluptatem gigni: dicimus enim, quædam, quæ cernun-

σματα εἶναι ἡδέα. [r]Δῆλον δὲ καὶ ὅτι μάλιστα, ἐπειδὰν ἥτε αἴσθησις [s]ἡ κρατίστη, καὶ πρὸς τοιοῦτον ἐνεργῇ. Τοιούτων δὲ ὄντων, τοῦ τε αἰσθητοῦ καὶ τοῦ αἰσθανομένου, ἀεὶ ἔσται ἡδονὴ, ὑπάρχοντός γε τοῦ ποιήσοντος καὶ τοῦ [t]πεισομένου. Τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ, οὐχ ὡς ἡ ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγιγνόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα. Ἕως δ' οὖν ἄν ποτε τὸ αἰσθητὸν ἢ νοητὸν ᾖ οἷον δεῖ, καὶ τὸ κρῖνον ἢ θεωροῦν, ἔσται ἐν τῇ ἐνεργείᾳ ἡ ἡδονή· ὁμοίων γὰρ ὄντων, καὶ πρὸς ἄλληλα τὸν αὐτὸν τρόπον ἐχόντων, τοῦ τε παθητικοῦ καὶ τοῦ ποιητικοῦ, τὸ αὐτὸ πέφυκε γίνεσθαι. Πῶς οὖν οὐδεὶς συνεχῶς ἥδεται, [u]ἢ κάμνει; πάντα γὰρ τὰ ἀνθρώπεια ἀδυνατεῖ συνεχῶς ἐνεργεῖν. Οὐ γίνεται οὖν οὐδ' ἡδονή· ἕπεται γὰρ τῇ ἐνεργείᾳ. Ἔνια δὲ τέρπει καινὰ ὄντα· ὕστερον δὲ οὐχ ὁμοίως διὰ ταῦτα· τὸ μὲν γὰρ πρῶτον [x]παρακέκλιται ἡ

[r] Δῆλον γὰρ δὴ C C C. et quidam Editi. [s] Γρ. εἴη. [t] Παισομένου Aurel. [u] Γρ. ἢ ὅτι κάμνει. [x] Γρ. παρακέκληται, idque malim. Vetus Interp. addit διὰ τὴν ἐπιθυμίαν π. *Casaub.*

tur, et quæ audiuntur, esse jucunda. Atque ea tum videlicet jucundissima sunt, cum et sensus est optimus, et in id, quod tale sit, suam actionem explicat, suoque munere fungitur. Quamdiu autem talia erunt et id, quod sensu percipitur, et id, quod sentit, semper erit voluptas, dummodo præsto sit, quod efficit, et quod patitur. Perficit autem muneris functionem voluptas, non ut habitus penitus insitus, sed ut finis quidam subsequens: veluti eos, qui florent ætate, formæ maturitas. Quamdiu autem id, quod sub sensum, vel intelligentiam cadit, tale fuerit, quale oportet esse, et quamdiu id, quod judicat aut contemplatur, tale: tamdiu in functione muneris futura est voluptas: nam cum similia sunt, cumque eodem modo inter se affecta sunt, et id, quod ad accipiendum, seu patiendum, aptum est, et id, in quo efficiendi vis inest: eadem res ex illis existere solet suapte natura. Qui fit igitur ut nemo continenter delectetur? an quod defatigatur? nullæ enim res humanæ assiduam muneris functionem ferre possunt. Ita neque perpetua voluptas gigni potest: functionem muneris enim consequitur. Nonnulla autem delectant, quamdiu nova sunt; sed posterius non æque, propter hanc causam: principio enim incum-

διάνοια, καὶ διατεταμένως περὶ αὐτὰ ἐνεργεῖ, ὥσπερ κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες· μετέπειτα δὲ, οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια, ἀλλὰ παρημελημένη. Διὸ καὶ ἡ ἡδονὴ [y] ἀμαυροῦται. Ὀρέγεσθαι δὲ τῆς ἡδονῆς οἰηθείη τις ἂν ἅπαντας, ὅτι καὶ τοῦ ζῆν ἅπαντες ἐφίενται· ἡ δὲ ζωὴ, ἐνέργειά τίς ἐστι· καὶ ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ, ἃ καὶ μάλιστα ἀγαπᾷ· οἷον, ὁ μὲν μουσικὸς, τῇ ἀκοῇ περὶ τὰ μέλη, ὁ δὲ φιλομαθὴς, τῇ διανοίᾳ περὶ τὰ θεωρήματα, οὕτω δὲ καὶ τῶν λοιπῶν ἕκαστος. Ἡ δὲ ἡδονὴ τελειοῖ τὰς ἐνεργείας· καὶ τὸ ζῆν δὲ, οὗ ὀρέγονται. Εὐλόγως οὖν καὶ τῆς ἡδονῆς ἐφίενται· τελειοῖ γὰρ ἑκάστῳ τὸ ζῆν, αἱρετὸν ὄν. Πότερον δὲ διὰ τὴν ἡδονὴν τὸ ζῆν αἱρούμεθα, ἢ διὰ τὸ ζῆν τὴν ἡδονὴν, ἀφείσθω ἐν τῷ παρόντι· συνεζεῦχθαι μὲν γὰρ ταῦτα φαίνεται, καὶ χωρισμὸν οὐ δέχεσθαι· ἄνευ τε γὰρ ἐνεργείας, οὐ γίνεται ἡδονὴ, πᾶσάν [z] τε ἐνέργειαν τελειοῖ ἡ ἡδονή.

[y] Ἀμαυροῦται El. sed ad oram γρ. ἀμαυροῦται. [z] Post τε Aurel. addit γάρ.

bit in ea cogitatio, et contente in iis suo munere fungitur, ut qui defixis oculis rem aliquam intuentur; postea vero talis in fungendo munere contentio non adhibetur, sed muneris functio remissior ac negligentior est. Quapropter voluptas quoque inobscuratur. Existimare autem possit aliquis, omnes idcirco expetere voluptatem, quia et vivendi cupiditate omnes afficiantur: vita autem muneris functio quædam sit: et in iis elaboret quisque maxime, suoque munere fungatur, quæ maxime adamat; ut musicus auditu in sonis et cantibus; disciplinarum studiosus agitatione mentis in cognitione rerum: et ita cæteri suo quisque in studio. At voluptas functiones muneris perficit atque absolvit: et vitam quoque, quam omnes expetunt. Non temere igitur etiam voluptatem appetunt: vitam enim, quæ cuique optabilis est, perficit. Utrum autem propter voluptatem vitæ retinendæ studio ducamur, an vivendi causa voluptatem sequamur, omittamus in præsenti disputare: videntur enim hæc inter se esse copulata, neque alterum ab altero posse sejungi: nam neque sine aliqua muneris functione gignitur voluptas, et omnem muneris functionem perficit voluptas.

ΚΕΦ. ε'.

ΟΘΕΝ δοκοῦσι καὶ τῷ εἴδει διαφέρειν· τὰ γὰρ ἕτερα τῷ εἴδει, ὑφ' ἑτέρων οἰόμεθα [a]τελειοῦσθαι· οὕτω γὰρ φαίνεται καὶ τὰ φυσικὰ, καὶ τὰ ὑπὸ τέχνης, οἷον ζῶα, καὶ δένδρα, καὶ γραφὴ, καὶ ἀγάλματα, καὶ οἰκία, καὶ σκεῦος. Ὁμοίως δὴ καὶ τὰς ἐνεργείας τὰς διαφερούσας τῷ εἴδει ὑπὸ διαφερόντων τῷ εἴδει τελειοῦσθαι. Διαφέρουσι δὲ αἱ τῆς διανοίας τῶν κατὰ τὰς αἰσθήσεις, καὶ αὗται ἀλλήλων κατ' εἶδος· καὶ αἱ τελειοῦσαι δὴ ἡδοναί. Φανείη δ' ἂν τοῦτο καὶ ἐκ τοῦ συνῳκειῶσθαι τῶν ἡδονῶν ἑκάστην τῇ ἐνεργείᾳ ἣν τελειοῖ· συναύξει γὰρ τὴν ἐνέργειαν ἡ οἰκεία ἡδονή· μᾶλλον γὰρ ἕκαστα κρίνουσι καὶ ἐξακριβοῦσιν οἱ μεθ' ἡδονῆς ἐνεργοῦντες· οἷον γεωμετρικοὶ γίνονται, οἱ χαίροντες τῷ γεωμετρεῖν, καὶ κατανοοῦσιν ἕκαστα μᾶλλον. Ὁμοίως δὲ καὶ φιλόμουσοι, καὶ φιλοικοδόμοι, καὶ τῶν ἄλλων ἕκαστοι, ἐπιδιδόασιν εἰς τὸ οἰκεῖον

[a] Διαφέρουσι δὲ αἱ τῆς διανοίας τῶν κατὰ τὰς αἰσθήσεις inseruntur in quibusdam Editis post τελειοῦσθαι.

CAP. V.

QUARE specie quoque differre videntur voluptates : nam quæ specie differunt, ab iis, quæ specie quoque differunt, perfici existimamus : videntur enim et res naturales, et eæ, quæ arte constant, ita se habere : exempli gratia, animalia, arbores, tabulæ pictæ, statuæ, domus, vasa. Simili igitur modo et muneris functiones, quæ specie differunt, ab iis, quæ specie differunt, voluptatibus perfici. Differunt autem specie functiones cogitationis, a sensuum functionibus, et hæ inter se : ergo et voluptates eæ, quæ illas perficiunt. Atque hoc ex eo etiam cognosci poterit, quod suæ quæque voluptas muneris functioni, quam perficit, conjuncta est : auget enim et amplificat muneris functionem sua voluptas : nam diligentius quidque judicant, accuratiusque persequuntur, et administrant, qui cum voluptate munere funguntur : verbi gratia, geometriæ fiunt periti, qui geometriæ studiis et actionibus delectantur, et unumquidque facilius ac planius intelligunt. Itemque musicæ, et artis ædificandi studiosi, et cæteri artifices magnos progressus in suo quisque studio et munere fa-

ἔργον, χαίροντες αὐτῷ. Συναύξουσι [b] δὴ αἱ ἡδοναί· τὰ δὲ συναύξοντα οἰκεῖα· τοῖς ἑτέροις δὲ τῷ εἴδει, καὶ τὰ οἰκεῖα, ἕτερα τῷ εἴδει. Ἔτι δὲ, μᾶλλον τοῦτ' ἂν φανείη ἐκ τοῦ τὰς ἀφ' ἑτέρων ἡδονὰς ἐμποδίους ταῖς ἐνεργείαις εἶναι· οἱ γὰρ [c] φίλαυλοι ἀδυνατοῦσι τοῖς λόγοις προσέχειν, ἐὰν κατακούσωσιν αὐλοῦντος, μᾶλλον χαίροντες αὐλητικῇ τῆς παρούσης ἐνεργείας. Ἡ κατὰ τὴν αὐλητικὴν οὖν ἡδονὴ τὴν περὶ τὸν λόγον ἐνέργειαν φθείρει. Ὁμοίως δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει, ὅταν ἅμα περὶ δύο ἐνεργῇ· ἡ γὰρ ἡδίων τὴν ἑτέραν ἐκκρούει· κ̓ ἐὰν πολὺ διαφέρῃ κατὰ τὴν ἡδονὴν, μᾶλλον, ὥστε [d] μηδὲ ἐνεργεῖν κατὰ τὴν ἑτέραν. Διὸ χαίροντες ὁτῳοῦν σφόδρα, οὐ πάνυ δρῶμεν ἕτερον· καὶ ἄλλα ποιοῦμεν, ἄλλοις ἠρέμα ἀρεσκόμενοι, οἷον καὶ ἐν τοῖς θεάτροις οἱ τραγηματίζοντες, ὅταν [e] φαῦλοι οἱ ἀγωνιζόμενοι ὦσι, [f] τότε μά-

[b] Δὶ pro δὴ El. et quidam Edd. [c] Οἱ φαῦλοι Bas. male. [d] Γρ. μηδέν.
[e] Οἱ abest a quibusdam Codd. [f] Tunc enim vel maxime hoc faciunt, cum

ciunt, si eo delectentur. Augent igitur studium et actionem voluptates: at quidquid auget, hoc ei, quod auget, familiare et conjunctum est: quæ autem iis, quæ specie differunt, accommodata et conjuncta sunt, ea quoque specie sunt diversa. Præterea planius hoc ex eo fieri poterit, quod eæ voluptates, quæ ab aliis ac diversis rebus proficiscuntur, propriis muneris functionibus impedimento sunt: nam qui tibiarum cantu delectantur, si aliquem, qui tibia canet, exaudierint, orationi, quæ habetur, animum advertere non possunt: quoniam magis eos delectat tibiarum cantus, quam negotium, quod agitur. Ea igitur, quæ ex tibiarum sonis percipitur, voluptas, muneris functionem eam, quæ in oratione habenda expromitur, corrumpit. Itemque hoc in aliis usu venit, cum quis simul duabus rebus operam dat: quæ enim muneris functio jucundior est, ea depellit ac discutit alteram, eoque magis, quo major sit illius voluptas, adeo ut in altera re suo munere fungi non possit. Itaque cum re aliqua, quæcunque illa sit, vehementer delectamur, non fere aliud facimus: contra cum aliquid aliud leviter modiceque probamus, aliud agimus: cujusmodi est id, quod fit ab iis, qui in theatris edunt bellaria: tunc enim vel maxime hoc

λιστα αὐτὸ δρῶσιν. Ἐπεὶ δ' ἡ μὲν οἰκεία ἡδονὴ ἐξακριβοῖ τὰς ἐνεργείας, καὶ χρονιωτέρας καὶ βελτίους ποιεῖ, αἱ δὲ ἀλλότριαι λυμαίνονται, δῆλον ὡς πολὺ διεστᾶσι. Σχεδὸν γὰρ αἱ ἀλλότριαι ἡδοναὶ ποιοῦσιν ὅπερ αἱ οἰκεῖαι λῦπαι· φθείρουσι γὰρ τὰς ἐνεργείας αἱ οἰκεῖαι λῦπαι, οἷον εἴτῳ τὸ γράφειν ἀηδὲς καὶ ἐπίλυπον, ἢ τὸ λογίζεσθαι, ὁ μὲν οὐ γράφει, ὁ δὲ οὐ λογίζεται, λυπηρᾶς οὔσης τῆς ἐνεργείας. Συμβαίνει δὴ περὶ τὰς ἐνεργείας τοὐναντίον ἀπὸ τῶν οἰκείων ἡδονῶν τε καὶ λυπῶν. Οἰκεῖαι δ' εἰσὶν, αἱ ἐπὶ τῇ ἐνεργείᾳ καθ' αὐτὴν γινόμεναι. Αἱ δὲ ἀλλότριαι ἡδοναὶ, εἴρηται, ὅτι παραπλήσιόν τι τῇ λύπῃ ποιοῦσι· φθείρουσι γὰρ, πλὴν οὐχ ὁμοίως. Διαφερουσῶν δὲ τῶν ἐνεργειῶν ἐπιεικείᾳ καὶ φαυλότητι, καὶ τῶν μὲν αἱρετῶν οὐσῶν, τῶν δὲ φευκτῶν, τῶν δὲ οὐδετέρων, ὁμοίως ἔχουσι καὶ αἱ ἡδοναί· καθ' ἑκάστην γὰρ ἐνέργειαν οἰκεία ἡδονή

inepti et mali sunt *equorum agitatores*, aut histriones. *Lamb.* Interpres hoc loco secutus est Eustratium, qui sic explicat: Δηλοῖ τὸ συμβαῖνον ἐν ταῖς ἱπποδρομίαις· οὐδεὶς γὰρ τῶν θεατῶν, ἀγωνιζομένων τῶν ἡνιόχων, ἄλλο τι πράττει, ἀλλ' ἐκείνοις πάνυ προσέχουσι διὰ τὸ σφόδρα χαίρειν τοῖς τῶν ἵππων δρόμοις, καὶ ταῖς τῶν ἡνιόχων ἐνεργείαις. Sed *Histriones* etiam sive *Actores* significat οἱ ἀγωνιζόμενοι, quod Lambinum non latuit. Qui quidem posterior sensus et menti Aristotelis, et Andronici interpretationi est magis accommodatus.

faciunt, cum inepti et mali sunt equorum agitatores, aut histriones. Quoniam autem propria voluptas muneris functiones cum limatas atque accuratas efficit, tum diuturniores, ac meliores reddit; alienæ autem corrumpunt: perspicuum est, inter eas multum interesse. Propemodum enim idem, quod proprii dolores, efficiunt alienæ voluptates: muneris enim functiones corrumpunt proprii dolores: verbi gratia, si cui scribere, aut ratiocinari sit injucundum, ac molestum, ille non scribit, hic non ratiocinatur, quia molesta est hujus muneris functio. Evenit igitur muneris functionibus a propriis voluptatibus contrarium ejus, quod a propriis doloribus efficitur. Sunt autem ii proprii dolores, eæque propriæ voluptates, quæ muneris functionem per se subsequuntur. Diximus autem alienas voluptates simile quiddam dolori efficere: corrumpunt enim, sed dissimili modo. Jam cum functiones muneris bonitate et vitio inter se differant, aliæque sint expetendæ, aliæ fugiendæ atque aspernandæ, aliæ neutræ; similis est ratio etiam voluptatum: sua enim cujus-

ἐστιν. Ἡ μὲν οὖν τῇ σπουδαίᾳ οἰκεία, ἐπιεικής, ἡ δὲ τῇ φαύλῃ, μοχθηρά· καὶ γὰρ αἱ ἐπιθυμίαι τῶν μὲν καλῶν, ἐπαινεταί· τῶν δ' αἰσχρῶν, ψεκταί. Οἰκειότεραι δὲ ταῖς ἐνεργείαις αἱ ἐν αὐταῖς ἡδοναὶ, τῶν ὀρέξεων· αἱ μὲν γὰρ διωρισμέναι εἰσὶ καὶ τοῖς χρόνοις, καὶ τῇ φύσει· αἱ δὲ, σύνεγγυς ταῖς ἐνεργείαις, καὶ ἀδιόριστοι οὕτως, ὥστ' ἔχειν ἀμφισβήτησιν, εἰ ταὐτόν ἐστιν ἡ ἐνέργεια τῇ ἡδονῇ. Οὐ μὴν ἔοικέ γε ἡδονὴ διάνοια εἶναι, οὐδ' αἴσθησις· ἄτοπον γάρ· ἀλλὰ διὰ τὸ μὴ χωρίζεσθαι, φαίνεταί ταὐτόν τισιν. Ὥσπερ οὖν αἱ ἐνέργειαι ἕτεραι, καὶ αἱ ἡδοναί. Διαφέρει δὲ ἡ ὄψις ἁφῆς καθαριότητι, καὶ ἀκοὴ καὶ ὄσφρησις γεύσεως. Ὁμοίως [g] δὴ διαφέρουσι καὶ αἱ ἡδοναί· καὶ τούτων αἱ περὶ τὴν διάνοιαν, καὶ ἑκάτεραι ἀλλήλων. Δοκεῖ δ' εἶναι ἑκάστῳ ζώῳ καὶ ἡδονὴ οἰκεία, ὥσπερ καὶ ἔργον· ἡ γὰρ κατὰ τὴν ἐνέργειαν. Καὶ ἐφ' ἑκάστῳ δὲ θεωροῦντι, τοῦτ' ἂν φανείη· ἑτέρα γὰρ ἵππου ἡδονὴ,

[g] Γρ. δέ.

que functionis muneris voluptas est. Atque ea quidem, quæ bonæ propria est, bona est; quæ malæ, vitiosa: nam et cupiditates rerum honestarum sunt laudabiles; turpium vituperabiles. Verum muneris functionibus propinquiores et conjunctiores sunt eæ, quæ in eis insunt, voluptates, quam appetitiones: hæ enim distinctæ sunt et temporibus, et natura; illæ functionibus muneris sunt proximæ et cohærent, itaque sunt indistinctæ et confusæ, ut controversia sit, an idem sit muneris functio, quod voluptas. Non tamen videtur voluptas, cogitationis, aut sensus esse functio; absurdum enim fuerit: sed propterea quod non separantur, idem esse nonnulli existimant. Quemadmodum igitur dissimiles sunt inter se muneris functiones, sic et voluptates. Differt autem videndi sensus a tactu sinceritate, auditusque et odoratus a gustatu. Similiter igitur differunt et voluptates: et ab his eæ, quæ in cogitatione versantur, et utræque inter se. Videtur autem sua cujusque animalis, ut et munus, esse voluptas; est enim functioni muneris consentanea cujusque animantis propria. Quod in singulis si quis spectare voluerit, perspicuum esse poterit: alia enim equi voluptas est, alia canis, alia

καὶ κυνὸς, καὶ ἀνθρώπου· καθάπερ Ἡράκλειτός φησιν, [h] *ὄνον σύρματα ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις. Αἱ μὲν οὖν τῶν ἑτέρων τῷ εἴδει, διαφέρουσιν εἴδει, τὰς δὲ τῶν αὐτῶν ἀδιαφόρους εὔλογον εἶναι. Διαλλάττουσι δὲ οὐ μικρὸν ἐπί γε τῶν ἀνθρώπων· τὰ γὰρ αὐτὰ, τοὺς μὲν λυπεῖ, τοὺς δὲ τέρπει· καὶ τοῖς μὲν λυπηρὰ καὶ μισητά ἐστι, τοῖς δὲ ἡδέα καὶ φιλητά. Καὶ ἐπὶ γλυκέων δὲ τοῦτο συμβαίνει·* [i] *οὐ γὰρ τὰ αὐτὰ τῷ πυρέττοντι δοκεῖ, καὶ τῷ ὑγιαίνοντι· οὐδὲ θερμὸν εἶναι τῷ ἀσθενεῖ καὶ τῷ εὐεκτικῷ· ὁμοίως δὲ καὶ ἐφ᾽ ἑτέρων τοῦτο συμβαίνει. Δοκεῖ δ᾽ ἐν ἅπασι τοῖς τοιούτοις εἶναι τὸ φαινόμενον τῷ σπουδαίῳ. Εἰ δὲ τοῦτο καλῶς λέγεται, καθάπερ δοκεῖ,* [k] *καὶ ἔστιν ἑκάστου μέτρον ἡ ἀρετὴ, καὶ ὁ ἀγαθὸς, ᾗ τοιοῦτος· καὶ ἡδοναὶ εἶεν ἂν αἱ τούτῳ φαινόμεναι, καὶ ἡδέα, οἷς οὗτος χαίρει. Τὰ δὲ τούτῳ δυσχερῆ, εἴτῳ φαίνεται ἡδέα, οὐδὲν θαυμαστόν· πολλαὶ γὰρ* [l] *φθοραὶ καὶ λῦμαι*

[h] Γρ. ὄνους: et sic C C C. [i] Καὶ pro οὐ habet C C C. male. [k] Καὶ ἔστι καὶ ἑκ. C C C. et alii; sed mendose, si Lambinum audiamus. [l] Alii καὶ φθοραί.

hominis: quemadmodum ait Heraclitus, asino culmos et paleas auro esse optabiliores: jucundius enim est asinis pabulum, quam aurum. Eorum igitur, quæ specie differunt, specie quoque differunt voluptates: eas autem, quæ sunt eorundem, easdem esse probabile est. Verum in hominibus magna est earum varietas: eadem enim alios offendunt, alios delectant: et his odiosa ac molesta sunt, illis amabilia et jucunda. Atque hoc in rebus dulcibus usu venit: non enim eadem ei, qui æstu febrique jactatur, et valenti dulcia videntur: nec idem calidum ægro atque imbecillo, et ei, cui corpus firmum et bene constitutum est: similiterque hoc in aliis accidit. Sed in omnibus, quæ sunt hujusmodi, id esse videtur, quod viro bono, virtuteque prædito videtur. Quod si hoc recte dicitur, ut videtur, et si uniuscujusque rei mensura virtus, et vir bonus est, qua talis est: erunt et eæ profecto voluptates, quæ huic videntur voluptates: et ea jucunda, quibus hic delectatur. Neque vero mirum cuiquam esse debebit, si, quæ huic sunt aspera et molesta, ea alicui esse jucunda videantur: multæ enim exoriuntur hominum pestes

ἀνθρώπων γίνονται· ἡδέα δ' οὐκ ἔστιν, ἀλλὰ τούτοις, καὶ οὕτω διακειμένοις. Τὰς μὲν οὖν ὁμολογουμένως αἰσχρὰς, δῆλον ὡς οὐ φατέον ἡδονὰς εἶναι, πλὴν τοῖς διεφθαρμένοις. Τῶν δ' ἐπιεικῶν δοκουσῶν εἶναι, ποίαν ἢ τίνα φατέον τοῦ ἀνθρώπου εἶναι; ἢ ἐκ τῶν ἐνεργειῶν δῆλον; ταύταις γὰρ ἕπονται αἱ ἡδοναί. Εἴτ' οὖν μία ἐστὶν, εἴτε πλείους, αἱ τοῦ τελείου καὶ μακαρίου ἀνδρὸς, αἱ ταύτας τελειοῦσαι ἡδοναὶ κυρίως λέγοιντ' ἂν ἀνθρώπου ἡδοναὶ εἶναι· αἱ δὲ λοιπαὶ, δευτέρως καὶ πολλοστῶς, ὥσπερ αἱ ἐνέργειαι.

ΚΕΦ. ϛ'.

[m] ΕΙΡΗΜΕΝΩΝ δὲ τῶν [n] περὶ τὰς ἀρετάς τε καὶ φιλίας καὶ ἡδονὰς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν, ἐπειδὴ τέλος αὐτὴν τίθεμεν τῶν ἀνθρωπίνων. Ἀναλαβοῦσι δὴ τὰ προειρημένα, συντομώτερος ἂν εἴη ὁ λόγος. [o] Εἴπομεν δ', ὅτι οὐκ ἔστιν ἕξις· καὶ γὰρ τῷ καθεύδοντι διὰ βίου ὑπ-

[m] Redit jam tandem ad hominis beatitudinem, quam primo libro finem esse Moralis Philosophiæ statuerat: ut a quo ceu fundamento Disputatio de Moribus cœpit, in idem revolvatur. [n] Περὶ τῆς ἀρετῆς τε καὶ φιλίας καὶ ἡδονῆς C C C. sed perperam. [o] Lib. i.

et corruptelæ: non sunt autem illa jucunda, sed his, et sic affectis. Eæ igitur, quæ sine controversia sunt inhonestæ voluptates, non sunt videlicet dicendæ voluptates, nisi forte hominibus corruptis ac depravatis. Sed earum, quæ videntur esse bonæ, qualis, aut quænam hominis dicenda voluptas est? an hoc declarabunt muneris functiones? has enim suæ consequuntur voluptates. Sive igitur una, sive plures sunt perfecti et beati viri muneris functiones, eæ, quæ has perficiunt, voluptates, proprie dici possunt hominis esse voluptates: reliquæ autem secundo loco, et longo post intervallo, quemadmodum et muneris functiones.

CAP. VI.

EXPOSITIS iis, quæ ad virtutes, amicitias, et voluptates pertinent: reliquum est, ut de beatitudine, quoniam eam ultimum bonorum humanorum ponimus, formam ejus adumbrantes, disseramus. Itaque repetitis iis, quæ supra diximus, brevior erit oratio. Diximus autem non esse habitum: nam si ita esset, ejus compos esse posset

ἄρχοι ἄν, φυτοῦ ζῶντι βίον, καὶ τῷ δυστυχοῦντι τὰ μέγιστα. [p]Εἰ δὴ ταῦτα μὴ ἀρέσκει, ἀλλὰ μᾶλλον εἰς ἐνέργειάν τινα θετέον, καθάπερ ἐν τοῖς πρότερον εἴρηται, τῶν δ' ἐνεργειῶν, αἱ μέν εἰσιν ἀναγκαῖαι καὶ δι' ἕτερα αἱρεταὶ, αἱ δὲ καθ' αὑτάς· δῆλον ὅτι τὴν εὐδαιμονίαν τῶν καθ' αὑτὰς αἱρετῶν τινα θετέον, καὶ οὐ τῶν δι' ἄλλο· οὐδενὸς γὰρ ἐνδεὴς ἡ εὐδαιμονία, ἀλλ' αὐτάρκης. Καθ' αὑτὰς δ' εἰσὶν αἱρεταὶ, ἀφ' ὧν μηδὲν ἐπιζητεῖται παρὰ τὴν ἐνέργειαν. [q]Τοιαῦται δ' εἶναι δοκοῦσιν αἱ κατ' ἀρετὴν πράξεις· τὰ γὰρ καλὰ καὶ σπουδαῖα πράττειν, τῶν δι' αὑτὰ αἱρετῶν· καὶ τῶν παιδιῶν δὲ, αἱ ἡδεῖαι. Οὐ γὰρ δι' ἕτερα αὐτὰς αἱροῦνται· βλάπτονται γὰρ ἀπ' αὐτῶν μᾶλλον ἢ ὠφελοῦνται, ἀμελοῦντες τῶν σωμάτων καὶ τῆς κτήσεως. Καταφεύγουσι δ' ἐπὶ τὰς τοιαύτας διαγωγὰς τῶν εὐδαιμονιζομένων οἱ πολλοί. Διὸ παρὰ τοῖς τυράννοις εὐδοκιμοῦσιν οἱ ἐν ταῖς τοιαύταις διαγωγαῖς εὐτρά-

[p] Γρ. εἰ δὲ ταῦτ'. [q] Alii τοιαῦτα.

etiam is, qui in omni vita nihil aliud, quam dormiat, et stirpis vitam degat: et qui maximis calamitatibus afficiatur. Quod si hæc non probantur, sed functio quædam muneris potius statuenda est, quemadmodum superioribus libris ostendimus: et si muneris functiones aliæ sunt necessariæ, et propter alia expetendæ, aliæ per se: perspicuum est, beatitudinem in earum numero, quæ per se sunt expetendæ, non earum, quæ propter aliud, habendam esse: nullius enim rei beatitudo indiget: sed suis bonis contenta est. Per se autem eæ sunt optabiles, a quibus nihil præter ipsam functionem muneris requiritur. Quales videntur esse tum consentaneæ virtuti actiones (nam in rebus honestis ac bonis agendis assidue versari, in rebus per se expetendis numeratur) tum etiam ex ludis ii, qui remissionis animorum, et oblectationis causa sunt instituti. Non enim propter aliud eos sequuntur, cum detrimento ab iis afficiantur potius, quam utilitatem capiant, neque corporum, neque fortunarum curam habentes. Atque ad talem vivendi consuetudinem confugiunt plerique eorum, qui habentur beati. Itaque apud reges et principes magno sunt in honore et pretio, qui

πελοι· ὧν γὰρ ἐφίενται, ἐν τούτοις παρέχουσι σφᾶς αὐτοὺς ἡδεῖς· δέονται δὲ [r] τοιούτων. Δοκεῖ μὲν οὖν εὐδαιμονικὰ ταῦτα εἶναι, [s] διὰ τοὺς ἐν ταῖς δυναστείαις ἐν τούτοις [t] ἀποσχολάζειν. Οὐδὲν δὲ ἴσως σημεῖον οἱ τοιοῦτοί εἰσιν· οὐ γὰρ ἐν τῷ δυναστεύειν ἡ [u] ἀρετὴ, οὐδ' ὁ νοῦς, ἀφ' ὧν αἱ σπουδαῖαι ἐνέργειαι· οὐδ' εἰ ἄγευστοι οὗτοι ὄντες ἡδονῆς εἰλικρινοῦς καὶ ἐλευθερίου, ἐπὶ τὰς σωματικὰς καταφεύγουσι, διὰ τοῦτο ταύτας οἰητέον αἱρετωτέρας εἶναι· καὶ γὰρ οἱ παῖδες, τὰ [x] παρ' αὐτοῖς τιμώμενα, κράτιστα οἴονται εἶναι. Εὔλογον δὴ, ὥσπερ παισὶ καὶ ἀνδράσιν ἕτερα φαίνεται τίμια, οὕτω καὶ φαύλοις καὶ ἐπιεικέσι. Καθάπερ οὖν πολλάκις εἴρηται, καὶ τίμια καὶ ἡδέα ἐστὶ τὰ τῷ σπουδαίῳ τοιαῦτα ὄντα. Ἑκάστῳ δὲ ἡ κατὰ τὴν οἰκείαν ἕξιν, αἱρετωτάτη ἐνέργεια· καὶ τῷ σπουδαίῳ δὲ [y] ἡ κατὰ τὴν ἀρετήν. Οὐκ ἐν παιδιᾷ ἄρα ἡ εὐδαιμονία· καὶ

[r] Τούτων C C C. et nonnulli Editi. [s] Διὰ τὸ τοὺς ἐν ταῖς δ. in quibusdam Codd. invenisse se testatur Sylburgius. Vide lib. i. cap. 5. [t] Γρ. ἀπασχολάζειν. [u] Γρ. ἀρετὴ δέ. [x] In quibusdam Codd. MSS. scribitur παρ' αὐτοῖς, et id malit Casaubonus. [y] Abest illud ἡ a libro C C C.

in hujusmodi vitæ degendæ consuetudine sunt comes et urbani: nam quæ illi expetunt, in his sese præbent suaves et jucundos: quo genere hominum illi indigent. Hæc igitur ad vitam beatam idcirco videntur pertinere, quia homines imperio ac potestate præditi talibus in rebus totos dies occupati sunt. Sed ex hujusmodi hominum vita fortasse hujus rei argumentum sumi non debet: neque enim in principatu et potentia consistit virtus, neque mens, a quibus probæ muneris functiones proficiscuntur; neque si hi, quia puram et liberalem voluptatem nunquam gustarunt, ad corporis voluptates confugiunt, idcirco nos oportet existimare has magis esse expetendas: nam et pueri, quæ apud ipsos in honore sunt et pretio, arbitrantur esse optima. Probabile est igitur quemadmodum alia pueris, alia viris, magni pretii esse videntur: sic alia videri vitiosis hominibus, alia bonis viris. Ea igitur, ut sæpe a nobis dictum est, et magni pretii et jucunda sunt, quæ viro bono, virtuteque prædito talia sunt. Sed cum unicuique homini ea, quæ cujusque habitui convenit, muneris functio, optabilissima est: tum viro bono ea, quæ virtuti. Non igitur in ludo vita beata posita est:

γὰρ ἄτοπον τὸ τέλος εἶναι παιδιὰν, καὶ πραγματεύεσθαι καὶ κακοπαθεῖν τὸν βίον ἅπαντα τοῦ παίζειν χάριν· ἅπαντα γὰρ, ὡς εἰπεῖν, ἑτέρου χάριν αἱρούμεθα, πλὴν τῆς εὐδαιμονίας· τέλος γὰρ αὕτη. Σπουδάζειν δὲ καὶ πονεῖν παιδιᾶς χάριν, ἠλίθιον φαίνεται καὶ λίαν παιδικόν. Παίζειν δ' ὅπως σπουδάζῃ, κατ' Ἀνάχαρσιν, ὀρθῶς ἔχειν δοκεῖ· ἀναπαύσει γὰρ ἔοικεν ἡ παιδιά. Ἀδυνατοῦντες δὲ συνεχῶς πονεῖν, ἀναπαύσεως δέονται. Οὐ δὴ τέλος ἡ ἀνάπαυσις· γίνεται γὰρ ἕνεκα τῆς ἐνεργείας. Δοκεῖ δ' ὁ εὐδαίμων βίος κατ' ἀρετὴν εἶναι· οὗτος δὲ [z] σπουδαῖος, ἀλλ' οὐκ ἐν παιδιᾷ. Βελτίω τε λέγομεν τὰ σπουδαῖα τῶν γελοίων, καὶ μετὰ παιδιᾶς, καὶ τοῦ βελτίονος ἀεὶ καὶ μορίου καὶ ἀνθρώπου σπουδαιοτέραν τὴν ἐνέργειαν· [a] ἡ δὲ τοῦ βελτίονος, κρείττων καὶ εὐδαιμονικωτέρα ἤδη. Ἀπολαύσειε τ' ἂν τῶν σωματικῶν ἡδονῶν ὁ τυχὼν καὶ ἀνδράποδον, οὐχ ἧττον τοῦ ἀρίστου. Εὐδαιμονίας δ' οὐδεὶς ἀν-

[z] Γρ. μετὰ σπουδῆς.

[a] Quidam Codd. εἰ δέ.

absurdum sit enim ultimum bonorum esse ludum et jocum, totamque vitam in negotio conterere, plurimosque labores adire, ac molestias suscipere ludendi ac jocandi causa: omnia enim fere propter aliud sequimur et optamus, præterquam vitam beatam; hæc enim omnium bonorum finis est. Res autem serias agere, et laborem sufferre ac perpeti ludi causa, stultum videtur, valdeque puerile. Ludere vero et res serias agas, ut sentit Anacharsis, probandum videtur: requieti enim similis ludus est. Verum quoniam perpetuum laborem ferre non possumus, laxamenti et requietis indigemus. Non est igitur finis requies: fungendi enim muneris causa quiescimus et cessamus. Præterea vita beata ea videtur esse, quæ ex virtute est: at hæc in rebus gravibus et seriis, non in ludo, neque in joco posita est. Jam vero meliores esse res serias ridiculis, ludicrisque ac jocosis: et tum partis animi, tum hominis melioris functionem semper esse graviorem magisque seriam dicimus: at melioris partis hominisve functio et ipsa melior est, et ad vitam beatam efficiendam plus valet. Præterea corporis voluptatibus postremus homo, et mancipium non minus, quam vir optimus et præstantissimus potiatur. Beatitudinem autem mancipio

δραπόδῳ μεταδίδωσιν, [b] εἰ μὴ [c] καὶ βίου· οὐ γὰρ ἐν ταῖς τοιαύταις διαγωγαῖς ἡ εὐδαιμονία, ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις, καθάπερ καὶ πρότερον εἴρηται.

ΚΕΦ. ζ'.

Εἰ δ' ἐστὶν ἡ εὐδαιμονία, κατ' ἀρετὴν ἐνέργεια, εὔλογον κατὰ τὴν κρατίστην· [d] αὕτη δ' εἴη τοῦ ἀρίστου. Εἴτε δὴ νοῦς τοῦτο, εἴτε ἄλλο τι, ὃ δὴ κατὰ φύσιν δοκεῖ ἄρχειν καὶ ἡγεῖσθαι, καὶ ἔννοιαν ἔχειν περὶ καλῶν καὶ θείων· εἴτε θεῖον ὂν καὶ αὐτὸ, εἴτε τῶν ἐν ἡμῖν τὸ θειότατον· ἡ τούτου ἐνέργεια κατὰ τὴν οἰκείαν ἀρετὴν εἴη ἂν ἡ τελεία εὐδαιμονία. Ὅτι δ' ἐστὶ θεωρητικὴ, [e] εἴρηται. Ὁμολογούμενον δὲ τοῦτ' ἂν δόξειεν εἶναι καὶ τοῖς πρότερον, καὶ τῷ ἀληθεῖ· κρατίστη τε γὰρ αὕτη ἐστὶν ἡ ἐνέργεια· καὶ γὰρ ὁ νοῦς τῶν ἐν ἡμῖν, καὶ τῶν γνωστῶν, περὶ ἃ ὁ νοῦς. Ἔτι δὲ συνεχεστάτη· θεωρεῖν τε γὰρ δυ-

[b] *Εἰ μὴ καὶ βίου.* Eustratius et Argyrop. subintelligunt *σπουδαίου*, alii *εὐδαίμονος*; quam scripturam si quis magis probet, interpretari ita debebit: *nisi et vitam beatam.* Ego illos secutus sum. *Lamb.* [c] *Καὶ* deest C C C. [d] *Αὕτη δ' ἂν εἴη* C C C. [e] Vide lib. i. cap. ult.

impertit nemo, nisi et vitam cum virtute conjunctam: non enim in talibus vitæ degendæ generibus beatitudo posita est, sed in actionibus virtuti consentaneis, quemadmodum et supra diximus.

CAP. VII.

QUOD si beatitudo, muneris functio est virtuti consentanea, probabile est eam præstantissimæ virtuti esse consentaneam: atque hæc fuerit ejus, quod in homine est optimum. Sive igitur quidem hoc mens sit, sive aliud quippiam, quod videtur imperare ac præesse debere natura, rerumque honestarum ac divinarum in sese notionem continere (sive divinum sit hoc ipsum, sive eorum, quæ in nobis sunt, divinissimum) hujus muneris functio ex propria virtute, perfecta et absoluta erit beatitudo. Esse autem in contemplatione rerum positam, supra diximus. Quod quidem et superioribus nostris disputationibus, et veritati congruere videatur: præstantissima enim hæc est muneris functio: nam et eorum, quæ sunt in nobis, mens quiddam est longe optimum, et omnium, quæ cognosci possunt, ea, quæ mente complectimur, longe sunt optima. Præterea vero et maxi-

νάμεθα συνεχῶς μᾶλλον, ἢ πράττειν ὁτιοῦν. Οἰόμεθά τε δεῖν ἡδονὴν παραμεμῖχθαι τῇ εὐδαιμονίᾳ· ἡδίστη δὲ τῶν κατ' ἀρετὴν ἐνεργειῶν, ἡ κατὰ τὴν σοφίαν ὁμολογουμένως ἐστί. Δοκεῖ γοῦν [f] ἡ σοφία θαυμαστὰς ἡδονὰς ἔχειν καθαριότητι ϗ [g] τῷ βεβαίῳ. Εὔλογον δὲ τοῖς εἰδόσι τῶν ζητούντων ἡδίω τὴν ἀγωγὴν εἶναι. Ἥτε λεγομένη αὐτάρκεια, περὶ τὴν [h] θεωρητικὴν μάλιστ' ἂν εἴη· τῶν μὲν γὰρ πρὸς τὸ ζῆν ἀναγκαίων, καὶ σοφὸς, καὶ δίκαιος, καὶ οἱ λοιποὶ δέονται· τοῖς δὲ τοιούτοις ἱκανῶς κεχορηγημένων, ὁ μὲν δίκαιος δεῖται πρὸς οὓς δικαιοπραγήσει, ϗ μεθ' ὧν· ὁμοίως δὲ καὶ ὁ σώφρων, καὶ ὁ ἀνδρεῖος, καὶ τῶν ἄλλων ἕκαστος. Ὁ δὲ σοφὸς, καὶ καθ' αὑτὸν ὢν, δύναται θεωρεῖν· ϗ ὅσῳ ἂν [i] σοφὸς ᾖ, μᾶλλον· βέλτιον δ' ἴσως, [k] συνεργοὺς ἔχων· ἀλλ' ὅμως αὐταρκέστατος. [l] Δόξειε δ' ἂν αὐτὴ μόνη δι' αὑτὴν ἀγαπᾶσθαι·

[f] Secutus sum libros Florentinos, et cæteros fere omnes vulgatos, in quibus ita scriptum est. Vetus Interpres et Argyrop. legerunt ἡ φιλοσοφία, quod si quis probet, non repugno. *Lamb.* [g] Eustratius legit τῷ τιμίῳ. [h] Pro θεωρητικὴν C C C. habet θεωρικήν. [i] Γρ. σοφώτερος. [k] Vetus Interpres videtur legisse συνεργοὺς ἔχειν. [l] Pro δόξειε δ' ἂν C C C. legit δόξειέ τ' ἂν μόνη, omissa αὐτή.]

me assidua: nam res assidue contemplari magis, quam quidvis agere possumus. Et cum beatitudini admistam et quasi implicatam esse voluptatem arbitremur: tum omnium muneris functionum, quæ virtuti congruunt, eam, quæ ex sapientia est, jucundissimam esse omnes uno ore consentiunt. Videtur itaque sapientia mirabiles quasdam tum sinceritate, tum stabilitate voluptates continere. Probabile est autem eos, qui sciunt, quam eos, qui quærunt, vitam traducere jucundiorem. Tum ea, quæ appellatur, vita bonis omnibus per se cumulata, nihilque externum desiderans, in ea beatitudine maxime, quæ in rerum contemplatione versatur, reperietur: nam eorum sane, quæ ad cultum vitæ necessaria sunt, et sapiens, et justus, et reliqui omnes indigent: sed cum hi talibus abunde fuerint instructi, vir justus erga quos, et cum quibus justas actiones obeat, itemque temperans, et fortis, et cæteri desiderabunt. At sapiens etiam cum secum erit, res poterit contemplari, tantoque magis, quanto sapientior fuerit: fortasse vero melius, si quos habeat adjutores: verum tamen omnium maxime se ipso contentus est.

οὐδὲν γὰρ ἀπ᾽ αὐτῆς γίνεται παρὰ τὸ θεωρῆσαι. Ἀπὸ δὲ τῶν πρακτῶν, ἢ πλεῖον ἢ ἔλαττον περιποιούμεθα παρὰ τὴν πρᾶξιν. Δοκεῖ τε ἡ εὐδαιμονία ἐν τῇ σχολῇ εἶναι· ἀσχολούμεθα γὰρ, ἵνα σχολάζωμεν, καὶ πολεμοῦμεν, ἵνα εἰρήνην ἄγωμεν. Τῶν μεν οὖν πρακτικῶν ἀρετῶν, ἐν τοῖς πολιτικοῖς ἢ τοῖς πολεμικοῖς αἱ ἐνέργειαι· αἱ δὲ περὶ ταῦτα πράξεις, δοκοῦσιν ἄσχολοι εἶναι. Αἱ μὲν οὖν πολεμικαὶ, καὶ παντελῶς· οὐδεὶς γὰρ αἱρεῖται τὸ πολεμεῖν, τοῦ πολεμεῖν ἕνεκα, οὐδὲ [m] παρασκευάζειν πόλεμον· δόξαι γὰρ ἂν παντελῶς μιαιφόνος τις εἶναι, εἰ τοὺς φίλους πολεμίους ποιοῖτο, ἵνα μάχαι καὶ φόνοι γίγνοιντο. Ἔστι δὲ καὶ ἡ τοῦ πολιτικοῦ, ἄσχολος, καὶ παρ᾽ αὐτὸ τὸ πολιτεύεσθαι, περιποιουμένη δυναστείας καὶ τιμὰς, ἢ τήν γε εὐδαιμονίαν αὐτῷ καὶ τοῖς πολίταις, [n] ἑτέραν οὖσαν τῆς πολιτικῆς, ἣν καὶ ζητοῦμεν· δῆλον ὡς ἑτέραν οὖσαν. Εἰ δὴ

[m] Γρ. in manuscr. παρασκευάζει, idque probo. *Casaubonus.* [n] Politicæ administrationis finis non est ipsa administratio, neque in ea beatitudo consistit: sed incolumitas et salus Reipublicæ, omniumque civium in universum, quæ diversa est ab administratione, rectam tamen administrationem sequitur. Neque placet Eustratius, qui nulla auctoritate in locum πολιτικῆς substituit θεωρητικῆς. *Zuing.*

Videatur autem ea sola beatitudo propter se diligi: nihil enim ex ea redit præter contemplationem. Ex iis autem rebus, quæ sub actionem veniunt, aliquid præter actionem aut plus aut minus consequimur. Præterea beatitudo in otio videtur esse sita: versamur enim in rebus gerendis, ut in otio vivamus; et bella gerimus, ut in pace vivamus. Ac virtutum quidem earum, quæ ad agendum valent, functiones aut in civilibus, aut in bellicis rebus positæ sunt: atque eæ, quæ in his versantur, actiones negotiosæ videntur esse. De bellicis igitur minime dubium est, quin sint omnino negotiosæ: nemo enim bellum gerendum, neque apparandum suscipit, ut bellum gerat: videatur enim plane impurus quidam sicarius ac sceleratus, si cum amicis inimicitias suscipiat, ut prælia committantur, et cædes fiant. Hominis quoque, qui in republica gerenda versatur, administratio negotiosa est: quæ, præter ipsam reipublicæ administrandæ curam atque operam, potentiam et honores, aut beatitudinem tum ei, tum civibus comparat, a facultate civili diversam ac differentem: quam etiam ut diversam videlicet

τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξεων [o] αἱ πολιτικαὶ καὶ πολεμικαὶ, [p] κάλλει ϗ μεγέθει προέχουσιν· αὗται δὲ ἄσχολοι ϗ τέλους τινὸς ἐφίενται, καὶ οὐ δι' αὑτάς εἰσιν αἱρεταί· ἡ δὲ τοῦ νοῦ ἐνέργεια σπουδῇ τε διαφέρειν δοκεῖ, θεωρητικὴ οὖσα, καὶ παρ' αὐτὴν οὐδενὸς ἐφίεσθαι τέλους, ἔχειν τε ἡδονὴν οἰκείαν· αὕτη δὲ συναύξει τὴν ἐνέργειαν· ϗ τὸ αὔταρκες δὲ ϗ σχολαστικὸν, καὶ ἄτρυτον, ὡς ἀνθρώπινον, καὶ ὅσα ἄλλα τῷ μακαρίῳ ἀπονέμεται, κατὰ ταύτην τὴν ἐνέργειαν φαίνεται ὄντα· [q] ἡ τελεία δὴ εὐδαιμονία αὕτη ἂν εἴη ἀνθρώπου, λαβοῦσα μῆκος βίου τέλειον· οὐδὲν γὰρ ἀτελές ἐστι τῶν τῆς εὐδαιμονίας. Ὁ δὲ τοιοῦτος ἂν εἴη κρείττων βίος, ἢ κατὰ ἄνθρωπον· οὐ γὰρ ᾗ ἄνθρωπός [r] ἐστιν, οὕτω βιώσεται, ἀλλ' ᾗ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει. Ὅσῳ δὲ διαφέρει τοῦτο τοῦ συνθέτου, τοσούτῳ ϗ ἡ ἐνέργεια τῆς κατὰ τὴν ἄλλην ἀρετήν. Εἰ δὴ θεῖον ὁ νοῦς πρὸς

[o] Γρ. αἱ πολεμικαὶ ϗ πολιτικαί. [p] Κάλλει deest C C C. [q] Ἡ τελεία εὐδαιμονία prætermisso δὴ C C C. Eustr. mox pro λαβοῦσα, legit ἀναλαβοῦσα. [r] Ἔστιν deest C C C.

quærimus. Si civiles igitur et bellicæ actiones omnibus iis, quæ virtutibus consentaneæ sunt, actionibus pulchritudine ac magnitudine antecellunt: hæ autem sunt negotiosæ, finemque aliquem expetunt, neque propter se sunt expetendæ: mentis vero functio gravitate et studio rerum seriarum videtur præstare cæteris, cum in rerum contemplatione versetur, et præter eam nullum alium finem expetere, propriamque voluptatem habere (hæc autem muneris functionem amplificat): copiam autem bonis omnibus cumulatam, nihilquè præterea desiderantem, et liberam cessandi otiandique facultatem, et occupationem defatigationis expertem, quantum res humanæ ferunt, et quæcunque alia beato tribuuntur, in hac functione muneris inesse constat: si igitur ita est, perfecta sane fuerit hæc hominis beatitudo, si perfectam vitæ longitudinem adepta sit; nihil enim eorum, quæ sunt beatitudinis, inchoatum et imperfectum est. Erit autem talis vita melior, quam hominis natura ferat: non enim qua homo est, ita vivet; sed qua divinum quiddam in eo inest. Quanto autem hæc particula toti, et concreto antecellit, tanto et ejus functio muneris ei functioni præstat, quæ alii virtuti consentanea est. Si igitur mens cum homine

τὸν ἄνθρωπον, καὶ ὁ κατὰ τοῦτον βίος, θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. Χρὴ δὲ οὐ κατὰ τοὺς παραινοῦντας, ἀνθρώπινα φρονεῖν, ἄνθρωπον ὄντα, οὐδὲ θνητὰ τὸν θνητόν· ἀλλ᾽ ἐφ᾽ ὅσον ἐνδέχεται ἀπαθανατίζειν, καὶ ἅπαντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὑτῷ· εἰ γὰρ καὶ τῷ ὄγκῳ μικρόν ἐστι, [s] δυνάμει καὶ τιμιότητι πολὺ μᾶλλον ὑπερέχει [t] πάντων. Δόξειε δ᾽ ἂν καὶ [u] ἕκαστον εἶναι τοῦτο, εἴ περ τὸ κύριον καὶ ἄμεινον. [v] Ἄτοπον οὖν γίνοιτ᾽ ἄν, εἰ μὴ τὸν [x] αὑτοῦ βίον αἱροῖτο, ἀλλά τινος ἄλλου. [y] Τὸ λεχθέν τε πρότερον ἁρμόσει καὶ νῦν· τὸ γὰρ οἰκεῖον ἑκάστῳ τῇ φύσει, κράτιστον καὶ ἥδιστόν ἐσθ᾽ ἑκάστῳ· καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ τὸν νοῦν βίος, εἴ περ [z] μάλιστα τοῦτο ἄνθρωπος. Οὗτος ἄρα καὶ εὐδαιμονέστατος.

[s] Ἀλλὰ δυνάμει C C C. et alii. [t] Πάντων deest C C C. [u] Ἕκαστον deest C C C. καὶ ἕκαστος Aur. quæ vera esse videtur lectio. [x] Αὐτοῦ C C C. [y] Vide lib. ix. cap. 4. [z] Cicero in Somnio Scipionis: *Nec enim tu is es, quem forma ista declarat, sed mens cujusque is est quisque, non ea figura, quæ digito demonstrari et oculis cerni potest.*

comparata divinum quiddam est: vita quoque menti consentanea divina sit necesse est, si cum humana conferatur. Neque vero nos oportet humana sapere ac sentire, ut quidam monent, cum simus homines; neque mortalia, cum mortales: sed nos ipsos, quoad ejus fieri potest, a mortalitate vindicare, atque omnia facere, ut ei nostri parti, quæ in nobis est optima, convenienter vivamus: nam etsi mole parva est, potestate tamen et honoris gradu longe omnibus antecellit. Et vero pars hæc unusquisque nostrum esse videatur, siquidem id, quod principatum obtinet, etiam melius est. Absurdum igitur fuerit, si quis non suam, sed alienam vitam expetat et sequatur. Præterea quod ante a nobis dictum est, etiam huic loco conveniet: nam quod cujusque proprium est natura, idem et optimum cuique est, et jucundissimum; ergo et homini optima ea vita est, quæ menti convenienter traducitur: siquidem hæc pars homo est maxime. Hæc igitur vita est beatissima.

ΚΕΦ. ή.

ΔΕΥΤΕΡΩΣ δ', ὁ κατὰ τὴν ἄλλην ἀρετήν· αἱ γὰρ κατ' αὐτὴν ἐνέργειαι, ἀνθρωπικαί· δίκαια γὰρ, καὶ ἀνδρεῖα, καὶ τὰ ἄλλα, τὰ κατὰ τὰς ἀρετὰς, πρὸς ἀλλήλους πράττομεν ἐν συναλλάγμασι καὶ χρείαις καὶ πράξεσι παντοίαις, ἔν τε τοῖς πάθεσι τὸ πρέπον ἑκάστῳ [a] διατηροῦντες. Ταῦτα δ' εἶναι φαίνεται πάντα ἀνθρωπικά. Ἔνια δὲ καὶ συμβαίνειν ἀπὸ τοῦ σώματος δοκεῖ, καὶ πολλὰ συνῳκειῶσθαι τοῖς πάθεσιν ἡ τοῦ ἤθους ἀρετή. Συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ, καὶ αὕτη τῇ φρονήσει· εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαὶ, κατὰ τὰς ἠθικάς εἰσιν ἀρετὰς, τὸ δ' ὀρθὸν τῶν ἠθικῶν, κατὰ τὴν φρόνησιν. [b] Συνηρτημέναι δ' αὗται καὶ τοῖς πάθεσι, καὶ περὶ τὸ σύνθετον ἂν εἶεν· [c] αἱ δὲ τοῦ συνθέτου ἀρεταὶ, ἀνθρωπικαί. Καὶ ὁ βίος δὴ ὁ κατ' αὐτὰς καὶ ἡ εὐδαιμονία. Ἡ δὲ τοῦ νοῦ, κεχωρισμένη· τοσοῦτον γὰρ

[a] Γρ. διαιροῦντες. [b] Bas. omittit καὶ post αὗται. Sed Eustratius longe aliter legit: συνηρτημέναι αὐταῖς καὶ τοῖς πάθεσιν: cujus tamen lectionis vestigium alibi non reperi. *Victorius.* [c] Αἱ δὴ CCC.

CAP. VIII.

SECUNDO autem loco ea, quæ alii virtuti consentanea est: muneris enim functiones ei convenientes humanæ sunt: justitiæ enim et fortitudinis, et aliarum virtutum muneribus inter nos fungimur, in rebus contrahendis, in necessariis ac difficilibus et nostris et aliorum temporibus, variisque actionibus, denique in perturbationibus quod cuique decorum est conservantes. Hæc porro omnia videntur esse humana. Nonnulla autem et a corpore videntur proficisci, multisque in rebus virtus morum cum perturbationibus esse conjuncta. Quin prudentia quoque cum virtute morum, et hæc cum prudentia copulata est: siquidem prudentiæ principia ex virtutibus morum constant, et quod recti in virtutibus inest, prudentia moderatur. Cum sint autem hæ perturbationibus quoque implicatæ, in eo etiam, quod ex animo et corpore conflatum est, inerunt: at ejus, quod compositum et concretum est, virtutes, humanæ sunt. Ergo et vita ei consentanea, et beatitudo. Mentis beatitudo autem sejuncta est: de ea enim hac-

περὶ αὐτῆς [d] εἰρήσθω· [e] διακριβῶσαι γὰρ μεῖζον τοῦ προκειμένου ἐστί. Δόξειε δ' ἂν καὶ τῆς ἐκτὸς χορηγίας ἐπὶ μικρὸν, ἢ ἐπ' ἔλαττον δεῖσθαι τῆς ἠθικῆς. Τῶν μὲν γὰρ ἀναγκαίων ἀμφοῖν χρεία καὶ ἐξ ἴσου ἔστω· εἰ καὶ μᾶλλον διαπονεῖ περὶ τὸ σῶμα ὁ πολιτικὸς, καὶ ὅσα τοιαῦτα· μικρὸν γὰρ ἄν τι διαφέρῃ, πρὸς δὲ τὰς ἐνεργείας πολὺ διοίσει. Τῷ μὲν γὰρ ἐλευθερίῳ δεήσει χρημάτων, πρὸς τὸ πράττειν τὰ ἐλευθέρια, καὶ τῷ δικαίῳ [f] δὲ, εἰς τὰς ἀνταποδόσεις· αἱ γὰρ βουλήσεις, ἄδηλοι, προσποιοῦνται δὲ καὶ οἱ μὴ δίκαιοι βούλεσθαι δικαιοπραγεῖν· τῷ ἀνδρείῳ δὲ, δυνάμεως, εἴ περ ἐπιτελεῖ τι τῶν κατ' ἀρετὴν, καὶ τῷ σώφρονι, [g] ἐξουσίας. Πῶς γὰρ δῆλος ἔσται ἢ [h] οὗτος, ἢ τῶν ἄλλων τις; Ζητεῖται δὲ, [i] πότερον κυριώτερον τῆς ἀρετῆς ἡ προαίρεσις, ἢ αἱ πράξεις, ὡς ἐν ἀμφοῖν οὔσης. Τὸ δὴ τέλειον, δῆλον ὡς ἐν ἀμφοῖν ἂν εἴη· πρὸς δὲ τὰς πράξεις,

[d] Εἴρηται. C.C.C. [e] Antiquus quidam διακριβῶσαι δὲ, cæteri omnes γάρ. *Victorius.* [f] Δὴ pro δὲ CCC. [g] Quidam viri doctissimi putant ἐξουσίαν hoc loco valere, *facultatem*, a quibus dissentio. Est enim ἐξουσία potestas ea, quam potentior aut opulentior aliquis propter opes suas, aut magistratum adeptus est. [h] Γρ. τοιοῦτος. [i] Τί πότερον CCC.

tenus dictum sit: nam subtilius et pressius de ea disputare, majoris negotii est, quam id quod nobis propositum est. Videatur autem et externorum bonorum copia parum admodum egere, aut minus, quam ea beatitudo, quæ moribus continetur. Demus enim utrique rebus ad victum necessariis vel peræque opus esse (quamvis in corpore, et cæteris hujus generis magis elaborat is, qui se ad rempublicam administrandam contulit) parum enim referat: sed ad muneris functiones multum referet. Liberali enim, pecunia opus erit ad actiones liberales, et justo ad remunerationes, rerumque creditarum solutiones (obscuræ sunt enim hominum voluntates, multique simulant se res justas agere velle, etiam ii, qui non sunt justi) viro forti autem copiis et potentia, siquidem aliquid suæ virtuti consentaneum effecturus est: et temperanti auctoritate et licentia. Alioqui quomodo sciri poterit, sit ne talis, an quidam alius? Quæritur autem utrum in virtute consilium dominetur magis, an actiones, proinde quasi virtus in utrisque consistat. Minime igitur illud obscurum est, in utrisque perfectionem esse sitam: ad actiones

πολλῶν δεῖται· καὶ ὅσῳ ἂν μείζους ὦσι καὶ καλλίους, πλειόνων. Τῷ δὲ θεωροῦντι, οὐδενὸς τῶν τοιούτων, πρός γε τὴν ἐνέργειαν, χρεία, ἀλλ' ὡς εἰπεῖν, καὶ [k]ἐμπόδιά ἐστι, πρός γε τὴν θεωρίαν. 7 Ἧι δ' ἄνθρωπός ἐστι, καὶ πλείοσι συζῇ, αἱρεῖται καὶ τὰ κατ' ἀρετὴν πράττειν. Δεήσεται οὖν τῶν τοιούτων πρὸς τὸ ἀνθρωπεύεσθαι. Ἡ δὲ τελεία εὐδαιμονία, ὅτι θεωρητική τίς ἐστιν ἐνέργεια, καὶ ἐντεῦθεν ἂν φανείη· [l]τοὺς θεοὺς γὰρ μάλιστα ὑπειλήφαμεν μακαρίους καὶ εὐδαίμονας εἶναι. Πράξεις δὲ ποίας ἀπονεῖμαι χρεὼν αὐτοῖς; πότερα τὰς δικαίας; ἢ γελοῖοι φανοῦνται συναλλάττοντες, καὶ παρακαταθήκας ἀποδιδόντες, καὶ ὅσα ἄλλα τοιαῦτα; Ἀλλὰ [m]τὰς ἀνδρείους, ὑπομένοντας τὰ φοβερὰ καὶ κινδυνεύοντας, ὅτι καλόν. Ἢ τὰς ἐλευθερίους; τίνι δὲ δώσουσιν; ἄτοπον δ', εἰ καὶ ἔσται αὐτοῖς νόμισμα, ἤ τι τοιοῦτον. [n]Εἰ δὲ σώφρονες, τί ἂν εἶεν; ἢ φορτικὸς ὁ ἔπαινος, ὅτι οὐκ ἔχουσι φαύλας

[k] Alii ἐμποδιόν ἐστι. [l] Vide Metaphys. lib. xiii. cap. 7. [m] Γρ. τοὺς, et mox τοὺς ἐλευθερίους: sed nostra scriptura melius convenit cum præced. τὰς δικαίας, sc. πράξεις. *Sylburg.* [n] Codd. nonnulli habent αἱ δὲ σώφρονες.

autem multa desiderari, tantoque plura, quanto fuerint majores et pulchriores. Ei autem, qui res animo cernit et contemplatur, ad muneris functionem nullis talibus opus est: immo vero ea contemplationi rerum penè dicam impedimento sunt. Qua autem homo est, et cum pluribus vitæ consuetudine conjungitur, studet etiam ea, quæ virtuti consentanea sunt, agere. Talibus igitur rebus egebit, ut cum hominibus versetur, et humaniter vivat. Perfectam autem beatitudinem, functionem quandam muneris esse in rerum contemplatione positam, etiam ex hoc perspicere licet, quod deos felicissimos ac beatissimos esse arbitramur. Actiones autem, quas eis tribuere nos oportet? justasne? an ridiculi videbuntur contrahentes inter se, et deposita reddentes, et cætera id genus? At fortes, ut res formidolosas subeant ac perferant, et periculum adeant, quia honestum sit? An liberales? cui vero donabunt? absurdum autem si apud eos erit etiam nummus, aut aliquid tale. Jam vero utrum erunt temperantes? an inepta, et contumeliosa laus illa deorum futura est, vitio-

ἐπιθυμίας; Διεξιοῦσι δὲ πάντα φαίνοιτ' ἂν τὰ περὶ τὰς πράξεις, μικρὰ καὶ ἀνάξια θεῶν. Ἀλλὰ μὴν ζῆν τε πάντες ὑπειλήφασιν αὐτούς· καὶ ἐνεργεῖν ἄρα· οὐ γὰρ [o] δὴ καθεύδειν, ὥσπερ τὸν Ἐνδυμίωνα. Τῷ δὴ ζῶντι τοῦ πράττειν ἀφῃρημένῳ, ἔτι δὲ μᾶλλον τοῦ ποιεῖν, τί λείπεται πλὴν θεωρίας; ὥστε ἡ τοῦ θεοῦ ἐνέργεια, μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη. Καὶ τῶν ἀνθρωπίνων [p] δὴ ἡ ταύτῃ συγγενεστάτη, εὐδαιμονικωτάτη. Σημεῖον δὲ, καὶ τὸ μὴ μετέχειν τὰ λοιπὰ ζῶα εὐδαιμονίας, τῆς τοιαύτης ἐνεργείας ἐστερημένα τελείως. Τοῖς μὲν γὰρ θεοῖς πᾶς ὁ βίος μακάριος· τοῖς δ' ἀνθρώποις, ἐφ' ὅσον ὁμοίωμά τι τῆς τοιαύτης ἐνεργείας ὑπάρχει· τῶν δ' ἄλλων ζώων οὐδὲν εὐδαιμονεῖ, ἐπειδὴ οὐδαμοῦ κοινωνεῖ θεωρίας. Ἐφ' ὅσον δὴ διατείνει ἡ θεωρία, καὶ ἡ εὐδαιμονία, καὶ οἷς μᾶλλον ὑπάρχει τὸ θεωρεῖν, καὶ εὐδαιμονεῖν, [q] οὐ κατὰ συμβεβηκὸς, ἀλλὰ κατὰ τὴν θεωρίαν· αὐτὴ γὰρ καθ'

[o] Δεῖ CCC. [p] Δὶ Bas. [q] Καὶ οὐ Bas.

sis cupiditatibus eos carere? Quod si omnia, quæ in actionibus versantur, persequamur, exigua sane, Diisque indigna reperientur. Atqui nemo est, qui non eos vivere existimet: ergo et aliquo munere fungi: non enim eos oportet dormientes fingere, ut Endymionem. Ei igitur, qui vivit, si actio, multoque magis si effectio adimatur, quid præter contemplationem relinquitur? quocirca Dei muneris functio ea, quæ beatitudine antecellit, in contemplatione consistere reperietur. Ergo et humanarum functionum ut quæque huic simillima est, ita ad beatam vitam constituendam plurimum valet. Huic quinetiam rei argumento est, quod cætera animalia, quæ tali muneris functione orbata sunt, beatitudine quoque excluduntur. Diis enim immortalibus omnis vita beata est: hominibus autem, quatenus simulacrum aliquod talis functionis habent: reliquorum vero animalium beate vivit nullum, quoniam nulla est eis contemplationis communitas. Quam longe igitur lateque funditur et pertinet contemplatio, tam longe et beatitudo: et in quibus magis inest contemplandi assiduitas, ii sunt et beatiores: neque id ex eventu, sed ex contemplatione: ea enim per

αὐτὴν τιμία. Ὥστ' εἴη ἂν ἡ εὐδαιμονία θεωρία τις. Δεήσει δὲ καὶ τῆς ἐκτὸς εὐημερίας, ἀνθρώπῳ ὄντι· οὐ γὰρ αὐτάρκης ἡ φύσις πρὸς τὸ θεωρεῖν· ἀλλὰ δεῖ καὶ τὸ σῶμα ὑγιαίνειν, καὶ τροφὴν καὶ τὴν λοιπὴν θεραπείαν ὑπάρχειν. Οὐ μὴν οἰητέον γε πολλῶν καὶ μεγάλων δεήσεσθαι τὸν [r] εὐδαιμονήσοντα, εἰ μὴ ἐνδέχεται ἄνευ τῶν ἐκτὸς ἀγαθῶν, μακάριον εἶναι· οὐ γὰρ ἐν τῇ ὑπερβολῇ τὸ αὔταρκες, [s] οὐδ' ἡ κρίσις, οὐδ' ἡ πρᾶξις. Δυνατὸν δὲ [t] καὶ μὴ ἄρχοντας γῆς καὶ θαλάττης πράττειν τὰ καλά· καὶ γὰρ ἀπὸ μετρίων δύναιτο ἄν τις πράττειν [u] κατὰ τὴν ἀρετήν. Τοῦτο δ' ἐστὶν ἰδεῖν ἐναργῶς· οἱ γὰρ ἰδιῶται, τῶν δυναστῶν οὐχ ἧττον δοκοῦσι τὰ ἐπιεικῆ πράττειν, ἀλλὰ καὶ μᾶλλον. Ἱκανὸν δὲ τοσαῦθ' ὑπάρχειν· ἔσται γὰρ ὁ βίος εὐδαίμων, τοῦ κατὰ τὴν ἀρετὴν ἐνεργοῦντος. Καὶ [x] Σόλων δὲ τοὺς εὐδαίμονας ἴσως [y] ἀπεφαίνετο, καλῶς εἰπὼν,

[r] Εὐδαίμονα C C C. et alii. [s] In quibusdam Codicibus mendosis desunt hæc, οὐδ' ἡ κρίσις. *Lamb.* [t] Γρ. καὶ μὴ ἄρχοντα. [u] Hic locus varie legitur in variis Codd. Alii enim habent κατὰ τὴν αὐτὴν, alii κατὰ τὴν ἀρχὴν, alii rursus κατὰ τὰ κατὰ τὴν ἀρετήν. Sed fidelis imprimis liber receptam lectionem servat, cum quo facit et vetus Tralatio et Argyropylus. *Victorius.* [x] Vide Herodotum in Clio. [y] Γρ. ἀποφαίνεται.

se magni pretii est, magnoque honore decoranda. Itaque beatitudo erit contemplatio quædam. Verum opus erit beato etiam prosperitate externa, cum sit homo : non enim suis ipsa bonis contenta natura est ad contemplandum, sed et corpus valeat, et victus reliquusque vitæ cultus adsit oportet. Non tamen si fieri non potest, ut quisquam sine bonis externis sit beatus, idcirco existimandum est multa et magna virum beatum desideraturum : non enim copia bonis omnibus per se cumulata in nimio posita est, neque hujus rei judicium, neque actio. Fieri autem potest, ut etiam ii, qui maris et terræ imperium non habent, res agant honestas et præclaras : nam potest quis bonis mediocribus instructus, quæ virtuti consentanea sunt, administrare. Atque hoc perspicue cernere licet : privati enim homines non minus quam dynastæ, res æquitati omnique virtuti consentaneas agere videntur, atque adeo magis. Satis est autem tantum suppetere, quantum postulent honestæ actiones : erit enim ejus vita beata, qui muneribus fungatur virtuti consentaneis. Et fortasse Solon

μετρίως τοῖς ἐκτὸς κεχορηγημένους, πεπραγότας δὲ τὰ κάλλιστα, [z] ὡς ᾤετο, καὶ βεβιωκότας σωφρόνως· ἐνδέχεται γὰρ μέτρια κεκτημένους, πράττειν ἃ δεῖ. Ἔοικε δὲ καὶ Ἀναξαγόρας, οὐ πλούσιον, οὐδὲ δυνάστην ὑπολαβεῖν τὸν εὐδαίμονα, [a] εἰπὼν, ὅτι οὐκ ἂν θαυμάσειεν, εἴ τις ἄτοπος φανείη τοῖς πολλοῖς· οὗτοι γὰρ κρίνουσι τοῖς ἐκτὸς, τούτων αἰσθανόμενοι μόνον. Συμφωνεῖν δὲ τοῖς λόγοις ἐοίκασιν αἱ τῶν σοφῶν δόξαι. Πίστιν μὲν οὖν καὶ τὰ τοιαῦτα [b] ἔχει τινά. [c] Τὸ δ' ἀληθὲς ἐν τοῖς πρακτοῖς ἐκ τῶν ἔργων καὶ τοῦ βίου κρίνεται· ἐν τούτοις γὰρ τὸ κύριον. Σκοπεῖν δὲ τὰ προειρημένα χρὴ, ἐπὶ τὰ ἔργα καὶ τὸν βίον [d] ἐπιφέροντας· καὶ συναδόντων μὲν τοῖς ἔργοις, ἀποδεκτέον, διαφωνούντων δὲ λόγους ὑποληπτέον. Ὁ δὲ κατὰ νοῦν ἐνεργῶν, καὶ τοῦτον θεραπεύων, καὶ διακείμενος ἄριστα, [e] καὶ θεοφιλέστατος ἔοικεν εἶναι· εἰ γάρ τις ἐπιμέλεια

[z] Lambinus emendat ὡς οἷόν τι. Vide Eudem. lib. i. cap. 4. [a] Λέγει δ' ὁ Ἀναξαγόρας μηδὲν εἶναι θαυμαστὸν, εἰ τοῖς πολλοῖς ἄτοπος καὶ κακοδαίμων νομίζομαι. Paulo aliter Lambinus: qui tamen fatetur etiam Eustratii sensum huic loco convenire. [b] Ἔχειν C C C. [c] Γρ. τὸ ἀληθὲς δὲ ἐν. [d] Alii ἀναφέροντας. [e] Bas. omittit καὶ ante θεοφιλέστατος.

beatos non male pronunciabat eos, qui mediocriter bonis externis instructi sunt, et qui res, quam potuerunt, honestissimas gesserunt, temperanterque vixerunt: fieri enim potest, ut ii, qui bona mediocria tenent ac possident, agant ea, quæ sunt agenda. Anaxagoras quoque non divitem, neque potentem aliquem, virum beatum existimasse videtur, quippe qui dixerit mirum sibi non futurum, si multitudini absurdus quidam et ineptus esse videatur: hæc enim ex rebus externis judicat, propterea quod has tantum sensu percipit. Atque his rationibus sapientum opiniones congruere videntur. Habent igitur aliquid etiam talia, quod ad faciendam fidem valeat. Verum cum de iis, quæ sub actionem veniunt, quæritur, ex factis et vita veritas judicatur: in his enim vis eorum præcipua consistit. Ita autem ea, quæ ante dicta sunt, spectare oportet, ut ad facta vitamque referamus: et si cum factis consentiant, probanda; sin dissentiant et discrepent, verba sunt habenda. Qui vero muneribus fungitur menti consentaneis, et hanc colit, estque optime animo affectus, eum probabile est Deo carissimum esse: nam si

τῶν ἀνθρωπίνων ὑπὸ θεῶν γίνεται, ὥσπερ δοκεῖ, καὶ εἴη ἂν εὔλογον χαίρειν τε αὐτοὺς τῷ ἀρίστῳ καὶ τῷ συγγενεστάτῳ· τοῦτο δ' ἂν εἴη ὁ νοῦς· καὶ τοὺς ἀγαπῶντας μάλιστα τοῦτο καὶ τιμῶντας, ἀντευποιεῖν, ὡς τῶν φίλων αὐτοῖς ἐπιμελουμένους, καὶ ὀρθῶς τε καὶ καλῶς πράττοντας. Ὅτι δὲ ταῦτα πάντα τῷ σοφῷ μάλιστα ὑπάρχει, οὐκ ἄδηλον· θεοφιλέστατος ἄρα. Τὸν αὐτὸν δ' εἰκὸς καὶ εὐδαιμονέστατον. Ὥστε κἂν οὕτως εἴη ὁ σοφὸς μάλιστ' εὐδαίμων.

ΚΕΦ. θ'.

ΑΡ' οὖν εἰ περί τε τούτων καὶ τῶν ἀρετῶν, ἔτι δὲ καὶ φιλίας καὶ ἡδονῆς, ἱκανῶς εἴρηται τοῖς τύποις, τέλος ἔχειν οἰητέον τὴν προαίρεσιν; ἢ καθάπερ λέγεται, οὐκ ἔστιν ἐν τοῖς πρακτοῖς τέλος τὸ θεωρῆσαι ἕκαστα καὶ γνῶναι, ἀλλὰ μᾶλλον τὸ πράττειν αὐτά; οὐδὲ δὴ περὶ ἀρετῆς ἱκανὸν τὸ εἰδέναι, ἀλλ' ἔχειν καὶ χρῆσθαι πειρατέον· [f] ἢ εἴ πως ἄλλως ἀγαθοὶ

[f] Γρ. ἢ εἴ τις ἄλλως, et ita Eustratius.

dii immortales curam habent aliquam rerum humanarum, quemadmodum verisimile est: illud quoque probabile fuerit, eos re omnium optima, sibique maxime cognata, delectari (hæc autem mens fuerit) iisque, qui hanc maxime diligunt et plurimi faciunt, præmia persolvere, gratiamque referre, ut eorum, quæ ipsis cara sunt, curam habentibus, rectasque atque honestas actiones obeuntibus atque exercentibus. Hæc autem omnia in sapiente inesse maxime, non est obscurum: est igitur Deo carissimus. Eundem autem etiam beatissimum esse verisimile est. Itaque sapiens etiam hoc modo beatissimus erit.

CAP. IX.

UTRUM igitur si de his, et de virtutibus, et præterea de amicitia, et voluptate satis copiose a nobis dictum est, earumque omnium formæ universim adumbratæ sunt, consilium nostræ disputationis absolutum esse existimandum est? an, quemadmodum dicitur, in iis, quæ sub actionem veniunt, finem non esse unumquidque cernere et cognoscere, sed agere potius: sic neque virtutem perspectam et cognitam habere satis est, sed eam habere, eaque uti conandum, aut

γινόμεθα; Εἰ μὲν οὖν ἦσαν οἱ λόγοι αὐτάρκεις πρὸς τὸ [g]ποιῆσαι ἐπιεικεῖς, [h]πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους δικαίως ἔφερον κατὰ τὸν Θέογνιν, καὶ ἔδει ἂν τούτους πορίσασθαι. Νῦν δὲ [i]φαίνονται προτρέψαι μὲν καὶ παρορμῆσαι τῶν νέων τοὺς ἐλευθερίους ἰσχύειν, ἦθός τε εὐγενὲς, καὶ ὡς ἀληθῶς φιλόκαλον, ποιῆσαι ἂν [k]κατακώχιμον ἐκ τῆς ἀρετῆς· τοὺς δὲ πολλοὺς ἀδυνατεῖν πρὸς καλοκἀγαθίαν προτρέψασθαι. Οὐ γὰρ πεφύκασιν αἰδοῖ πειθαρχεῖν, ἀλλὰ φόβῳ· οὐδ᾽ ἀπέχεσθαι τῶν φαύλων διὰ τὸ αἰσχρὸν, ἀλλὰ διὰ τὰς τιμωρίας· πάθει γὰρ ζῶντες τὰς οἰκείας ἡδονὰς διώκουσι, καὶ δι᾽ ὧν αὗται ἔσονται· φεύγουσι δὲ τὰς ἀντικειμένας λύπας· τοῦ δὲ καλοῦ καὶ ὡς ἀληθῶς ἡδέος, οὐδ᾽ ἔννοιας ἔχουσιν, ἄγευστοι ὄντες. Τοὺς δὴ τοιούτους, τίς ἂν λόγος [l]μεταῤῥυθμίσαι; οὐ γὰρ οἷόν τε, ἢ οὐ ῥᾴδιον, τὰ ἐκ παλαιοῦ τοῖς ἤθεσι κατει-

[g] Παιδεῦσθαι Bas. [h] Versus est Theognidis integer: interjectum autem est adverbium δικαίως: cujus sententiam non assecutus est Perionius. *Lamb.* [i] Quidam singulariter legunt φαίνεται. *Sylb.* [k] Eustratius recte observat κατακώχιμον hoc loco valere τὸ ὑπεῖκον καὶ εὐπειθὲς, i. e. quod *cedit, facileque obtemperat.* [l] Bas. μεταριθμῆσαι minus recte. *Sylb.*

si qua alia ratione boni evadere possumus? Si igitur verba per se satis valerent ad bonitatem, virtutemque comparandam,

Et multum et magnum jure ferant pretium,

ut ait Theognis: atque hæc sibi quemque parare oporteret. Nunc vero videntur illa quidem satis magnam vim ad ingenuos adolescentes cohortandos et excitandos habere, ingeniumque generosum et vere honesti studiosum, docile ad virtutem reddere, ejusque studio inflammare posse: multitudinem autem ad honestatem ac probitatem excitare non posse. Non enim illa pudore solet retineri ac reprimi natura, sed metu potius coerceri; neque se a rebus vitiosis propter turpitudinem abstinere, sed propter supplicium: nam cum vitam suam perturbatione moderatur ac dirigit; tum suas voluptates, eaque, quibus hæ pariuntur, consectatur: dolores eis contrarios fugit; honesti autem vereque jucundi ne notionem quidem unquam animo depinxit, utpote quod nunquam degustarit. Tales igitur homines quæ ratio corrigere, et a vitio ad virtutem traducere queat? non enim fieri potest, aut certe vix, ut quæ jampridem moribus concepta sunt,

λημμένα, λόγῳ μεταστῆσαι. [m]Ἀγαπητὸν δ' ἴσως ἐστὶν, εἰ πάντων ὑπαρχόντων, δι' ὧν ἐπιεικεῖς δοκοῦμεν γίνεσθαι, μεταλάβοιμεν τῆς ἀρετῆς. [n]Γίνεσθαι δ' ἀγαθοὺς οἴονται, οἱ μὲν φύσει, οἱ δὲ ἔθει, οἱ δὲ διδαχῇ. Τὸ μὲν οὖν τῆς φύσεως, δῆλον ὡς οὐκ ἐφ' ἡμῖν ὑπάρχει, ἀλλὰ διά τινος θείας αἰτίας τοῖς ὡς ἀληθῶς εὐτυχέσιν ὑπάρχει. Ὁ δὲ λόγος καὶ ἡ διδαχὴ μή ποτε οὐκ ἐν ἅπασιν ἰσχύῃ, ἀλλὰ δέῃ [o]προδιειργάσθαι τοῖς ἔθεσι τὴν τοῦ ἀκροατοῦ ψυχὴν πρὸς τὸ καλῶς χαίρειν καὶ μισεῖν, ὥσπερ γῆν τὴν θρέψουσαν τὸ σπέρμα. Οὐ γὰρ ἂν ἀκούσειε λόγου ἀποτρέποντος, οὐδ' ἂν [p]συνείη ὁ κατὰ πάθος ζῶν. Τὸν δ' οὕτως ἔχοντα, πῶς [q]οἷόν τε μεταπεῖσαι; Ὅλως δ' οὐ δοκεῖ λόγῳ, [r]ὑπείκειν τὸ πάθος, ἀλλὰ βίᾳ. Δεῖ δὴ τὸ ἦθος προϋπάρχειν πως οἰκεῖον τῆς ἀρετῆς, στέργον τὸ καλὸν, καὶ δυσχεραῖνον τὸ αἰσχρόν. Ἐκ

[m] Ἀγαπητόν ἐστι, Latine dicere solemus, *bene aut præclare nobiscum agitur, magna Diis habenda est gratia.* Lamb. [n] Γίγνεσθαι C C C. [o] Γρ. διειργάσθαι, alii προειργάσθαι. [p] Συνίῃ C C C. et alii nonnulli. [q] Γρ. οἷός τε μ. sc. ὁ λόγος. alii π. οἷόν τε μεταπείθεσθαι. *Casaubon.* [r] Ὑπείκειν C C C.

oratione deleantur. Præclare autem fortasse nobiscum agatur, si, cum omnia nobis suppetant, quibus boni fieri solemus, virtutem adipisci possimus. Bonos autem fieri putant alii natura, alii consuetudine, alii doctrina. Quod igitur a natura tribuitur, in nobis minime situm esse, sed ab aliqua divina causa profectum inesse in iis, qui revera sunt fortunati, perspicuum est. Oratio autem et doctrina ne non peræque in omnibus valeant, sed oporteat animum auditoris, ut humum, quæ seminis alendi facultatem habitura est, consuetudine ante subigi et excoli, ut recte lætetur, recteque oderit, verendum fortasse est. Nam qui perturbatione vitam dirigit, is nunquam illum, a quo deterreatur, atque avocetur a vitio, patienter auditurus est, nunquam ejus orationem intellecturus. At eum, qui ita sit affectus, quonam modo oratione de sua sententia dimovere possis? Omnino autem perturbatio non videtur orationi cedere, sed vi esse cogenda. Mores igitur ante quodammodo insint oportet ad virtutem accommodati, qui honestum amplectantur, turpitudineque offendantur. A puero autem directam ad virtutem institu-

νέου δὲ, ἀγωγῆς ὀρθῆς τυχεῖν πρὸς ἀρετὴν, χαλεπὸν, μὴ ὑπὸ τοιούτοις τραφέντα νόμοις· τὸ γὰρ σωφρόνως ζῆν καὶ καρτερικῶς, [s]οὐχ ἡδὺ τοῖς πολλοῖς, ἄλλως τε καὶ νέοις. Διὸ νόμοις δεῖ τετάχθαι τὴν τροφὴν καὶ τὰ ἐπιτηδεύματα· οὐκ ἔσται γὰρ λυπηρὰ συνήθη γενόμενα. Οὐχ ἱκανὸν δὲ ἴσως νέους ὄντας τροφῆς καὶ ἐπιμελείας τυχεῖν ὀρθῆς, ἀλλ' [t]ἐπειδὴ καὶ ἀνδρωθέντας δεῖ ἐπιτηδεύειν αὐτὰ, καὶ ἐθίζεσθαι, καὶ περὶ ταῦτα δεοίμεθ' ἂν νόμων· καὶ ὅλως δὴ περὶ πάντα τὸν βίον· οἱ γὰρ πολλοὶ ἀνάγκῃ μᾶλλον ἢ λόγῳ πειθαρχοῦσι, καὶ ζημίαις, ἢ τῷ καλῷ. Διόπερ οἴονταί τινες τοὺς νομοθετοῦντας δεῖν μὲν παρακαλεῖν ἐπὶ τὴν ἀρετὴν, καὶ προτρέπεσθαι τοῦ καλοῦ χάριν, ὡς ὑπακουσομένων τῶν ἐπιεικῶν τοῖς ἔθεσι [u]προηγουμένως· ἀπειθοῦσι δὲ καὶ ἀφυεστέροις οὖσι, κολάσεις [x]τε καὶ τιμωρίας ἐπιτιθέναι, τοὺς δ' ἀνιάτους ὅλως ἐξορίζειν· τὸν μὲν γὰρ ἐπιεικῆ, καὶ πρὸς τὸ καλὸν ζῶντα, τῷ λόγῳ

[s] Γρ. μὴ οὐχ ἡδύ. [t] Ἐπεὶ C C C. a prima manu. [u] Γρ. προηγουμένων ; Lambinus vero legit προηγμένων. [x] Τε deest C C C.

tionem consequi difficile est, nisi qui in talibus legibus fuerit educatus: temperanter enim et patienter vivere cum multitudini sit injucundum, tum juvenibus maxime. Itaque educationem, studiaque, et exercitationes legibus esse descriptas necesse est: non enim molestæ eæ res futuræ sunt consuetudine adhibita. Fortasse autem non satis est pueros et adolescentes, quamdiu in ea ætate sunt, recte educari, diligenterque institui: sed quoniam corroboratis jam ætatibus ea, quæ didicerunt, studiose tractare et persequi, iisque assuefieri oportet, etiam in his nobis fuerit legibus opus; et omnino in omni vita traducenda: magna enim pars hominum necessitati potius, quam orationi paret, et pœnis magis, quam honesto commovetur. Itaque existimant nonnulli ab eis, qui leges ferunt, honesti causa ad virtutem homines esse cohortandos atque excitandos, proinde quasi viri boni, in primis more et consuetudine provecti, legibus sint obtemperaturi: in eos autem, qui non parebunt, quique ad virtutem et officium inepti erunt natura, esse animadvertendum, et supplicia constituenda: postremo insanabiles exterminandos ac de republica tollendos: nam virum bonum, eumque qui ho-

πειθαρχήσειν· τὸν δὲ φαῦλον, ἡδονῆς ὀρεγόμενον, λύπῃ κολάζεσθαι, ὥσπερ ὑποζύγιον. Διὸ καί φασι δεῖν τὰς τοιαύτας γίνεσθαι λύπας, αἳ μάλιστα ἐναντιοῦνται ταῖς ἀγαπωμέναις ἡδοναῖς. Εἰ δ' οὖν, καθάπερ εἴρηται, τὸν ἐσόμενον ἀγαθὸν τραφῆναι καλῶς δεῖ, καὶ ἐθισθῆναι, εἶθ' οὕτως ἐν ἐπιτηδεύμασιν ἐπιεικέσι ζῇν, καὶ μήτε ἄκοντα, μήτε ἑκόντα πράττειν τὰ φαῦλα· ταῦτα δὲ γίγνοιτ' ἂν βιουμένοις κατά τινα νοῦν καὶ τάξιν ὀρθὴν, ἔχουσαν ἰσχύν· [y] ἡ μὲν οὖν πατρικὴ πρόσταξις, οὐκ ἔχει τὸ ἰσχυρὸν, οὐδὲ τὸ ἀναγκαῖον· οὐδὲ δὴ ὅλως [z] ἡ ἑνὸς ἀνδρὸς, μὴ βασιλέως ὄντος, ἤ τινος τοιούτου· ὁ δὲ νόμος ἀναγκαστικὴν ἔχει δύναμιν, λόγος ὢν ἀπό τινος φρονήσεως καὶ νοῦ. Καὶ τῶν μὲν ἀνθρώπων ἐχθραίνουσι τοὺς ἐναντιουμένους ταῖς ὁρμαῖς, κἂν ὀρθῶς αὐτὸ δρῶσιν. Ὁ δὲ νόμος οὐκ ἔστιν ἐπαχθὴς, τάττων τὸ ἐπιεικές. Ἐν μόνῃ δὲ τῇ Λα-

[y] Bas. post ἡ μὲν omittit οὖν; ut ibi sit periodi redditio. Sic et Lambinus.
[z] Γρ. ἢ ἑνός.

nesti regula vitam suam dirigit, orationi obtemperaturum: vitiosum autem atque improbum, quando voluptatem vehementer expetit, dolore et plagis, ut jumentum, castigandum et coercendum. Atque ob hanc causam eos inuri dolores dicunt oportere maxime, qui voluptatibus iis, quas illi adamant, adversantur. Quod si eum, qui vir bonus futurus est, quemadmodum diximus, primum oportet bene esse educatum, et honestis officiis assuefactum: deinde rectis vitæ studiis atque institutis vitam traducere: postremo neque invitum, neque sua voluntate res malas ac flagitiosas admittere: hæc autem contingere iis possunt, qui mentem aliquam sequuntur vitæ suæ ducem, rectumque ordinem ab ea præscriptum, viribus armatum atque instructum: in paterno quidem jusso nulla satis magna vis aut necessitas inest, neque omnino in unius viri jusso, nisi sit rex, aut regi similis: lex autem vim habet ad cogendum valentem, cum sit ratio ab aliqua prudentia menteque profecta. Atque eos quidem homines in odio esse videmus, qui improborum hominum cupiditatibus et appetitionibus adversantur, etiamsi id recte faciant. At lex, cum æquum et bonum præscribit, minime gravis est. In sola autem Lacedæmoniorum civitate cum paucis aliis,

κεδαιμονίων πόλει μετ' ὀλίγων ὁ νομοθέτης ἐπιμέλειαν δοκεῖ πεποιῆσθαι τροφῆς τε καὶ ἐπιτηδευμάτων· ἐν δὲ ταῖς πλείσταις τῶν πόλεων ἐξημέληται περὶ τῶν τοιούτων, καὶ ζῇ ἕκαστος ὡς βούλεται, [a] Κυκλωπικῶς

Θεμιστεύων παίδων, ἠδ' ἀλόχου.

Κράτιστον μὲν οὖν [b] γίγνεσθαι κοινὴν ἐπιμέλειαν καὶ ὀρθὴν, καὶ δρᾷν αὐτὸ δύνασθαι. Κοινῇ δὲ ἐξαμελουμένων, ἑκάστῳ δόξειεν ἂν προσήκειν τοῖς σφετέροις τέκνοις καὶ φίλοις εἰς ἀρετὴν συμβάλλεσθαι, ἢ προαιρεῖσθαί γε. Μάλιστα δ' ἂν τοῦτο δύνασθαι [c] δόξειεν [d] ἐκ τῶν εἰρημένων, νομοθετικὸς γενόμενος· αἱ μὲν γὰρ κοιναὶ ἐπιμέλειαι δηλονότι διὰ νόμων γίγνονται· ἐπιεικεῖς δὲ, αἱ διὰ τῶν σπουδαίων. Γεγραμμένων δ', ἢ ἀγράφων, οὐδὲν ἂν δόξειε διαφέρειν, οὐδὲ δι' ὧν εἷς ἢ πολλοὶ παιδευθήσονται, ὥσπερ οὐδ' ἐπὶ μουσικῆς, καὶ γυμναστικῆς, καὶ

[a] Homerus de Cyclopibus:

Τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι, οὔτε θέμιστες,
Ἀλλ' οἵγ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
Ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος
Παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσι. Ὀδ. ι'. ver. 112.

[b] Τὸ γίνεσθαι CCC. [c] Nonnulli Codd. habent δόξειεν ἂν ἐκ. [d] *Ex iis quæ diximus*, hoc est, ex iis conditionibus, quas in publica institutione necessarias esse affirmavimus: nimirum ut et recta ratione et auctoritate confirmetur. *Zwing.*

lator legum educationis et studiorum curam habuisse videtur: in plurimis hæc neglecta sunt, vivitque suo quisque arbitratu, Cyclopum more

Uxorem et natos privata lege gubernans.

Optimum igitur est, civium institutionem communiter ab omnibus et recte procurari, idque efficere posse. Quod si hæc communiter et publice negligantur, unicuique convenire videatur, suis liberis et amicis ad virtutem comparandam, operam navare, aut certe hoc animo et consilio esse, ut navare operam velit. Ex iis autem, quæ diximus, hoc efficere posse videatur maxime, si legum ferendarum scientiam fuerit consecutus: nam cum institutionis et disciplinæ publicæ procuratio perspicue legibus continetur, tum ea bona institutio est, quæ bonis continetur: quæ utrum scriptæ sint, an non scriptæ, nihil referre videatur. Neque vero refert, utrum his legibus unus, an plures instituantur: quemadmodum neque in musica, et arte corporum exercendorum, cæte-

τῶν ἄλλων [e]παιδευμάτων. Ὥσπερ γὰρ ἐν ταῖς πόλεσιν ἐνισχύει τὰ νόμιμα καὶ τὰ ἤθη, οὕτω καὶ ἐν οἰκίαις οἱ πατρικοὶ λόγοι καὶ τὰ ἤθη· καὶ ἔτι μᾶλλον διὰ τὴν συγγένειαν, καὶ τὰς εὐεργεσίας· προϋπάρχουσι γὰρ στέργοντες καὶ [f]εὐπειθεῖς τῇ φύσει. Ἔτι δὲ καὶ διαφέρουσιν αἱ καθ᾽ ἕκαστον παιδεῖαι τῶν κοινῶν, ὥσπερ ἐπὶ ἰατρικῆς· καθόλου μὲν γὰρ, τῷ πυρέττοντι συμφέρει ἀσιτία καὶ ἡσυχία· τινὶ δ᾽, ἴσως οὔ· ὅ, τε πυκτικὸς ἴσως οὐ πᾶσι τὴν αὐτὴν μάχην περιτίθησιν. [g]Ἐξακριβῶσαι δὲ δόξειεν ἂν μᾶλλον τὸ καθ᾽ ἕκαστον, ἰδίας τῆς ἐπιμελείας γινομένης· μᾶλλον γὰρ τοῦ προσφόρου τυγχάνει ἕκαστος. Ἀλλ᾽ ἐπιμεληθείη μὲν ἄριστα [h]τοῦ καθ᾽ ἕνα, καὶ ἰατρὸς, καὶ γυμναστὴς, καὶ πᾶς ἄλλος ὁ [i]τὸ καθόλου εἰδὼς, [k]ὅτι πᾶσιν, ἢ τοῖς τοιοῖσδε· τοῦ κοινοῦ γὰρ αἱ ἐπιστῆμαι λέγονταί τε καί εἰσιν. Οὐ μὴν ἀλλὰ καὶ ἑνός τινος οὐδὲν ἴσως κωλύει καλῶς ἐπιμεληθῆναι καὶ [l]ἀνεπιστήμονα ὄντα, τεθεαμένον δὲ ἀκριβῶς τὰ συμ-

[e] Legitur etiam ἐπιτηδευμάτων. [f] Γρ. εὐπαθεῖς, minus recte. *Casaubon.* [g] Alii ἐξακριβοῦσθαι. [h] Τοῦ deest CCC. [i] Eustratius legit τοῦ καθόλου. [k] Γρ. τί πᾶσιν. Vide Eustrat. [l] Ἐὰν ἐπιστήμονα CCC.

ris denique institutionibus. Nam ut in civitatibus leges et instituta, sic et in familiis privatis oratio paterna et mores valent ac vigent: multoque adeo magis, propter generis communitatem, et beneficia: jam ante enim diligunt, suntque ad parendum faciles flexibilesque natura. Præterea vero singulares et privatæ institutiones a communibus etiam differunt: quemadmodum evenit in medicina: universe enim ei, qui febri afflictatur, inedia et quies utilis est; alicui autem fortasse inutilis: et is pugil, qui docendi facultatem habet, fortasse non in eodem pugnæ genere discipulos omnes exercet. Videatur autem ille subtilius ac limatius rei singularis naturam persecuturus, si propria ac privata diligentia adhibeatur: ita enim quod sibi opportunum atque utile est, unusquisque magis consequitur atque obtinet. Sed et medicus, et exercendorum corporum magister, et quivis alius, optime singulorum curam rationemque habuerit, qui genus universum cognoverit: verbi gratia, vel omnibus, vel talibus esse utile: rerum enim communium atque universarum et dicuntur et sunt scientiæ. Veruntamen nihil fortasse prohibet quo minus etiam is, qui sit inscius, uni alicui pulchre con-

βαίνοντα ἐφ' ἑκάστῳ δι' ἐμπειρίαν, καθάπερ καὶ ἰατροὶ ἔνιοι δοκοῦσιν ἑαυτοῖς ἄριστοι εἶναι, ἑτέρῳ οὐδὲν ἂν δυνάμενοι ἐπαρκέσαι. Οὐδὲν δ' ἧττον ἴσως τῷ γε βουλομένῳ τεχνικῷ γενέσθαι καὶ θεωρητικῷ, ἐπὶ τὸ καθόλου βαδιστέον εἶναι δόξειεν ἄν, κἀκεῖνο γνωριστέον ὡς ἐνδέχεται· εἴρηται γὰρ ὅτι περὶ τοῦθ' αἱ ἐπιστῆμαι. Τάχα δ' ἂν καὶ τῷ βουλομένῳ δι' ἐπιμελείας βελτίους ποιεῖν, εἴ τε πολλοὺς, εἴ τε ὀλίγους, νομοθετικῷ πειρατέον γενέσθαι, εἰ διὰ νόμων ἀγαθοὶ γενοίμεθ' ἄν. Ὅν τινα γὰρ οὖν καὶ τὸν προτεθέντα διαθεῖναι καλῶς, οὐκ ἔστι τοῦ τυχόντος, ἀλλ' εἴ πέρ τινος, τοῦ εἰδότος· ὥσπερ [m] ἐπ' ἰατρικῆς καὶ τῶν λοιπῶν, ὧν ἐστιν ἐπιμέλειά τις καὶ φρόνησις. Ἆρ' οὖν μετὰ τοῦτο [n] ἐπισκεπτέον πόθεν ἢ πῶς νομοθετικὸς γένοιτ' ἄν τις, ἢ καθάπερ ἐπὶ τῶν ἄλλων; παρὰ τῶν πολιτικῶν; μόριον γὰρ ἐδόκει τῆς πολιτικῆς εἶναι. Ἢ οὐχ ὅμοιον

[m] Γρ. ἐπὶ ἰατρικῆς: quam lectionem Eustratio deberi existimo. [n] Σκεπτέον CCC.

sulat, dummodo experiendo, quæ cuique accidant, accurate perspexerit: quemadmodum et nonnullos ipsos sibi medicos esse optimos videmus, cum alteri subvenire atque opitulari non possint. Nihilominus autem ei quidem, qui bonus artifex, et ad res percipiendas et contemplandas idoneus effici velit, ad genus universum sit progrediendum, atque in illo cognoscendo, quoad ejus fieri possit, elaborandum: in hoc enim scientias positas esse diximus. Et fortasse ei, qui vel multos, vel paucos cura et studio velit efficere meliores, opera danda sit, ut legum ferendarum scientia præstet, si inest hæc vis in legibus, ut eis boni fieri possimus. Non enim cujuslibet hominis est quemvis, et eum, qui propositus et traditus ei fuerit erudiendus, recte conformare: sed si cujus est, profecto scientis est: quemadmodum in medicina et cæteris artibus, quarum aliquod studium, prudentiaque aliqua est, cernere licet. Utrum igitur deinceps videndum est, unde et quonam modo quis legibus ferendis idoneus esse possit? an, ut fit in cæteris artibus, ab iis, qui in republica gerenda versantur, hanc facultatem comparaturus est? civilis enim prudentiæ pars esse videbatur legum ferendarum facultas. An vero aliter se res habet in ratione reipublicæ

φαίνεται ἐπὶ τῆς πολιτικῆς, καὶ τῶν λοιπῶν ἐπιστημῶν τε καὶ δυνάμεων; ἐν μὲν γὰρ τοῖς ἄλλοις, οἱ αὐτοὶ φαίνονται τάς [o]τε δυνάμεις παραδιδόντες, καὶ ἐνεργοῦντες ἀπ' αὐτῶν· οἷον [p]ἰατροὶ, γραφεῖς. Τὰ δὲ πολιτικὰ ἐπαγγέλλονται μὲν διδάσκειν οἱ σοφισταὶ, [q]πράττει δ' αὐτῶν οὐδείς· ἀλλ' οἱ πολιτευόμενοι, οἳ δόξαιεν ἂν δυνάμει τινὶ τοῦτο πράττειν, καὶ ἐμπειρίᾳ μᾶλλον ἢ διανοίᾳ· οὔτε γὰρ γράφοντες, οὔτε λέγοντες περὶ τῶν τοιούτων φαίνονται· καί τοι κάλλιον ἦν ἴσως, ἢ λόγους δικανικούς τε καὶ δημηγορικούς· [r]οὐδ' αὖ πολιτικοὺς πεποιηκότες, τοὺς σφετέρους υἱεῖς, ἤ τινας ἄλλους τῶν φίλων. Εὔλογον δ' ἦν, εἴ περ ἐδύναντο· οὔτε γὰρ ταῖς πόλεσιν ἄμεινον οὐθὲν κατέλιπον ἂν, οὔθ' αὐτοῖς ὑπάρξαι προέλοιντ' ἂν μᾶλλον τῆς τοιαύτης δυνάμεως, οὐδὲ δὴ τοῖς φιλτάτοις. Οὐ μὴν μικρόν γε ἔοικεν ἡ ἐμπειρία συμβάλλεσθαι· οὐ γὰρ ἐγίγνοντο ἂν διὰ τῆς [s]πολιτικῆς συνηθείας μᾶλλον πολιτικοί.

[o] Τε deest CCC. [p] Ἰατρικοὶ CCC. [q] Alii πράττειν. [r] Οὐδ' αὖ omittunt nonnulli codd. et legunt πολιτικοὺς δὲ πεποιηκ. [s] Πολιτικῆς deest CCC.

gerendæ, atque in reliquis tum scientiis, tum facultatibus? in cæteris enim eosdem videmus artem, facultatemque agendi tradere, et facultatis munere fungi: ut medicos et pictores. At rerumpublicarum administrandarum scientiam docere ac tradere se profitentur sophistæ, eorum tamen administrat rempublicam nemo: sed ii, qui in republica gerenda versantur: qui quidem vi et facultate quadam freti, usuque potius, quam mentis agitatione ac ratione hoc agere videri possunt: nam neque eos scribere, neque dicere de talibus rebus (atque præclarius hoc erit fortasse, quam orationes judiciales, aut conciones scribere) neque vel filios suos, vel ullos alios ex amicis suis ad rempublicam gerendam aptos videmus effecisse. Quod quidem probabile et consentaneum erat eos fuisse facturos, si id ulla ratione consequi potuissent: nam neque quidquam civitatibus melius reliquissent, neque aut sibi, aut amicissimis quidquam hac facultate præstantius exoptare possent. Veruntamen non parum usus et exercitatio videntur valere: alioqui usu reipublicæ gerendæ et consuetudine homines ad rempublicam gerendam compositiores et aptiores non efficerentur. Quamobrem qui

Διὸ τοῖς ἐφιεμένοις περὶ [t] πολιτικῆς εἰδέναι, προσδεῖν ἔοικεν ἐμπειρίας. Τῶν δὲ σοφιστῶν οἱ ἐπαγγελλόμενοι, λίαν φαίνονται πόῤῥω εἶναι τοῦ διδάξαι· ὅλως γὰρ οὐδὲ ποῖόν τί ἐστιν, οὐδὲ περὶ ποῖα ἴσασιν· οὐ γὰρ ἂν τὴν αὐτὴν τῇ ῥητορικῇ, οὐδὲ χείρω ἐτίθεσαν· οὐδ᾽ ἂν ᾤοντο ῥᾴδιον εἶναι τὸ νομοθετῆσαι συναγαγόντι τοὺς εὐδοκιμοῦντας τῶν νόμων· ἐκλέξασθαι γὰρ εἶναι τοὺς ἀρίστους, ὥσπερ οὐδὲ τὴν ἐκλογὴν οὖσαν συνέσεως· καὶ τὸ κρῖναι ὀρθῶς μέγιστον, [u] ὥσπερ ἐν τοῖς κατὰ μουσικήν. Οἱ γὰρ ἔμπειροι περὶ ἕκαστα κρίνουσιν ὀρθῶς τὰ ἔργα, καὶ δι᾽ ὧν ἢ πῶς ἐπιτελεῖται, [x] συνίασιν, καὶ ποῖα ποίοις συνᾴδει· τοῖς δ᾽ ἀπείροις, ἀγαπητὸν τὸ μὴ διαλανθάνειν, εἰ εὖ ἢ κακῶς πεποίηται τὸ ἔργον, ὥσπερ ἐπὶ γραφικῆς. Οἱ δὲ νόμοι τοῖς πολιτικοῖς ἔργοις ἐοίκασι. Πῶς οὖν ἐκ τούτων νομοθετικὸς γένοιτ᾽ ἂν τις, ἢ τοὺς ἀρίστους κρῖναι; οὐ γὰρ φαί-

[t] Πολιτικοῖς CCC. [u] Eam ob causam Aristoteles in viii. Polit. cives suæ Reipublicæ in musicis erudiri jubet, non modo ut ipsi, dum per ætatem licet, ingenuo huic ludo operam dare possint, sed etiam ut senes facti judicare queant, quinam moduli ætati juvenili conveniant, qui non: ne scilicet vel molliores vel ferociores reddantur juvenes. *Zuing.* [x] Συνίασιν ἃ δεῖ· τοῖς, et reliqua CCC. alii ἐπιτελεῖται ἃ δεῖ, συνίασιν.

aliquid de republica gerenda scire cupiunt, credibile est iis usu præterea opus esse. Jam vero sophistæ, qui hanc facultatem se tradituros profitentur, ab eo longissime videntur abesse, ut docere possint: omnino enim neque quid ea sit, neque quibus in rebus versetur, sciunt: non enim si scirent, eandem esse atque artem dicendi, vel deteriorem statuerent: neque ferre leges esse facile putarent ei, qui leges omnium opinione comprobatas collegisset: quoniam, inquiunt, præstantissimas eligere licet: quasi vero delectus non sit intelligentiæ: aut quasi non sit maximum, recte judicare: quemadmodum in iis, quæ ad musicam pertinent. Nam qui cujusque rei usu periti sunt, cum de artis operibus recte judicant, tum quibus rebus, aut quomodo ea, quæ par est effici, perficiantur, et quæ quibus congruant et concinant, sciunt: imperiti vero præclare secum agi putant, si non ignorent rectene an perperam opus effectum sit: quemadmodum fit in pictura. Leges autem opera civilia videntur esse. Quonam igitur pacto quis aut ad leges ferendas aptus his effi-

νονται οὐδ' [y]ἰατρικοὶ ἐκ τῶν συγγραμμάτων γίνεσθαι· καίτοι πειρῶνταί γε λέγειν, οὐ μόνον τὰ θεραπεύματα, [z]ἀλλὰ καὶ ὡς ἰαθεῖεν ἄν, καὶ ὡς δεῖ θεραπεύειν, [a]ἑκάστου διελόμενοι τὰς ἕξεις. Ταῦτα δὲ, τοῖς μὲν ἐμπείροις, ὠφέλιμα εἶναι δοκεῖ· τοῖς δ' ἀνεπιστήμοσιν, ἀχρεῖα. Ἴσως οὖν καὶ τῶν νόμων καὶ τῶν πολιτειῶν αἱ συναγωγαὶ, τοῖς μὲν δυναμένοις θεωρῆσαι, καὶ κρῖναι [b]τί καλῶς, ἢ τοὐναντίον, ἢ ποῖα ποίοις ἁρμόττει, εὔχρηστα ἂν εἴη· τοῖς δ' ἄνευ ἕξεως τὰ τοιαῦτα διεξιοῦσι, τὸ μὲν κρίνειν καλῶς, οὐκ ἂν ὑπάρχοι, εἰ μὴ ἄρα αὐτόματον· εὐσυνετώτεροι δὲ εἰς ταῦτα τάχα ἂν γένοιντο. Παραλιπόντων οὖν τῶν προτέρων ἀνερεύνητον τὸ περὶ τῆς νομοθεσίας, αὐτοὺς ἐπισκέψασθαι μᾶλλον βέλτιον ἴσως, καὶ ὅλως δὴ περὶ πολιτείας, ὅπως εἰς δύναμιν ἡ περὶ τὰ ἀνθρώπινα [c]φιλοσοφία τελειωθῇ. Πρῶτον μὲν οὖν εἴ τι κατὰ

[y] Γρ. ἰατροί. [z] Experientia quotidiana huic rei attestatur. Legat quis Medicorum Commentarios, quemvis morbum et cognitu et curatu facilem judicabit. Ille idem tamen si ad ipsam ἐγχείρησιν accedat, tunc demum infantiam suam agnoscet. *Zuing.* [a] Nonnulli ex codd. Victorii legunt ἑκάστους. [b] Γρ. ταῦτα καλῶς. [c] Γρ. σοφία, sed minus recte.

ci, aut, quæ sint optimæ, judicare possit? nam ne medicinæ quidem satis periti fieri videntur ex commentariorum lectione: atqui commemorare et tradere conantur illi non solum curationum genera, sed et quibus remediis ægros sint curaturi, et quemadmodum medicinam facere oporteat, de cujusque habitudine corporis distincte ac distribute disserentes. Sed hæc usu peritis et exercitatis prodesse posse credibile est; imperitis autem atque insciis, nequaquam. Fortasse igitur etiam legum rerumque publicarum genera collecta, eis, qui animo cernere et judicare possunt, quid bene, quid contra constitutum sit, et quæ quibus apta sint, usui esse poterunt: ii autem, qui hæc sine animi habitu persecuti fuerint, recte judicandi facultatem quidem sibi nunquam comparabunt, nisi forte temere, et aliquo casu: intelligentiores autem fortasse in his poterunt esse. Cum igitur superiores illi legum ferendarum rationem exquirere atque investigare omiserint, præstiterit fortasse nos ipsos de ea, et omnino de omni reipublicæ administrandæ forma attentius commentari: ut, quantum in nobis est, tota, quæ ad res huma-

μέρος εἴρηται καλῶς ὑπὸ τῶν προγενεστέρων, πειραθῶμεν ἐπελθεῖν· εἶτα ἐκ τῶν συνηγμένων πολιτειῶν θεωρῆσαι [d]τὰ ποῖα σώζει καὶ φθείρει τὰς πόλεις, καὶ τὰ ποῖα [e]ἑκάστας τῶν πολιτειῶν, καὶ διὰ τίνας αἰτίας, αἱ μὲν καλῶς, αἱ δὲ τοὐναντίον πολιτεύονται· θεωρηθέντων γὰρ τούτων, τάχα ἂν [f]μᾶλλον συνίδοιμεν, καὶ ποία πολιτεία ἀρίστη, καὶ πῶς ἑκάστη ταχθεῖσα, καὶ τίσι νόμοις καὶ [g]ἤθεσι χρωμένη. Λέγωμεν οὖν ἀρξάμενοι.

[d] C C C. τὰ ποῖα φθείρει τὰς πόλεις, omissis σώζει καί. [e] Alii ἑκάστας τῶν. [f] Bas. μάλιστα. [g] Γρ. ἔθεσι.

nas pertinet, philosophia perfecta sit. Primum igitur si quid præclare hac de re a veteribus singillatim literis proditum est, id persequi conemur: deinde ex rerumpublicarum formis undique collectis, quæ res civitatibus et singulis rebuspublicis interitum afferant, et quibus de causis aliæ bene, aliæ secus administrentur, videamus: his enim perspectis et cognitis, fortasse et qui sit optimus reipublicæ status, et quibus unamquamque rempublicam institutis, quibusque legibus ac moribus temperari conveniat ad id ut sit optima, planum fiet. Exordiamur igitur dicere.

INDEX.

B.

Γ.

Δ.

Ε.

Z.

H.

Ρ.

Σ.

T.

Υ.

Φ.

FINIS.


3 2044 055 030 910



